UNIV. OF
TORONTO
LIBRARY

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/deipnosophistaru04athe

LGr
A866S

ΑΘΗΝΑΙΟΥ
ΝΑΥΚΡΑΤΙΤΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΑΙ

ATHENAEI
NAUCRATITAE
DEIPNOSOPHISTARUM
LIBRI QUINDECIM

EX OPTIMIS CODICIBUS NUNC PRIMUM COLLATIS
EMENDAVIT AC SUPPLEVIT
NOVA LATINA VERSIONE ET ANIMADVERSIONIBUS
CUM IS. CASAUBONI ALIORUMQUE TUM SUIS
ILLUSTRAVIT
COMMODISQUE INDICIBUS INSTRUXIT

IOHANNES SCHWEIGHAEUSER
ARGENTORATENSIS
INSTITUTI SCIENTIAR. ET ART. POPULI GALLO-FRANC. SOCIUS
ANTIQUAR. LITERAR. IN SCHOLA ARGENT. PROF.

TOMUS QUARTUS

ARGENTORATI
EX TYPOGRAPHIA SOCIETATIS BIPONTINAE
ANNO XII (1804)

21454
24/1/92

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

p. 411 a

I.

Coenae ſimilis Tragoedia.

Ἀλλ' ὥσπερ δείπνου γλαφυροῦ [1]
ποικίλην εὐωχίαν
τὸν ποιητὴν δεῖ παρέχειν
τοῖς θεαταῖς τὸν σοφόν·
ἵν' ἀπίῃ τις [2] τοῦτο λαβών,
καὶ φαγών τε καὶ πιών,
ὦ χαίρει· [3] καὶ σκευασία
μὴ μί' ᾖ [4] τῆς μουσικῆς·

1 Verſus aliter ab aliis conſtituuntur. Forſan Ἀλλ' ἐπεὶ ὥσπερ ſcripſerat Athenaeus. 2 ἵνα πίῃ τὶς edd. 3 Vulgo, τοῦτο λαβὼν καὶ φαγὼν, ὥσπερ πιὼν χαίρει. 4 μί' εἴη, absque negatione, ed. Ven. & Baſ. μὴ μίη εἴη ed. Caſ.

ATHENAEI
DEIPNOSOPHISTARUM
LIBER DECIMUS.

At velut ſplendido in convivio multiplices lautitias exhibere ſpectatoribus poëta ſapiens debet, ut abeat quisque poſtquam id accepit comeditque & bibit, quo delectatur, nec adſit unus idemque adparatus muſicae.

Ἀστυδάμας ὁ τραγικὸς, ἐν Ἡρακλεῖ Σατυρικῷ, ἑταῖρε, φησὶ, Τιμόκρατες. φέρε, [1] εἴπωμεν ἐνταῦθα
Hercules vorax. τοῖς προειρημένοις τὰ ἀκόλουθα, ὅτι ἦν καὶ ὁ Ἡρακλῆς ἀδηφάγος. [2] ἀποφαίνονται δὲ τοῦτο σχεδὸν πάντες ποιηταὶ καὶ συγγραφεῖς. Ἐπίχαρμος μὲν, ἐν Βουσίριδι, λέγων·

Πρώτον μὲν αἴ κ' ἔσθοντ' ἴδοις νιν, [3] ἀποθάνοις. b
βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ', ἁραβεῖ δ' ἃ γνάθος,
ψοφεῖ δ' ὁ γόμφιος, τέτριγεν ὁ κυνόδων, [4]
σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα. [5]

Ἴων δ', ἐν Ὀμφάλῃ, ἐμφανίσας αὐτοῦ τὴν ἀδηφαγίαν, ἐπιφέρει·

— ὑπὸ δὲ τῆς εὐφημίας [6]
κατέπινε καὶ τὰ κᾶλα [7] καὶ τοὺς ἄνθρακας.

παρὰ Πινδάρου δὲ τοῦτ' εἴληφεν, εἰπόντος· c

1 φέρε οὖν ἡμεῖς malles, aut aliquid tale. 2 ἀδηφάγος edd. & sic deinde. 3 ἴδῃς νιν edd. 4 τέτριγ' ὁ κυν. vulgo. 5 In ed. Caſ. adiecta ſunt verba, τῶν τετραπόδων οὐδὲν ἧττον. 6 εὐφαγίας corr. Caſaub. βουλιμίας Bentl. 7 κᾶλα edd.

Verba ſunt, mi Timocrates, Aſtydamantis tragici, in Hercule dramate Satyrico. Iam ergo, age, perſequamur nos hîc ea quae ſunt ante dictis conſequentia, & de *Herculis voracitate* dicamus. Teſtificantur eam quidem omnes fere & poëtae & hiſtoriarum ſcriptores. Epicharmus ſane, in Buſiride, de ea ſic loquitur:

Edentem ſi hunc videas, viſu cohorreas:
ita fauces intus fremitant, ita malae ſtrepunt,
ſtridet molaris dens, caninus concrepat:
motantur aures, edunt nares ſibilum.

Ion vero, in Omphale, poſtquam voracitatem Herculis declaravit, haec ſubiicit:

— *Et adplauſu excitatus,*
deglutivit ligna etiam & carbones.

Sumſit autem iſta Ion ex Pindaro, dicente:

„Διὰ βοῶν θερμὰ δ' εἰς [1] ἀνθρακιὰν στέψαν, πυριπνόων τε σώματα. καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν, ἠδ' ὀστέων στεναγμὸν βαρὺν ἦν ἰδόντα διακρῖναι, πολλὸς ἐν καιρῷ χρόνος." [2]

Τοιοῦτον οὖν αὐτὸν ὑποστησάμενοι ταῖς ἀδηφαγίαις, καὶ τῶν ὀρνέων ἀποδεδώκασιν αὐτῷ τὸν λάρον, τὸν προσαγορευόμενον βουφάγον.

II. Cum Lepreo contendit Hercules.

Εἰσάγεται δὲ ὁ Ἡρακλῆς καὶ Λεπρεῖ περὶ πολυφαγίας ἐρίζων, ἐκείνου προκαλεσαμένου· καὶ νε- a νίκηκε. Ζηνόδοτος δ' ἐν δευτέρῳ Ἐπιτομῶν, Καύκωνος, [3] φησὶ, τοῦ Ποσειδῶνος καὶ Ἀστυδαμείας τῆς Φόρβαντος γενέσθαι τὸν Λεπρέα, ὃν τὸν Ἡρακλέα κελεῦσαι δεθῆναι, ὅτε Αὐγέαν τὸν μισθὸν ἀπήτει. Ἡρακλῆς δὲ, ἐκτελέσας τοὺς ἄθλους, ἔρχεται ἐπὶ Καύκωνος· [4] καὶ δεηθείσης Ἀστυδαμείας, διαλύεται πρὸς τὸν Λεπρέα. καὶ μετὰ ταῦτα ὁ Λεπρεὺς Ἡρακλεῖ

1 εἰς absque δ' edd. 2 Corrupto loco nulla occurrebat medela. 3 Καυκάνου edd. 4 ἐπὶ Καύκωνας vulgo.

. . . . . .
. . . . . .
. . . . . .
. . . . . .

Tali autem voracitate cum ſtatuerint fuiſſe Herculem, eidem ex avibus Larum adtribuerunt, qui *buphagus*, id eſt *vorax*, cognominatur.

2. Memorant etiam, cum Lepreo de voracitate contendiſſe Herculem, ab illo provocatum, & victoriam reportaſſe. Zenodotus vero Epitomarum libro ſecundo ait: Caucone Neptuni filio, & Aſtydamiâ Phorbantis filiâ, natum eſſe *Lepreum*; qui vinciri Herculem iuſſerat, cum mercedem ab Augea repeteret. Hercules autem, peractis laboribus ad Cauconem veniens, rogatu Aſtydamiae cum Lepreo in gratiam rediit. Deinde Lepreus cum

ἐρίζει δίσκῳ, καὶ ὕδατος ἀντλήσει, [1] καὶ ὅστις ἀναλώσει θᾶττον ταῦρον· καὶ λείπεται πάντα. εἶτα θωρηχθεὶς προκαλεῖται Ἡρακλέα, καὶ θνήσκει ἐν τῇ b
μάχῃ. Μάτρις δὲ, ἐν τῷ τοῦ Ἡρακλέους Ἐγκωμίῳ, καὶ εἰς πολυποσίαν, φησὶ, τὸν Ἡρακλέα προκληθῆναι ὑπὸ τοῦ Λεπρέως, καὶ πάλιν νικηθῆναι. [2] Τὰ αὐτὰ ἱστορεῖ καὶ ὁ Χῖος ῥήτωρ Καύκαλος, ὁ Θεοπόμπου τοῦ ἱστοριογράφου ἀδελφὸς, ἐν τῷ τοῦ Ἡρακλέους Ἐγκωμίῳ.

III. Καὶ τὸν Ὀδυσσέα δὲ Ὅμηρος πολυφάγον καὶ λαίμαργον παραδίδωσι, ὅταν λέγῃ·

Ulysses Homericus guloſus.

Ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ. c
οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
ἔπλετο· ἥ τ' ἐκέλευσεν ἔο μνήσασθαι ἀνάγκῃ
καὶ μάλα τειρόμενον, καὶ ἐνιπλησθῆναι ἀνώγει. [3]

1 ἀντλῆσαι vulgo. 2 νικηθῆναι τὸν Λεπρέα malles cum Caſaub.
3 καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα apud Hom.

Hercule diſco contendit, item de exhaurienda aqua, denique uter citius taurum abſumeret; & in his omnibus diſceſſit inferior. Poſt haec capto thorace ad armorum certamen provocavit Herculem, & in pugna occiſus eſt. Matris vero, in Herculis Encomio, ſcribit, ad compotationis quoque certamen, uter plus biberet, provocatum a Lepreo Herculem fuiſſe, & in eo rurſus victum eſſe Lepreum. Eadem narrat etiam Chius orator Caucalus, Theopompi hiſtorici frater, in Herculis Encomio.

3. Sed & *Ulyſſem* edacem & guloſum tradidit Homerus, cum facit eum dicentem:

Sed me quidem coenare ſinite, dolentem licet.
Non enim odioſo ventre importunius aliud
eſt: qui iubet ſui recordari neceſſario
etiam valde adflictum, & ſe repleri imperat.

Ὑπερβάλλουσα γὰρ ἐν τούτοις φαίνεται αὐτοῦ λαιμαργία, μετὰ τοῦ μηδὲ ἐν δέοντι τὰ περὶ τῆς γαστρὸς γνωμολογεῖν. ἐχρῆν γὰρ, εἰ καὶ ἐλίμωττε, διακαρτερεῖν, ἢ μετριάζειν τὰ περὶ τὴν τροφήν. τὸ δὲ τελευταῖον καὶ τὴν τελειοτάτην αὐτοῦ παρίστησι λαιμαρ-
d γίαν καὶ γαστριμαργίαν·

Ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν· ἡ δὲ μάλ' αἰεὶ
ἐσθέμεναι κέλεται καὶ πινέμεν, ἐκ δέ με πάντων
ληθάνει ὅσσ' ἔπαθον, καὶ ἐνιπλησθῆναι [1] ἀνώγει.

ταῦτα γὰρ οὐδὲ ἐκεῖνος ὁ Σαρδανάπαλλος [2] εἰπεῖν ποτε ἂν ἐτόλμησε. γέρων τε [3] ὤν,

ἤσθιεν ἁρπαλέως κρέα τ' ἄσπετα, καὶ μέθυ ἡδύ.

IV. Theagenes athleta.

Θεαγένης δ' ὁ Θάσιος ἀθλητὴς ταῦρον μόνος κατέφαγεν, ὡς Ποσείδιππός φησιν ἐν Ἐπιγράμμασιν·
e Καὶ περὶ [4] συνθεσίης ἔφαγόν ποτε Μηόνιον βοῦν·
πάτρη γὰρ βρώμην οὐκ ἂν ἐπέσχε Θάσος

1 ἐνιπλήσασθαι apud Homer. 2 Σαρδανάπαλος edd. & ms. *Ep.* 3 γέρων δὲ ἂν edd. 4 Καί περ vulgo.

Nam immodica in his adparet eius ingluvies, praeterquam quod alieno tempore illas de ventre sententias pronunciat. Oportebat enim, tametsi esuriret, tolerare, aut certe modice cibo potuque uti. Sed postremum illud summam etiam eius gulositatem voracitatemque prodit:

Nam & ego quidem luctum habeo in animo: at ille (venter) *omnino semper*
comedere iubet & bibere, & me omnium
facit obliviſci quae paſſus ſum, ſeque impleri imperat.

Haec enim ne Sardanapallus quidem ille dicere umquam ausus fuisset. Denique senex cum esset Ulysses,

comedebat rapide carnes immenſas, & vinum dulce bibebat.

4. *Theagenes* Thasius, athleta, taurum solus comedit; quod ait Posidippus in Epigrammatibus:

Et ex pacto comedi aliquando Maeonium bovem;
patria enim Thaſus cibum non potuerat praebere

Θευγένει. ἄσσα Φαγὼν, ἔτ' ἐπήτεον. οὕνεκεν [1] οὕτω
χάλκεος ἑστήκω, χεῖρα προϊσχόμενος.

Milo Crotoniates.

Μίλων δὲ ὁ Κροτωνιάτης, ὡς φησιν ὁ Ἱεραπολίτης Θεόδωρος ἐν τοῖς Περὶ Ἀγώνων, ἤσθιε μνᾶς κρεῶν εἴκοσι, καὶ τοσαύτας ἄρτων, οἴνου τε τρεῖς χοᾶς ἔπινεν. ἐν δὲ Ὀλυμπίᾳ ταῦρον ἀναβέμενος τοῖς ὤμοις τετραετῆ, καὶ τοῦτον περιενέγκας τὸ στάδιον, μετὰ ταῦ- f
τα δαιτρεύσας μόνος αὐτὸν κατέφαγεν ἐν μιᾷ ἡμέρᾳ. Τίτορμός τε ὁ Αἰτωλὸς διηριστήσατο [2] αὐτῷ [3] βοῦν, ὡς ἱστορεῖ ὁ Αἰτωλὸς Ἀλέξανδρος. Φύλαρχος δέ φησιν ἐν τῇ τρίτῃ τῶν Ἱστοριῶν, τὸν Μίλωνα ταῦρον καταφαγεῖν κατακλιθέντα [4] πρὸ τοῦ βωμοῦ τοῦ Διός· διὸ καὶ ποιῆσαι εἰς αὐτὸν Δωριέα τὸν ποιητὴν τάδε·

Τοῖος ἔην Μίλων, ὁτ' ἀπὸ χθονὸς ἤρατο βριθὸς,
τετραετῆ δαμάλην, [5] ἐν Διὸς εἰλαπίναις,

1 εἵνεκεν vulgo. 2 διηρίσατο edd. 3 αὐτῷ ms. *Ep.* ἑαυτῷ Euſtath. 4 κατακλεισθέντα edd. 5 δάμαλιν edd.

Theageni. Quantumcumque comediſſem, amplius petebam.
Quare ſic
ſto aeneus, manum extendens.

Milo Crotoniates, ut narrat Theodorus Hierapolitanus in libris DE Ludis (ſive, DE Certaminibus), comedebat libras carnis viginti, totidemque panis; & vini congios bibebat tres. Olympiae vero taurum quadrimum humeris impoſitum per ſtadium circumcirca geſtavit: dein eumdem diſſectum paratumque uno die ſolus comedit. Titormus vero Aetolus cum eo de comedendo inter unum prandium bove certavit; ut narrat Alexander Aetolus. Phylarchus vero, tertio libro Hiſtoriarum, ſcribit, ante Iovis aram adcumbentem Milonem comediſſe taurum, eâque cauſſâ Dorieum poëtam hosce in illum verſus feciſſe:

Talis erat Milo, quum a terra tolleret molem;
quadrimam iuvencam, Iovis in ſolennibus epulis;

a ὤμοις δὲ κτῆνος τὸ πελώριον, ὡς νέον ἄρνα,
ἤνεγκεν δι' ὅλης κοῦφα πανηγύρεως.
καὶ θάμβος μὲν ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα
πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου.
ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
κόψας, πάντα κατ' οὖν μοῦνος ἐδαίσατό νιν.

Ἀστυδάμας δ' ὁ Μιλήσιος, τρὶς Ὀλύμπια νικήσας Astydamas, pancratiastes.
b κατὰ τὸ ἑξῆς παγκράτιον, κληθείς ποτε ἐπὶ δεῖπνον ὑπὸ Ἀριοβαρζάνου τοῦ Πέρσου, καὶ ἀφικόμενος, ὑπέσχετο φαγεῖν πάντα τὰ πᾶσι παρασκευασθέντα, καὶ κατέφαγε. τοῦ Πέρσου δ' αὐτὸν ἀξιώσαντος, ὡς ὁ Θεόδωρός ἱστορεῖ, ἄξιόν τι ποιῆσαι τῶν κατὰ τὴν ἰσχὺν, φακὸν τῆς κλίνης περίχαλκον ὄντα κλάσας ἐξέτεινε μαλάξας. τελευτήσαντος δ' αὐτοῦ, καὶ κατακαυθέντος, οὐκ ἐχώρησε μία ὑδρία τὰ ὀστέα, μό-

humerisque pecus ingens, tamquam novellum agnum,
geſtavit leviter totam per panegyrin.
Et ſtupor quidem tenuit cunctos: ſed multo etiam maius
patravit miraculum,
ante Piſaeum, hoſpes, altare.
Quem enim in pompa geſtaverat bovem indomitum, hunc
in fruſta
conciſum totum ſolus comedit.

Aſtydamas Mileſius, Olympiae tribus continuis vicibus victor in certamine Pancratii, ad coenam vocatus ab Ariobarzane Perſa, cum ſe ad eum contuliſſet, pollicitus eſt omnia ſe comeſturum quae cunctis parata fuiſſent: & comedit. Dein rogatus a Perſa, ut dignum aliquid iſtis viribus faceret, lenticulam lecti aeneam fregit, & a ſe molliram extendit; ut idem narrat Theodorus. Poſt eius mortem, cremato cadavere, una urna non capiebat oſſa hominis, ſed duae vix ſufficie-

λις δὲ δύο. καὶ τὰ τοῖς ἐννέα ἀνδράσι παρεσκευασμένα παρὰ τῷ Ἀριοβαρζάνῃ εἰς τὸ δεῖπνον μόνον κα- c
ταφαγεῖν [φασί.] [1]

V.

Athletarum artem inutilem declarat Euripides.

Καὶ οὐδὲν παράδοξον τούτους τοὺς ἄνδρας ἀδηφάγους γενέσθαι· πάντες γὰρ οἱ ἀθλοῦντες, μετὰ τῶν γυμνασμάτων, καὶ ἐσθίειν πολλὰ διδάσκονται. Διὸ καὶ Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ λέγει·

Κακῶν γὰρ [2] ὄντων μυρίων καθ' Ἑλλάδα,
οὐδὲν κάκιον ἐστὶν ἀθλητῶν γένους.
Οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ,
οὔτ' ἂν δύναιντο. πῶς γὰρ, ὅστις ἔστ' ἀνὴρ
γνάθου τε δούλος, νηδύος θ' ἡσσημένος, 5
κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός; [3] d
οὐδ' αὖ πενέσθαι καὶ ξυνηρετμεῖν [4] τύχαις
οἷοί τ'. ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ,
σκληρῶς διαλλάσσουσιν [5] εἰς τἀμήχανα.

1 Deeſt vulgo φασί. 2 Κακῶν γε edd. 3 ὑπερτροφὴν πάτρας ap. Gal. 4 ξυνηρετεῖν edd. καξυπηρετεῖν Gal. 5 μεταλλάσσ. Gal.

bant. Quae autem ſolus apud Ariobarzanem devoravit, ea novem viris aiunt parata fuiſſe.

5. Nec vero mirum eſt, voraces fuiſſe hos viros: nam, qui athleticae dant operam, ii omnes, ſimul cum exercitationibus, etiam multa comedere docentur. Quare & EURIPIDES in primo Autolyco ait:

Cum multa mala ſint Graeciae, nulla eſt tamen
gens peior his qui ludicras pugnas cient.
Primum quod eſt: vitam agere nec diſcunt bene,
nec utique poſſunt. Quomodo vir ſerviens
mâlis, & ipſe ventris appendix ſui,
opes lucretur, unde ſit patriae utilis?
Nec pauper aevum ferre, nec ſe caſibus
aptare norunt: moribus ſueti malis
ſed res in inopes cum gravi ſenſu cadunt.

λαμπρὸ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα
Φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρὸν,
τρίβωνες ἐκβαλόντες [1] οἴχονται κρόκας.
Ἐμεμψάμην δὲ καὶ τὸν [2] Ἑλλήνων νόμον,
οἳ τῶνδ' [3] ἕκατι σύλλογον ποιούμενοι
τιμῶσ' ἀχρείους ἡδονὰς, δαιτὸς χάριν. [4]
e Τί γὰρ παλαίσας εὖ, τί δ' ὠκύπους ἀνὴρ,
ἢ δίσκον ἄρας, ἢ γνάθον παίσας καλῶς,
πόλει πατρῷᾳ στέφανον ἤρκεσεν λαβών;
Πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
δίσκους ἔχοντες, ἢ δι' ἀσπίδων χερὶ [5]
θείνοντες [6] ἐκβαλοῦσι πολεμίους πάτρας;
Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας
στάς. Ἄνδρας οὖν ἐχρῆν σοφούς τε κἀγαθοὺς
φύλλοις στέφεσθαι, χ' ὅστις ἡγεῖται πόλει

1 ἐκλείποντες apud Laërt. 2 τῶν Ἑλλ. edd. 3 οἳ τόνδ' edd. 4 ἀχρεῖον ἡδονῆς χάρτος χάριν coni. Musgr. 5 χεροῖν edd. ποσὶ Grot. & Musgr. cum Galen. 6 θέοντες Grot. cum Galen. θένοντες Musgr.

Pulchri, iuventa dum viret, ſpectaculum
ſunt urbis: at cum venerit ſenii dies,
reſtant velut lacerna cui villus perît.
Ad hoc nec illum Graeciae morem probo,
coetus in horum quod celebrant gratiam,
quorum uſus haud eſt ullus, illecti dape.
Qui namque luctâ pollet, aut celeri pede,
diſcumve recte tollit, aut os verberat;
quid patriam, ob hanc rem ſi coronetur, iuvat?
An forte, cum res proelii eſt, diſcum manu
tenebit, aut per ſcuta curſans levi pede
infeſta pellet fine de patrio agmina?
Nemo iſta inepta cogitat, ferrum prope
cum ſtat. Sed alios fronde ſapientes, probos
ornare decuit: publicum ſi quis bonum

κάλλιστα, σώφρων καὶ δίκαιος ὢν ἀνήρ· 25 f
ὅστις γε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ,
μάχας τ' ἀφαιρῶν καὶ στάσεις. τοιαῦτα γὰρ
πόλει τε πάσῃ, πᾶσι θ' Ἕλλησιν καλά.

VI. Item Xenophanes.

Ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου Ἐλεγειῶν [1] Ξενοφάνους, οὕτως εἰρηκότος·

Ἀλλ' εἰ μὲν [2] ταχυτῆτι [3] ποδῶν νίκην τις ἄροιτο,
ἢ πενταθλεύων, ἔνθα Διὸς τέμενος
παρ' Πίσαο ῥοῇς ἐν Ὀλυμπίῃ· εἴτε παλαίων, a
ἢ καὶ πυκτοσύνην ἀλγινόεσσαν ἔχων,
εἴτε τὸ [4] δεινὸν ἄεθλον ὃ παγκράτιον καλέουσιν, 5
ἀστοῖσιν κ' εἴη κυδρότερος πρὸς ἄκρα· [5]
καί κε προεδρίην φανερὴν ἐν ἀγῶσιν ἄροιτο,
καί κεν σιτοίη [6] δημοσίων κτεάνων,
ἐκ πόλεως καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη·

1 Forſ. Ἐλεγείων. 2 Forſ. Ἀλλ' εἴ κεν. 3 ταχύτητι edd. 4 εἴ τε τι vulgo. 5 πρόσεραν Ms. 6 σιτεῖν vulgo. Fortaſſe καί κε τί οἱ εἴη, & delendum comma poſt κτεάνων.

curat modeſtus, iuris ac recti tenax:
male facta verbis ſi quis avertens ſuis,
diſſidia pugnasque arcet. Haec etenim urbibus
claros honores Graeciaeque omni ferunt.

6. Haec Euripides ex Colophonii XENOPHANIS Elegiis accepit, ubi ſic ille ſcripſerat:

At, ſi quis pedum velocitate vicerit,
aut quinquertio, ubi Iovis fanum
ad Piſae fluenta Olympiae; ſive luctâ contendens,
ſive dolorifico pugillatu,
ſive gravi illo certamine, pancratium quod vocant,
civium longe omnium fuerit nobiliſſimus;
denique ſi principem palam in ſpectaculis locum
obtinuerit, & publicis alatur ſumtibus,
habueritque a civitate donum, virtutis ſuae monumentum:

εἴτε καὶ ἵπποισιν ταῦτά κε πάντα [1] λάχοι· 10
οὐκ ἐὼν [2] ἄξιος ὥσπερ ἐγώ. Ῥώμης γὰρ ἀμείνων
b ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη.
Ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται· οὐδὲ δίκαιον
προκρίνειν ῥώμην τῆς ἀγαθῆς [3] σοφίης.
Οὔτε γὰρ, εἰ πύκτης ἀγαθὸς λαοῖσιν ἔτ' εἴη, [4] 15
οὔτ' εἰ πενταθλεῖν, οὔτε παλαισμοσύνην,
οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τό περ ἔστι πρότιμον
ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει·
τοὔνεκεν ἂν [5] δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη.
c σμικρὸν δ' ἄν τι πόλει χάρμα γένοιτ' ἐπὶ τῷ, 20
εἴ τις ἀεθλεύων νικᾷ [6] Πίσαο παρ' ὄχθας.
οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς πόλεως.

Πολλὰ δὲ καὶ ἄλλα ὁ Ξενοφάνης κατὰ τὴν ἑαυτοῦ σοφίαν ἐπαγωνίζεται, διαβάλλων ὡς ἄχρηστον καὶ

1 ταῦτα γ' ἅπαντα ed. Ven. & Baſ. ταῦτα γ' ἅσαντα ed. Caſ. ταῦτα κ' εἰπαντα ms. *A*. 2 οὐκ ἂν ed. Caſ. 2 & 3. οὐ κ' ἐὴ deſiderabam. 3 ἀγανῆς corrigunt viri docti. 4 Forſ. ἐπείη vel ἐνείη. 5 ἄρ vel ἄρ' edd. 6 νικᾷ vulgo.

ſive etiam equorum curſu haec omnia fuerit adeptus;
non eum mihi cenſeo aequiparandum. Nam robore virorum
equorumque praeſtantior noſtra eſt ſapientia.
Sed temere admodum haec vulgo iudicantur: nec aequum eſt,
robur anteponere utili ſapientiae.
Nec enim, ſi quis bonus pugil inter ſuos fuerit
ſive quinquertio, ſeu luctator,
ſive pedum velocitate praeſtet, quod praecipuum cenſetur
omnium de quibus certant roboris operum;
melius idcirco ordinata civitas erit.
Exigua hoc civitati laetandi materia erit,
ſi quis in ludis ad Piſae ripas victoriam reportaverit.
Nec enim ea re pingueſcunt civitatis horrea.

Multa vero & alia Xenophanes pro ſuâ ſapientiâ acriter contendit; athleticam artem, ut inutilem, & nul-

Nitens athletarum corpus.

ἀλυσιτελὲς τὸ τῆς ἀθλήσεως εἶδος. Καὶ ὁ Ἀχαιὸς [1] δὲ ὁ Ἐρετριεὺς, περὶ τῆς εὐεξίας τῶν ἀθλητῶν διηγούμενος, φησίν·

Γυμνοὶ γὰρ ὤθουν Φαιδίμους βραχίονας, d
ἤβης σφριγῶντες ἐμπορεύονται, νέῳ
στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας·
ὄδην δ' ἐλαίου στέρνα καὶ ποδῶν κύτος
χρίουσιν, ὡς ἔχοντες οἴκοθεν τρυφήν.

VII.

Epigramma in Phyromachum.

Ἡράκλειτος δ', ἐν τῷ Ξενίζοντι, Ἑλένην φησὶ τινὰ γυναῖκα πλεῖστα βεβρωκέναι. Ποσείδιππος [2] δὲ, ἐν Ἐπιγράμμασι, Φυρόμαχον· [3] εἰς ὃν καὶ τόδε ἐπέγραψεν·

Φυρόμαχον τὸν πάντα φαγεῖν βορὸν, οἷα κορώνην
παννυχικὴν, αὕτη ῥωγὰς ἔχει κάπετος, e
χλαίνης ἐν τρύχει Πελληνίδος. Ἀλλά συ τούτου
καὶ χρῖε στήλην, [4] Ἀττικὲ, καὶ στεφάνου,

1 Ἀχίλλειος edd. Ἀχίλλιος Ms. 2 Ποσείδιππος Ms. *A.* 3 Φυλόμαχον edd. & sic mox iterum. 4 καὶ χρεία εἰς τύνην edd.

lius frugi, vituperans. Achaeus vero Eretrienſis, de bona corporis habitudine athletarum verba faciens, ait:

Nudi enim brachia nitentia motitabant,
pubertate turgentes incedunt, recenti
ſplendentes flore valida circum brachia:
affatim oleo pectus pedesque inungunt,
ut qui domi adſuerunt luxuriae.

7. Heraclitus, in Hoſpites-excipiente, Helenam mulierem commemorat, plurimum cibi capientem. Poſidippus vero, in Epigrammatibus, Phyromachum. In quem etiam hos ſcripſit verſus:

Phyromachum, omnia vorare avidum, veluti cornix
noctlurna, haec fiſſa foſſa continet,
lacero in panno penulae Pellenicae. At tu huius
inunge cippum, Attice, & orna coronâ,

εἴ ποτέ σοι [1] προκύων συνεκώμασεν. Ἦλθε δ' ἀμαυρὰ
βλέψας ἐκ πελίων νωδὸς ἐπισκυνίων.
ὁ τρίχιδι φθείρας, [2] μονολήκυθος. ἐκ γὰρ ἀγώνων
τῶν τότε Ληναϊκῶν [3] ἦλθ' ὑπὸ Καλλιόπην. [4]

f Ἀμάραντος δὲ ὁ Ἀλεξανδρεὺς, ἐν τοῖς Περὶ Σκηνῆς, Ἡρόδωρον, φησὶ, τὸν Μεγαρέα σαλπιγκτὴν γενέσθαι, τὸ μὲν μέγεθος πηχῶν τριῶν καὶ ἡμίσους· εἶναι δὲ καὶ τὰς πλευρὰς ἰσχυρόν· ἐσθίειν δὲ ἄρτων μὲν χοίνικας ἓξ, κρεῶν δὲ λίτρας εἴκοσιν, οἵων ἂν εὑρήκοι, [5] πίνειν δὲ χόας δύο· καὶ σαλπίζειν ἅμα σάλπιγξι δυσί. κοιμᾶσθαι δὲ ἔθος εἶχεν ἐπὶ λεοντῆς μόνης. ἐσήμηνε δὲ σαλπίζων μέγιστον. Ἄργος γοῦν πο-
a λιορκοῦντος Δημητρίου τοῦ Ἀντιγόνου, καὶ οὐ δυνα- Herodotus tubicen.

1 εἰπόντες οἱ vulgo. 2 ὁ τριχὶ διαφθείρας edd. ἅτα διαφθείρας corr. Casaub. ἀθριξ εὐφθειρος Salm. ἀχρὸς, διφθερίας, Brunck cum Toup. 3 ληναϊκὴν vulgo. 4 ὑπὸ τὰν καπετὰν corr. Cas. ὑπόγαιον ὀπὴν Salm. ὑπὸ χοῖλον ὀπὴν Brunck cum Toup. 5 εὑρήκει mssti.

si tecum umquam procyon comeſſatus eſt. Venit autem edentulus
obſcurum cernens luridis ex ſupercilliis,
[pallidus, pelle tectus,] *nil niſi lecythum habens. Nam ex certaminibus,*
quae tunc erant, Lenaicis deſcendit ad Calliopen. [ſive, *in foveam deſcendit.*]

Amarantus vero Alexandrinus, in libris De Scena, *Herodorum* narrat Megarenſem fuiſſe tubicinem, ſaturâ trium cubitorum cum dimidio: fuiſſe autem eumdem robuſtis lateribus; comediſſeque panis ſextarios ſenos, carnium vero libras vicenas, quascumque nactus eſſet, bibiſſe autem congios duo: duabusque ſimul tubis ceciniſſe. Idem non aliter dormire adſueverat, niſi ſuper leonis pelle cubans. Claſſicum canens, maximum inprimis ſonum edebat. Igitur Argos oppugnante Demetrio Antigoni filio,

μένων τῶν στρατιωτῶν τὴν ἑλέπολιν προσαγαγεῖν τοῖς τείχεσι διὰ τὸ βάρος, ταῖς δύο σάλπιγξι σημαίνων, ὑπὸ τῆς ἀθρότητος τοῦ ἤχου τοὺς στρατιώτας ἠνάγκασε προθυμηθέντας προσαγαγεῖν τὴν μηχανήν. ἐνίκησε δὲ τὴν περίοδον δεκάκις, καὶ ἐδείπνει καθήμενος, ὡς ἱστορεῖ Νέστωρ ἐν τοῖς Θεατρικοῖς Ὑπομνήμασι. Καὶ γυνὴ δὲ ἐσάλπισεν Ἀγλαΐς, ἡ Μεγακλέους, [1] ἐν τῇ πρώτῃ ἀχθείσῃ μεγάλῃ πομπῇ ἐν Ἀλεξανδρείᾳ τὸ [2] πομπικὸν, περιθέτην ἔχουσα, καὶ λόφον ἐπὶ τῆς κεφαλῆς, ὡς δηλοῖ Ποσείδιππος ἐν b Ἐπιγράμμασιν. ἤσθιε δὲ καὶ αὐτὴ λίτρας μὲν κρεῶν δώδεκα, ἄρτων δὲ χοίνικας τέσσαρας, καὶ ἔπινεν οἴνου χόα.

Aglais, tubicina.

VIII.

Λιτυέρσας δὲ ἦν μὲν υἱὸς Μίδου νόθος, Κελαινῶν δὲ τῶν ἐν Φρυγίᾳ βασιλεὺς, ἄγριος ἰδέσθαι καὶ ἀνήμερος ἄνθρωπος, ἀδηφάγος δ' ἰσχυρός. [3] λέγει δὲ

Lityerſas.

1 Μεγαλοκλέους edd. 2 τὸν πομπικὸν edd. 3 ἰσχυρᾶς ms. *Ep.*

quum helepolin muris admovere non valerent milites ob immanem machinae molem, duabus tubis canens Herodorus vehementiâ ſoni ita excitavit animos alacritatemque militum, ut ad admovendam machinam eos cogeret. Vicit autem certaminum periodum decies: & coenare adſueverat ſedens: ut narrat Neſtor in Theatricis Commentariis. Etiam mulier memoratur tubicina, *Aglais*, Megaclis filia: quae in prima pompa, quae Alexandriae ducta eſt, pompicum cecinit, adſcitiâ comâ ornata, & criſtam in capite geſtans; ut declarat Poſidippus in Epigrammatibus. Comedebat vero haec etiam libras carnium duodecim, panis ſemimodios quatuor; & bibebat vini congium.

8. Porro *Lityerſas*, Midae filius ſpurius, Celaenorum Phrygiae rex, adſpectu ferox & ſaevus homo, inſigniter vorax fuit. De quo loquitur Soſitheus [*ſive*, Soſi-

περὶ αὐτοῦ Σωσίθεος [1] ὁ τραγῳδιοποιὸς, ἐν δράματι Δάφνιδι ἢ Λιτυέρσᾳ, οὕτως·

Ἔσθει μὲν αὐτοὺς τρεῖς ὄνους [2] κανθηλίους
τρὶς τῆς βραχείας ἡμέρας· πίνει δ', ἕνα
c καλῶν [3] μετρητὴν, τὸν δεκάμφορον [4] πίθον.

Τοιοῦτός ἐστι καὶ ὁ παρὰ Φερεκράτει ἢ Στράττιδι [5] ἐν Ἀγαθοῖς, περὶ οὗ φησίν·

Α. Ἐγὼ κατεσθίω μόλις τῆς ἡμέρας
πένθ' ἡμιμέδιμν', ἐὰν βιάζωμαι. Β. Μόλις;
ὡς ὀλιγόστιτος ἦσθ' ἄρα, ὃς κατεσθίεις
τῆς ἡμέρας μακρᾶς τριήρους σιτία.

Ξάνθος δὲ, ἐν τοῖς Λυδιακοῖς, Κάμβλητα, [6] φησὶ, τὸν βασιλεύσαντα Λυδῶν, πολυφάγον γενέσθαι καὶ πολυπότην, ἔτι δὲ γαστρίμαργον. τοῦτον οὖν ποτε νυ-
d κτὸς τὴν ἑαυτοῦ γυναῖκα κατακρεουργήσαντα κατα- Cambles, rex Lydorum.

1 Σωσίβιος corr. Casaub. 2 αὐτὸς τρεῖς ὅλους edd. αὐτὸ ς τρεῖς ὄνους ms. *Ep.* ἄρτους (*panes*) τρεῖς ὄνους Tzetz. ἄρτων malebat Cas. 3 καλὸν vulgo. 4 τόνδε καρποφόρον vulgo. 5 Στράτιοι ed. Bas. & Cas. 6 Κάμβητα apud Aelian. Κάμβλιτον alibi.

bius] tragicus in dramate, cui Daphnis vel Lityersas titulus; ubi ait:

Comedit quidem ipsum onus trium clitellariorum asinorum
ter uno brevi die: bibit autem, unam
vocans metretam, decem amphorarum dolium.

Talis est etiam ille apud Pherecratem sive Strattidem, in Bonis viris, in quem haec dicuntur:

A. *Ego comedo vix in dies*
quinque semodios, si ita cogor. B. *Vix?*
Quam pauci cibi tu es scilicet! qui comedis
uno die longae triremis cibaria.

Xanthus vero, in Lydiacis, *Cambletem*, Lydorum regem, tradit edacem bibacemque & gulae deditum fuisse. Hunc igitur, ait, noctu aliquando propriam uxorem in

φαγεῖν· ἔπειτα πρωΐ, εὑρόντα τὴν χεῖρα τῆς γυναικὸς ἐνοῦσαν ἐν τῷ στόματι, ἑαυτὸν ἀποσφάξαι, περιβοήτου τῆς πράξεως γενομένης. Περὶ δὲ Θύος, τοῦ Παφλαγόνων βασιλέως, ὅτι καὶ αὐτὸς ἦν πολυφάγος, προειρήκαμεν, παραθέμενοι Θεόπομπον ἱστοροῦντα ἐν τῇ πέμπτῃ καὶ τριακοστῇ. Ἀρχίλοχος δὲ, ἐν Τετραμέτροις, Χαρίλαν [1] εἰς τὰ ὅμοια διαβέβληκεν, ὡς οἱ κωμῳδιοποιοὶ Κλεώνυμον καὶ Πείσανδρον. Περὶ δὲ Χαιρίππου [2] φησὶ Φοινικίδης, ἐν Φυλάρχῳ, οὕτως· [3]

Thys, rex Paphlag.

Τρίτον [4] δὲ πρὸς τούτοισι τὸν σοφώτατον
Χαίριππον. οὗτος, ὥσπερ οἶδας, ἐσθίει
μέχρις ἂν διδῷ τις, ἢ λάθῃ διαῤῥαγείς.
τοιοῦτ' ἔχει ταμεῖον ὥσπερ οἰκίας. [5]

IX.

Mithridates, victor in edendi bibendique certamine.

Νικόλαος δ' ὁ Περιπατητικὸς, ἐν τῇ τρίτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν, Μιθριδάτην, φησὶ, τὸν

1 Χειρίλαν edd. 2 Χαρίππου apud Aelian. 3 Deeſt οὕτως editis. 4 τὸ τρίτον ms. *A*. 5 οἰκίαι edd.

fruſta diſſectam devoraſſe: dein mane, cum manum uxoris in ore adhuc haerentem reperiſſet, rumore facinoris in vulgus ſparſo, ſe ipſum iugulaſſe. De *Thye* vero, Paphlagonum rege, ſupra diximus: & de voracitate eius teſtimonium Theopompi ex Hiſtoriarum libro quinto & triceſimo adpoſuimus. Eodem nomine *Charilas* traductus eſt ab Archilocho in Tetrametris, ſicut a comicis poëtis Cleonymus & Piſander. De *Chaerippo* Phoenicides in Phylarcho ſic loquitur:

Tertium ab his pono ſapientiſſimum
Chaerippum. Hic, ut tu noſti, comedit
quamdiu dederit aliquis, aut donec rumpatur imprudens.
Tale habet horreum, tamquam aedium.

9. Narrat Nicolaus Peripateticus centeſimo tertio Hiſtoriarum libro, Mithridatem Ponti regem, cum pro-

Ποντικὸν βασιλέα, προθέντα[1] ἀγῶνα πολυφαγίας καὶ πολυποσίας, (ἦν δὲ τὸ ἆθλον τάλαντον ἀργυρίου) ἀμφότερα νικῆσαι. τοῦ μέντοι ἄθλου ἐκστῆναι τῷ μετ' αὐτὸν κριθέντι Καλαμόδρυϊ τῷ Κυζικηνῷ
f ἀθλητῇ. Καὶ Τιμοκρέων δ' ὁ Ῥόδιος, ποιητὴς, καὶ ἀθλητὴς πένταθλος, ἐνέφαγε καὶ ἔπιεν, ὡς τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ· Timocreon, poëta & athleta.

Πολλὰ πιὼν, καὶ πολλὰ φαγὼν, καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

a Θρασύμαχος δὲ ὁ Χαλκεδόνιος,[2] ἔν τινι τῶν Προοιμίων, τὸν Τιμοκρέοντα, φησὶν, ὡς μέγαν βασιλέα ἀφικόμενον, καὶ ξενιζόμενον παρ' αὐτῷ, πολλὰ ἐμφορεῖσθαι. πυθομένου δὲ τοῦ βασιλέως, ὅ τι ἀπὸ τούτων ἐργάζοιτο, εἶπε, Περσῶν ἀναριθμήτους συγκόψειν, καὶ τῇ ὑστεραίᾳ πολλοὺς καθ' ἕνα νικήσας, μετὰ τοῦ-

1 προτιθέντα ms. *Ep.* 2 ὁ Μακεδόνιος edd.

poſuiſſet edendi bibendique certamen, cuius praemium erat argenti talentum, in utroque certamine victoriam reportaſſe: at praemio tamen ceſſiſſe ei qui poſt ipſum ſecundas tuliſſe iudicatus eſt, Calamodryi Cyziceno athletae. *Timocreon* etiam Rhodius, poëta & athleta quinquertio, valide comedebat bibebatque, ut declarat inſcriptio in ſepulcro eius ſculpta:

Qui multum bibi, multum comedi, multis maledictis
proſcidi homines; hic iaceo Rhodius Timocreon.

Thraſimachus vero Chalcedonius in aliquo ſuo Prooemiorum, Timocratem, narrat, cum ad magnum Regem veniſſet hoſpitioque ab illo fuiſſet exceptus, plurimum cibi ingeſſiſſe. Quem quum interrogaſſet rex, *quidnam inde efficere poſſet;* reſpondit ille, *innumeros Perſas ſe contuſurum.* Et poſtridie, multis deinceps ſingulari certamine victis, manibus deinde geſticulans ſaltavit: rogatus-

το ἐχειρονόμησε. πυνθανομένου δὲ τὴν πρόφασιν, ἀπολείπεσθαι, ἔφη, τοσαύτας, εἰ προσίοι τις, [1] πληγάς. Κλέαρχος δ', ἐν πέμπτῳ Βίων, Καντίβαριν, b φησὶ, τὸν Πέρσην, [2] ὁπότε κοπιάσειε τὰς σιαγόνας ἐσθίων, κεχηνότι καθάπερ εἰς ἄψυχον ἀγγεῖον εἰσαντλεῖν τὴν τροφὴν τοὺς οἰκείους. Ἑλλάνικος δὲ, ἐν πρώτῳ Δευκαλιωνείας, Ἐρυσίχθονα, φησὶ, τὸν Μυρμιδόνος, ὅτι ἦν ἄπληστος βορᾶς, Αἴθωνα κληθῆναι. Πολέμων δ', ἐν α'. τῶν [3] πρὸς Τίμαιον, παρὰ Σικελιώταις, φησὶν, ἀδηφαγίας [4] ἱερὸν εἶναι, καὶ Σιτοῦς Δήμητρος ἄγαλμα, οὗ πλησίον ἱδρύσθαι καὶ Ἰμαλίδος, [5] καθάπερ ἐν Δελφοῖς Ἑρμούχου, [6] ἐν δὲ Σκώ- c λῳ τῷ Βοιωτιακῷ [7] Μεγαλάρτου καὶ Μεγαλομάζου.

Voracitatis templum in Sicilia.

X.

Καὶ Ἀλκμὰν δὲ ὁ ποιητὴς ἑαυτὸν ἀδηφάγον εἶναι παραδίδωσιν, ἐν τῷ τρίτῳ, διὰ τούτων·

Alcman poëta.

1 προσιοι τις edd. cum ms. *Ep.* 2 Καντίβαρι & τῷ Πέρσῃ legendum, nisi intercidit nonnihil. 3 ἐννάτῳ vel ἑνάτῳ vulgo. 4 Constanter ἀδδηφαγίας edd. 5 Forſ. Σιμαλίδος, ut alibi apud Noſtrum. Ειμαλίδος h. l. Ms. 6 Ἑρμίχου edd. 7 Βοιωτικῷ edd. cum ms. *Ep.*

que quid ea geſticulatione ſibi vellet, reſpondit, *tot ſibi ictus, ſi quis porro congredi vellet, ſupereſſe.* Clearchus vero, quinto libro Vitarum, ſcribit, *Cantibaridi* Perſae, quoties mandendo defatigatae eſſent maxillae, hianti domeſticos cibum in os ingerere ſolitos, tamquam in vas quoddam inanime. Hellanicus, primo libro Deucalioneae, *Eryſichthonem*, ait, Myrmidonis filium, quoniam inexplebilis eſſet helluo, *Aethonem* fuiſſe adpellatum. Polemon, primo libro eorum quae ad Timaeum ſcripſit, apud Siculos, ait, templum eſſe Voracitatis, & *Sitûs* Cereris ſtatuam, & prope eam *Himalidis* (ſive, *Simalidis*) ſtare imaginem, quemadmodum Delphis *Hermuchi*, & in Scolo Boeotico *Megalarti* & *Megalomazi* ſtatuas.

10. *Alcman* vero poëta, edacem ſe eſſe, ipſe profeſſus eſt, libro tertio; ubi ait:

Καί ποκά τοι δώσω τρίποδος κύτος,
ᾧ κ' ενι λεα τριήρης· [1] ἀλλ' ἔτι [2]
νῦν γ' ἄπυρος, [3] τάχα δὲ πλέος
ἔτνεος, [4] οἷον [5] ὁ παμφάγος Ἀλκμὰν
ἠράσθη χλιερὸν πέδα [6] τὰς τροπάς.
οὔ τι γὰρ οὐ τετυγμένον [7] ἔσθει·
d ἀλλὰ τὰ κοινὰ [8] γὰρ, ὥσπερ ὁ δᾶμος, ζατεύει.

κἀν τῷ ε'. δὲ [9] ἐμφανίζει αὐτοῦ τὸ ἀδηφάγον, λέγων οὕτως·

„Ὥρας δ' ἐσῆκε τρεῖς, [10] θέρος, καὶ χεῖμα,
χῴπάραν [11] τρίταν· καὶ τέτρατον ἦρ, ὅκα σάλ-
λειν [12] μὲν, ἔσθειν δ' ἄδαν [13] οὐκ ἔστι."

1 ᾧ καὶ Νιλέα τριήρης edd. Pro Νιλέα, est Νηλέα in ed. Caſ. 2. & 3. Pro τριήρης, est γ̄ειρης in Ms. 2 ἀλλ' ἔντι edd. 3 ἄπειρος ed. Ven. & Baſ. 4 ἔπνεο ed. Ven. & Baſ. 5 Forſ. οἷου, & dein χλιεροῦ. 6 Χαίερον παῖδα vulgo. 7 τετυμμένον editt. vett. cum Ms. Forſ. οὐ τὸ τετυγμένον. 8 καινὰ vulgo. 9 κἀν τῷδε ἐμφ. edd. 10 ἔστη καὶ κετρεῖς ed. Ven. & Baſ. ἔσηκε τρεῖς ed. Caſ. 11 χιμάλῳ παρ' ἀν ed. Ven. & Baſ. χειμὰν ὀπύραν ed. Caſ. χειμῶν' ὀπῶράν τε corr. Caſaub. χειμάχῳ· παραν Ms. 12 τέτρατον (τέταρτον ed. Ven. & Baſ.) τὸ κρόκας. ἀλλ' εἰ μὲν edd. τὸ ηροκας. ἀλλ' εἰ μὲν Ms. τὸ ἦρ ὅκα θαλεῖ μὲν corrigunt viri docti. 13 ἔσθει ἐν δάδαν edd.

Et tandem tibi dabo tripodis alvum,
[cui ineſt laevis triremis:] ſed adhuc
nunc quidem igni non eſt admotus, mox vero plenus
pultis, qualem edax Alcman
amat calidam poſt ſolſtitium.
Non enim quod exquiſite elaboratum ſit comedit;
ſed communia, ſicuti vulgus, quaerit.

Atque etiam quinto libro edacitatem ſuam declarat, ubi ſic ſcribit:

Temporum viciſſitudines immiſit tres: aeſtatem & hiemem, autumnumque tertium: quartum eſt vernum tempus, quo ſaltare quidem licet, ſed affatim comedere non licet.

Cteſias helluo.

Ἀναξίλας δὲ ὁ κωμικὸς, περὶ Κτησίου τινὸς διαλεγόμενος ἐν Χρυσοχόῳ δράματι, φησίν·

Ἤδη σχεδόν τοι πάντα σοι, πλὴν Κτησίου.
δεῖπνου γὰρ οὗτος, ὡς λέγουσιν οἱ σοφοὶ, e
ἀρχὴν, τελευτὴν δ' οὐκ ἐπίσταται μόνος.

Καὶν Πλουσίοις·

Α. Διαῤῥαγήτω χ' ἄτερος δειπνῶν τις εὖ,
μὴ Κτησίας μόνος. Β. Τί γάρ ἐ κωλύει; [1]
Α. Δείπνου γὰρ οὗτος, ὡς λέγουσιν οἱ σοφοὶ,
ἀρχὴν, τελευτὴν δ' ἔμαθεν οὐδὲ πώποτε.

Καὶν Χάρισι δὲ Κραναόν τινα συγκαταλέγει οὕτως αὐτῷ·

Οὐκ ἐτὸς ἐρωτῶσι προσιόντες τινὲς, [2]
ἔντως ὁ Κραναὸς Κτησίου κατεσθίει f
ἔλαττον, ἢ δειπνοῦσιν ἀμφότεροι συχνά;

Φιλέταιρος δ', ἐν Ἀταλάντῃ·

1 γάρ σε κωλύει vulgo. 2 Forſ. μέν τινες.

Anaxilas vero comicus, de *Cteſia* quodam verba faciens in Aurifice fabulâ, ait:

Iam paene cuncta tenes, exceptâ Cteſiae arte.
Nam coenae hic unus, quod ſapientes praedicant,
principium novit, at non novit exitum.

Et in Divitibus:

A. *Rumpatur alius quilibet bene coenatus:*
uni Cteſiae nullum periculum. B. *Quid ergo eum prohibet?*
A. *Quia coenae hic unus, quod ſapientes praedicant,*
principium novit; at non novit exitum.

Idem, in Gratiis, *Cranaum* aliquem illi accenſet, his verbis:

Non temere quaerunt accedentes quidam,
vere-ne Cranaus minus quam Cteſias
comedat, an uterque coenet copioſius?

Philetaerus vero, in Atalanta:

Κἂν δέῃ, τροχάζω στάδια πλείω Σωτάδου· [1]
τὸν Ταυρέαν [2] δὲ τοῖς πόνοις ὑπερβαλῶ,
τὸν Κτησίαν τε τῷ φαγεῖν ὑπερδραμῶ.

Ἀνάξιππος, Κεραυνῷ·

Fulmen, fabula Anaxippi.

— Ὁρῶ γὰρ ἐκ παλαίστρας τῶν φίλων
προσιόντα μοι Δάμιππον. Β. [Ἦ] [3] τοῦτον λέγεις
a τὸν πέτρινον; τοῦτον οἱ φίλοι [4] καλοῦσί σοι
νυνὶ, δι' ἀνδρείαν, κεραυνόν; Α. Εἰκότως·
ἀβάτους ποιεῖν γὰρ τὰς τραπέζας οἴομαι
αὐτὸν, κατασκήπτοντα γ' αὐτῇ [5] τῇ γνάθῳ.

ἐν τούτοις ἐδήλωσεν ὁ κωμικὸς, διότι καὶ τὸ δρᾶμα Κεραυνὸν ἀπ' αὐτοῦ ἐπιγέγραφε. Θεόφιλος δ', ἐν Ἐπιδαύρῳ·

Ἀτρεστίδας τις Μαντινεὺς λοχαγὸς ἦν,
ἀνδρῶν ἁπάντων πλεῖστα δυνάμενος φαγεῖν.

1 Σοτάδου ed. Cas. 2 Ταυρίτην vulgo h. l. 3 Abest vulgo Ἦ. 4 τοῦτον οἱ Διφίλοι edd. τὸν οἱ φίλοι corr. Cas. 5 κατασκηπτόντα αὐτῇ ms. *A.* κατασκήπτοντ' αὐταῖς ms. *Ep.*

Si est necesse, plura curro stadia quam Sotades;
laboris sum, quam Taureas, patientior:
& Ctesiam voracitate supero.

Anaxippus, in Fulmine:

A. *Video e palaestra ad me venientem*
amicum Damippum. B. *Hunc-ne dicis*
saxeum? hunc quem sodales nunc tibi,
ob fortitudinem, Fulmen adpellant? A. *Merito id quidem:*
nam puto, inaccessas eum redditurum mensas,
si vel maxillâ suâ in eas irruerit.

Quibus verbis ostendit etiam comicus, se ab illo homine titulum dramati *Fulmen* inscripsisse. Theophilus vero in Epidauro ait:

Atrestidas fuit quidam Mantinensis centurio;
virorum omnium qui poterat plurimum comedere.

ἐν δὲ Παγκρατιαστῇ παραγαγὼν τὸν ἀθλητὴν, ὡς πολλὰ ἐσθίοντα, φησίν· b

— Α. Ἑφθῶν μὲν σχεδὸν
τρεῖς μνᾶς. [1] Β. Λέγ' ἄλλο. Α. Ῥυγχίον,[2] κωλῆν,
πόδας
τέτταρας ὑείους. Β. Ἡράκλεις! Α. βοὸς δὲ τρεῖς,
ὄρνιθ'. Β. Ἄπολλον! λέγ' ἕτερον. Α. Σύκων δύο
μνᾶς. Β. [Εἶτ'] [3] ἔπιες δὲ πόσον; Α. Ἀκράτου
δώδεκα
κοτύλας. Β. Ἀπολλόδωρε [4] καὶ Σαβάζιε!

XI. Καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο· ὡς τὸ Βοιωτόν. [5] Εὔβουλος γοῦν ἐν Ἀντιόπῃ φησί· c

Boeoti ob voracitatem traducuntur.

Πονεῖν μὲν ἄμμες, [6] καὶ φαγεῖν μὲν ἀνδρικοὶ, [7]
καὶ καρτερῆσαι· [8] τοὶ δ' Ἀθηναῖοι [9] λέγειν,

1 μνᾶς h. l. & mox iterum ms. *A.* & sic alibi conſtanter. 2 Ὀρυγχίον edd. 3 Deeſt Εἶτ' vulgo. 4 Ἀμπελόδωρε corr. Adam. An Ἀμπελεόδωρε? 5 τὸ Βοιωτῶν ed. Baſ. & Caſ. τὸ Βοιώτιον ms. *Ep.* 6 ἄμες ms. *A.* 7 μέτρι' ἀνδρικοὶ corr. Grot. 8 καρτερὴ μὲν Ms. 9 τοῖς δ' Ἀθηναίοις Ms.

Idem, in Pancratiaſta, athletam inducens tamquam edacem hominem, ait:

— A. *Elixarum carnium fere*
tres libras. B. *Quid porro?* A. *Roſtrum, petaſonem, pedes*
ſuillos quatuor. B. *Proh Hercules!* A. *tresque bubulos,*
gallinam. B. *Apollo! quid deinde?* A. *Ficorum libras*
duas. B. *Ad haec bibiſti vero quantum?* A. *Meri duodecim*
cotulas. B. *Oh Apollodore,* [ſive, *Oh vini dator,*] *&*
Sabazie!

11. Sed & integrae gentes ob voraciratem perſtringuntur a comicis poëtis; verbi cauſſa, *Boeotorum populus.* Eubulus ſane in Antiopa dicit:

Ad laborandum nos & ad comedendum fortes,
& ad tolerandum: Athenienſes vero ad dicendum:

καὶ μικρὰ Φαγέμεν· τοὶ δὲ Θηβαῖοι μέγα.

καὶ ἐν Εὐρώπῃ·

— Κτίζε [1] Βοιωτῶν πόλιν,
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας.

καὶ ἐν Ἴωνι·

Οὕτω σφόδρ' ἐστὶ τοὺς τρόπους Βοιώτιος,
ὥστ' [2] οὐδὲ δειπνῶν, [3] ὡς λέγουσ', ἐμπίπλαται.

d ἐν δὲ Κέρκωψι·

Μετὰ ταῦτα Θήβας [4] ἦλθον· οὗ τὴν νύχθ' ὅλην
τήν θ' ἡμέραν δειπνοῦσι, καὶ κοπρῶν' ἔχει [5]
ἐπὶ ταῖς θύραις ἕκαστος· οὗ πλήρει βροτῶν [6]
οὐκ ἐστὶ μεῖζον ἀγαθόν. ὡς χεζητιῶν
μακρὰν βαδίζων, πολλὰ δ' ἐσθίων ἀνὴρ,
δάκνων [7] τὰ χείλη, παγγέλοιός ἐστ' ἰδεῖν. [8]

1 Κτίζω ms. *Ep.* 2 ὡς οὐδὲ edd. 3 δεῖπνον ed. Caſ. δείπνων ed. Ven. & Baſ. cum msstis. 4 Θήβαζ' ms. *Ep.* 5 κόπρον γ' ἔχει edd. 6 βροτῷ malles cum Caſaub. βοτῶν coni. Toup. 7 δάκνει edd. 8 παγγέλαιος ἐστὶν ἰδεῖν. edd. Hinc Toup: δάκνει τ. χ. παγγέλοιός τ' ἐστ' ἰδεῖν.

& parum illi edunt, ſed Thebani plurimum.

Idem, in Europa:

— Conde Boeotorum urbem,
virorum ſtrenuorum ad comedendum toto die.

Rurſus, in Ione:

Ita eſt ſupreme moribus Boeoticis,
ut poſſe eum, cum coenat, impleri negent.

Idem rurſus, in Cercopibus:

Poſt haec Thebas veni, totam ubi noctem
diemque totum coenant, & ſterquilinium habet
ante fores quisque; quo homini, cui plenus venter,
nullum eſt bonum maius. Nam cacaturiens,
cui longa cunda via, aut qui multis ingeſtis cibis
labia mordet, ridiculum prorſus eſt ſpectaculum.

ἐν δὲ τοῖς Μυσοῖς πρὸς τὸν Ἡρακλέα ποιεῖ τινα τάδε λέγοντα·

Σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπὼν,
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας,
ὅλους [1] τραχήλους, καὶ [2] κοπρῶνος [3] πλησίον. e

Δίφιλος δὲ, ἐν Βοιωτίῳ·

— οἷος ἐσθίειν, πρὰ ἡμέρας
ἀρξάμενος, ἢ πάλιν πρὸς ἡμέραν. —

Μνησίμαχος, Βουσίριδι·

— Εἰμὶ γὰρ Βοιώτιος
ὀλίγα μὲν ἄλλων, ταῦτα πολλὰ δ' ἐσθίων.

Ἄλεξις, Τροφωνίῳ·

Νῦν δ' ἵνα μὴ παντελῶς Βοιώτιοι
φαίνησθ' εἶναι τοῖς διασύρειν ὑμᾶς εἰθισμένοις,
ὡς ἀνίκητοι [4] νῦν εἶναι βοᾶν καὶ πίνειν [5] μόνον, f

1 δι' ἡμέρας ὅλης Ms. 2 καὶ τοὺς edd. 3 κοπρῶνας vulgo.
4 ἀκίνητοι vulgo. 5 πονεῖν vulgo.

In Myſis vero inducit aliquem, qui Herculem his verbis adloquitur:

Tu quidem Thebanum, ut ais, ſolum linquens,
virorum toto die comedere ſtrenuorum,
qui toti quanti guttura ſunt, & ſterquilinio proximi.

Diphilus, in Boeotio:

Poteſt hic comedere, ante diluculum
exorſus, aut redeuntem usque ad alterum diem.

Mneſimachus, Buſiride:

— *Sum enim Boeotius;*
aliarum quidem rerum parum, harum vero comedens plurimum.

Alexis, Trophonio:

Nunc vero, ne quovis modo eſſe Boeotii
deprehendamini ab his qui vos traducere ſolent,
ut qui invicti ſitis clamando, nec aliud niſi bibere

καὶ δειπνεῖν ἐπιστάμενοι διὰ τέλος τὴν νύχθ' ὅλην,
γυμνοῦσθ' [1] ἑαυτοὺς θᾶττον ἅπαντες.

Ἀχαιὸς δ', ἐν Ἄθλοις·

A. Πότερα θεωροῖς, εἴ τ' [2] ἀγωνισταῖς λέγεις;

a B. Πολλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος.

A. Ποδαποὶ γάρ εἰσιν οἱ ξένοι; B. Βοιώτιοι.

Ἐκ τούτων εἰκός ἐστι καὶ Ἐρατοσθένη, ἐν ταῖς Ἐπιστολαῖς, Πέμπελον, φῆσαι, ἐρωτηθέντα „Τί αὐτῶ δοκοῦσιν εἶναι Βοιωτοί;" εἰπεῖν· „Τί γὰρ ἄλλο ἢ τοιαῦτα ἐλάλουν, οἷα ἂν καὶ τὰ ἀγγεῖα φωνὴν λαβόντα, πόσον ἕκαστος χωρεῖ." Πολύβιος δ' ὁ Μεγαλοπολίτης ἐν τῇ εἰκοστῇ τῶν Ἱστοριῶν φησιν, [3] ὡς „Βοιωτοὶ μεγίστην δόξαν λαβόντες κατὰ [4] τὰ Λευκτρικά, κατὰ μικρὸν [5] ἀνέπεσον ταῖς ψυχαῖς,
b καὶ ὁρμήσαντες ἐπ' εὐωχίας, καὶ μέθας διέθεντο καὶ

1 γυμνοῦσθ' edd. 2 εἴτ' vulgo. 3 φησὶ τῶν Ἱστ. edd. 4 μετὰ τὰ Λ. edd. 5 Forſ. μετὰ μικρὸν.

coenareque ſciatis continenter tota nocte;
nudate vos ocyus omnes.

Achaeus, in Certaminibus:

A. *Spectatoribus-ne, an certatoribus dicis?*

B. *Multum comedentibus* (dico,) *ut mos eſt athletarum.*

A. *Cuiates ergo ſunt hi hoſpites?* B. *Boeotii.*

Ex quibus rationem habet quod ait Eratoſthenes in Epiſtolis: »Pempelum interrogatum, *quidnam ei viderentur eſſe Boeotii?* reſpondiſſe: *Nihil aliud niſi talia loquebantur, qualia dicerent vaſa, ſi voce eſſent praedita; nempe, quantum capiat quisque.*« Polybius vero Megalopolitanus, viceſimo libro Hiſtoriarum, ſcribit: »Boeotos, poſtquam iis temporibus, quibus Leuctrica victoria potiti ſunt, maximam gloriam eſſent adepti, paulatim remiſiſſe animos, & ad epulas & temulentiam & amicorum ſodalitates

κοινώνεια τοῖς Φίλοις. πολλοὶ δὲ καὶ [1] τῶν ἐχόντων γενεὰς ἀπεμέριζον τοῖς συσσιτίοις τὸ πλέον μέρος τῆς οὐσίας, ὥστε πολλοὺς εἶναι Βοιωτῶν οἷς ὑπῆρχε δειλινὰ [2] τοῦ μηνὸς πλείω τῶν εἰς τὸν μῆνα διατεταγμένων ἡμερῶν. διόπερ Μεγαρεῖς, μισήσαντες αὐτῶν τὴν τοιαύτην κατάστασιν, ἀπένευσαν εἰς τοὺς Ἀχαιούς.“

XII. Thessali, edaces.

Καὶ Φαρσάλιοι δὲ κωμῳδοῦνται ὡς πολυφάγοι. Μνησίμαχος γοῦν, ἐν Φιλίππῳ, φησί·

— Α. Τῶν Φαρσαλίων
ἥκει τις, ἵνα καὶ [3] τὰς τραπέζας καταφάγῃ; [4] c
Β. Οὐδείς πάρεστιν. Α. Εὖγε δρῶντες. ἆρά που
ὀπτὴν κατεσθίουσι πόλιν Ἀχαϊκήν;

Ὅτι δὲ καὶ πάντες Θετταλοὶ ὡς πολυφάγοι διεβάλλοντο, Κράτης φησὶν ἐν Λαμίᾳ·

1 Abeſt καὶ edd. 2 δειπνὰ ms. *A.* διπλὰ dabat cod. ms. apud Polyb. unde δεῖπνα fecit Valeſ. 3 Deeſt καὶ vulgo. 4 καταφάγοι edd.

celebrandas ſeſe contuliſſe. Multique etiam, ait, ex his qui liberos ſuſtulerant, maiorem partem facultatum ſuarum ſodalitatibus huiusmodi tribuebant; ita quidem ut multi eſſent ex Boeotis, quibus plures eſſent per menſem merendae [*ſive*, coenae] conſtitutae, quam eſſent ſinguli cuiusque menſis dies. Quare Megarenſes, tali rerum ſtatu offenſi, ab illorum ſocietate ad Achaeos deſcivere.“

12. Etiam *Pharſalii* a comicis poëtis tamquam *edaces* perſtringuntur. Mneſimachus certe, in Philippo, ait:

— A. *An ex Pharſaliis*
venit aliquis, menſas etiam qui devoret?
B. *Adeſt nemo.* A. *Recte: an fortaſſe alicubi*
aſſum devorant oppidum aliquod Achaicum?

Quin &, *Theſſalos* omnes ut *edaces* notari ſolitos eſſe, declarat Crates in Lamia:

Ἐπεὶ [1] τριπήχη Θετταλικῶς τετμημένα.
τοῦτο δ' εἶπεν ὡς τῶν Θετταλῶν μεγάλα κρέα τεμνόντων. Φιλέταιρος δ', ἐν Λαμπαδηφόροις, καὶ „χειροβαρὲς σαρκὸς ὑείας Θετταλότμητον κρέας." Ἔλεγον δὲ καὶ Θετταλικὴν ἔνθεσιν, τὴν μεγάλην. Ἕρμιππος, Μοίραις·

d Ὁ Ζεὺς δὲ, τούτων οὐδὲν ἐνθυμούμενος,
μύων, [2] ξυνέπλαττε Θετταλικὴν τὴν [3] ἔνθεσιν.

ταῦτα δὲ Καπανικὰ εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς·

Τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν; καί·

Τὰ Θετταλικῶν μὲν πολὺ Καπανικώτερα.
οἷον, τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας, καπάνας ἔλεγον. Ξέναρχος, Σκύθαις·

e — Α. Ἑπτὰ δὲ καπάνας ἔτρεφον

1 Ἕπη corrigit Casaub. 2 μύρων edd. 3 τὴν Θετταλ. edd.

[*Verba*] *tricubitalia, Theſſalico more diſſecta.* Hoc nimirum dixit poëta, innuens ingentia in fruſta carnes ſecare ſolitos Theſſalos. Similiter vero etiam Phileterus in Lampadophoris ait: *gravi pondere fruſtum ſuillae carnis, Theſſalico more ſectum.* Pariter *Theſſalicam* dicebant *bucceam*, quae ingens eſſet. Hermippus, in Parcis:

Iupiter vero, haec nihil prorſus curans,
premens oculos, bucceam finxit Theſſalicam.

Ea fruſta Ariſtophanes, in Tageniſtis, *Capanica* vocavit:

Quid haec ad Lydorum coenas & Theſſalorum?

& deinde:

Fruſta multo καπανικώτερα quam Theſſalica:

quaſi diceret, quae currum onerare poſſint. Currum enim Theſſali *καπάναν* vocant. Xenarchus, in Scythis:

— A. *Septem capanas alebant in ludos*

ἐς Ὀλυμπίαν. [1] Β. Τί λέγεις; Α. Καπάνας Θετταλοὶ [2]
πάντες καλοῦσι τὰς ἀπήνας. Β. Μανθάνω.

XIII. Αἰγυπτίους δ' Ἑκαταῖος ἀρτοφάγους φησὶν εἶναι, κυλλήστιας ἐσθίοντας, τὰς δὲ κριβὰς εἰς ποτὸν καταλέοντας. [3] διὰ ταῦτα καὶ Ἄλεξις, ἐν τῷ Περὶ Αὐταρκείας, ἔφη, μετρίᾳ τροφῇ κεχρῆσθαι τὸν Βόκχορίν, [4] καὶ τὸν πατέρα αὐτοῦ Νεόχαβιν. Καὶ Πυθαγόρας δὲ ὁ Σάμιος μετρίᾳ τροφῇ ἐχρῆτο, ὡς ἱστορεῖ Λύκων ὁ Ἰασεὺς ἐν τῷ Περὶ Πυθαγόρου. [5] οὐκ ἀπείχετο δὲ ἐμψύχων, ὡς Ἀριστόξενος εἴρηκεν. Ἀπολ- f
λόδωρος δὲ ὁ Ἀριθμητικὸς, καὶ θῦσαι, φησὶν, αὐτὸν ἑκατόμβην, ἐπὶ τῷ εὑρηκέναι ὅτι τριγώνου ὀρθογωνίου ἡ τὴν ὀρθὴν γωνίαν ὑποτείνουσα ἴσον δύναται ταῖς περιεχούσαις.

Ἡνίκα Πυθαγόρης [6] τὸ περικλεὲς εὕρατο γράμμα

Frugales Aegyptii:

Pythagoras:

1 εἰς Ὀλυμπ. vulgo. 2 Καπ. δὲ Θεττ. edd. 3 καταλεαίνοντας edd. 4 Βόκχαριν ms. *Ep.* 5 περὶ Πυθαγορίου Ms. 6 Πυθαγόρας edd.

Olympicos. B. *Quid ais?* A. *Capanas Theſſali cuncti currus vocant.* B. *Intelligo.*

13. *Aegyptios* vero, Hecataeus ait, *panivoros* eſſe; qui *cylleſtibus* (id nomen panis ſubacidi eſt) veſcantur, & hordeum in potionis etiam uſum molâ frangant. Quare etiam Alexis, in libro DE Frugalitate, modico victu uſum eſſe ait Bocchorin & eius patrem Neochabin. Verum etiam *Pythagoras* Samius modico uſus victu eſt, ut tradit Lycon Iaſenſis in libro DE Pythagora. Nec tamen ab animatis abstinuiſſe eum, adfirmat Ariſtoxenus. Apollodorus vero Arithmeticus, etiam hecatomben ſacrificaſſe eum, tradit, poſtquam reperiſſet, in triangulo rectangulo lineam recto angulo ſubtenſam aequivalere duobus lateribus angulum continentibus.

Celebris Pythagoras nobilem poſtquam invenit

κλεινὸς, ἐφ' ᾧ κλεινὴν ἤγαγε βουθυσίην.

a Ἦν δὲ καὶ ὀλιγοπότης ὁ Πυθαγόρας, καὶ εὐτελέστατα διεβίου, ὡς καὶ πολλάκις μέλιτι μόνῳ ἀρκεῖσθαι. Τὰ παραπλήσια δ' ἱστορεῖται καὶ περὶ Ἀριστείδου, καὶ Ἐπαμινώνδου, καὶ Φωκίωνος, καὶ Φορμίωνος, τῶν στρατηγῶν. Μάνιος δὲ Κουρίος, ὁ Ῥωμαίων στρατηγὸς, ἐπὶ γογγυλίσι διεβίω πάντα τὸν χρόνον· καὶ Σαβίνων αὐτῷ πολὺ χρυσίον προσπεμπόντων, οὐκ ἔφη δεῖσθαι χρυσίου ἕως ἂν τοιαῦτα δειπνῇ. ἱστορεῖ δὲ ταῦτα Μεγακλῆς, ἐν τῷ Περὶ Ἐνδόξων Ἀνδρῶν. Aristides, aliique clari imperatores.

XIV.

Τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, Optima Mediocritas.

b ὡς Ἄλεξις, ἐν Φιλούσῃ, παραδίδωσιν·

— Ἀλλ' ἔγωγε τοῦ τὰ δέοντ' ἔχειν [1]
τὰ περιττὰ μισῶ. τοῖς ὑπερβάλλουσι γὰρ
τέρψις μὲν οὐκ ἔνεστι, πολυτελεία δέ.

1 ἀρκούμενος supplet Grot.

figuram, ob quam nobilem obtulit hecatomben.

Sed & perquam modici potus fuit Pythagoras, & in universum adeo frugali victu constanter usus est, ut saepius etiam solo melle fuerit contentus. Paria vero etiam de *Aristide* traduntur; itemque de *Epaminonda*, de *Phocione*, & de *Phormione*, belli ducibus. *Manius* vero *Curius*, Romanorum imperator, constanter nonnisi raparum esu vitam sustentavit: ad quem quum Sabini magnam auri vim misissent; *auro sibi nil esse opus*, ait ille, *quamdiu talia coenaret.* Narrat hoc Megacles, in libro de Viris Illustribus.

14. Mediocres vero coenas laudant multi. Sic Alexis, in Foemina amante, praecipit:

Ego quod habere satis est contentus mihi,
odi quod nimium est. In eo quod superat modum,
voluptas nulla, sola est ostentatio.

ἐν δὲ [1] Ψευδομένῳ·

Τὰ περιττὰ μισῶ. τοῖς ὑπερβάλλουσι γὰρ
δαπάνη πρόσεστιν, ἡδονὴ δ' οὐδ' ἠτισοῦν.

ἐν δὲ Συντρόφοις·

Ὡς ἡδὺ πᾶν τὸ μέτριον. οὔθ' ὑπεργέμων
ἀπέρχομαι νῦν, οὔτε κενὸς, ἀλλ' ἡδέως c
ἔχων ἐμαυτοῦ. Νινησίβεος γάρ φησι, δεῖν
φεύγειν ἁπάντων τὰς ὑπερβολὰς ἀεί.

Ἄριστον δ' ὁ Φιλόσοφος, ἐν Ἐρωτικῶν Ὁμοίων δευτέρῳ, Πολέμωνα, φησὶ, τὸν Ἀκαδημαϊκὸν παραινεῖν τοῖς ἐπὶ δεῖπνον πορευομένοις φροντίζειν, ὅπως ἡδὺν πότον [2] ποιῶνται, μὴ μόνον εἰς τὸ παρὸν, ἀλλὰ
Timotheus coenat apud Platonem. καὶ εἰς τὴν αὔριον. Τιμόθεος δ' ὁ Κόνωνος, ἐκ τῶν πολυτελῶν καὶ στρατηγικῶν δείπνων παραληφθεὶς ὑπὸ τοῦ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημίᾳ συμπόσιον, καὶ d
ἑστιαθεὶς ἀφελῶς καὶ μουσικῶς, ἔφη, ὡς οἱ παρὰ

1 Desunt verba ἐν δὲ Ms. 2 ποτὲν vulgo.

Et in Mentiente:

Quod nimium eſt, odi: namque in exſuperantiâ impendi multum eſt; nulla delectatio.

Idem in Coalumnis:

Quam dulce eſt omne quod mediocre eſt. Non nimis onuſtus nunc abeo; nec vacuus rurſus; ſed ſuaviter me habens. Oportet quippe, ut Mneſitheus monet, in omnibus rebus fugere quod nimium ſit.

Ariſto vero philoſophus, ſecundo libro Amatoriorum Similium, Polemonem Academicum, ait, hortari ſolitum eos qui ad coenam irent, *curare ut compotationem agant non modo in praeſens iucundam, ſed & in craſtinum.* Timotheus vero, Cononis filius, ſumtuoſis aliâs & imperatoriis coenis adſuetus, cum a Platone ad convivium in Academia adhibitus, frugaliter quidem, ſed elegan-ter & erudite eſſet exceptus, dicebat, *qui apud Plato-*

Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς γίνονται. Ὁ δ' Ἡγήσανδρος [1] ἐν τοῖς Ὑπομνήμασιν ἔφη, ὡς καὶ τῇ ὑστεραίᾳ ὁ Τιμόθεος ἀπαντήσας τῷ Πλάτωνι εἶπεν· „ Ὑμεῖς, ὦ Πλάτων, εὖ δειπνεῖτε μᾶλλον εἰς τὴν ὑστεραῖαν, ἢ εἰς τὴν παροῦσαν ἡμέραν. Πύρρων δ' ὁ Ἠλεῖος, τῶν γνωρίμων τινὸς αὐτὸν ὑποδεξαμένου, πολυτελῶς δὲ, [2] ὡς αὐτὸς ἱστορεῖ· „ Εἰς τὸ λοιπὸν, εἶπεν, οὐχ ἥξω πρὸς σὲ, ἂν οὕτως ὑποδέχῃ· ἵνα μήτε ἐγὼ σὲ ἀηδῶς ὁρῶ καταδαπανώμενον οὐκ ἀναγκαίως, μήτε σὺ θλιβόμενος κακοπαθῇς. μᾶλλον γὰρ ἡμᾶς τῇ μεθ' ἑαυτῶν συνουσίᾳ προσῆκόν ἐστιν εὐεργετεῖν, ἢ τῷ πλήθει τῶν παρατιθεμένων, ὧν [3] οἱ διακονοῦντες τὰ πλεῖστα δαπανῶσι."

Coenas sumtuosas respuit Pyrrho.

XV.

Menedemi convivia.

Ἀντίγονος δ' ὁ Καρύστιος, ἐν τῷ Μενεδήμου Βίῳ, τὴν διάταξιν διηγούμενος τοῦ παρὰ τῷ Φιλοσόφῳ συμποσίου, φησὶν, ὅτι ἡρίστα μὲν δεύτερος ἢ τρίτος καθ'

1 Ἡγησ. δὲ edd. 2 Abest δὲ ms. *Ep.* 3 Deest ἂν vulgo.

nem coenent, eos etiam postridie bene habere. Hegesander vero in Commentariis ait, Timotheum postridie quum Platoni obviam esset factus dixisse: *Vos, o Plato, bene coenatis in posterum magis diem quam in praesentem.* Pyrrho vero Eleus, a familiarium quodam, ut narrat ipse, exceptus sumtuoso admodum convivio: *Posthac,* inquit, *non veniam ad te, si ita me excipis: ne & ego dolens te videam multas sine necessitate impensas facientem, & tibi incommodum ac detrimentum adferat nostra consuetudo. Magis enim nos decet mutuis colloquiis nobis invicem benefacere, quam ferculorum multitudine, quorum maximam partem famuli absumunt.*

15. Antigonus vero Carystius, in Menedemi Vita, rationem exponens qua apud philosophum agebantur convivia, ait: »prandere eum consuesse privatim cum

αὐτόν· [1] καὶ ἔδει καὶ τοὺς λοιποὺς παρεῖναι δεδειπνηκότας. ἦν γὰρ τὸ τοῦ Μενεδήμου τοιοῦτον ἄριστον. f μετὰ δὲ ταῦτα εἰσεκάλουν τοὺς παραγινομένους· ὧν, ὡς ἔοικεν, ὅτε προτερήσειαν ἔνιοι τῆς ὥρας, ἀνακάμπτοντες παρὰ τὰς θύρας ἀνεπυνθάνοντο τῶν ἐξιόντων παίδων, τί τὸ παρακείμενον εἴη, καὶ πῶς ἔχοι τῆς τοῦ χρόνου συμμετρίας τὸ ἄριστον. ὅτε μὲν οὖν ἀκούσειαν λάχανον ἢ τάριχος, ἀνεχώρουν· ὅτε δ' ὅτι κρεάδιον, εἰσῄεσαν εἰς τὸν ἐπὶ τοῦτο παρεσκευασμένον οἶκον. ἦν δὲ τοῦ μὲν θέρους ἡτοιμασμένη ψίαθος ἐφ' a ἑκάστης κλίνης, τοῦ δὲ χειμῶνος κώδιον· προσκεφάλαιον δὲ αὐτὸν [2] φέρειν ἕκαστον ἔδει. τὸ δὲ περιαγόμενον ποτήριον οὐ μεῖζον ἦν κοτυλιαίου. [3] τράγημα δὲ, θέρμος μὲν [4] ἢ κύαμος συνεχῶς· ποτὲ δὲ καὶ τῶν ὡραίων εἰσεφέρετό τι, τοῦ μὲν θέρους ἄπιος ἢ ῥοιὰ,

1 καθ' ἑαυτὸν edd. 2 αὐτῶν edd. αὐτῷ apud Laërt. 3 οὐ μεῖζον ἢ κοτυλιαῖον edd. 4 τραγ. μὲν θερμ. ἢ κυαμ. edd.

uno aut duobus: atque etiam reliquos, qui ad convivium essent vocati, oportebat iam coenatos adesse: nam prandium Menedemo pro coena erat. Post haec demum intro vocabantur qui aderant: quorum si qui, ut fieri solet, ante iustum tempus adveniissent, pro foribus obambulantes scisscitabantur ex egredientibus pueris, quidnam esset adpositum, & quousque processisset prandium. Qui si audirent, olus esse adpositum aut salsamentum, recedebant: sin carnem, ingrediebantur conclave ad recipiendos convivas paratum. Erat autem aestivo tempore lectulus quisque storeâ stratus arundineâ, hyeme vero pelle villosâ: sed cervical sibi quemque convivarum domo adferre oportebat. Quod circumferebatur poculum, cotulam capiebat, non amplius. Pro tragemate constanter erat lupinus aut faba: nonnumquam vero fructuum nonnihil, quos fert anni tempus, adpone-

τοῦ δὲ ἔαρος ὤχροι, κατὰ δὲ τὴν χειμερινὴν ὥραν ἰσχάδες. Μαρτυρεῖ δὲ καὶ περὶ τούτων Λυκόφρων ὁ Χαλκιδεὺς, γράψας Σατύρους, Μενέδημον· ἐν οἷς φησιν ὁ Σιληνὸς [1] πρὸς τοὺς σατύρους· Menedemus, fatyra Lycophronis.

b Παῖδες κρατίστου πατρὸς [2] ἐξωλέστατοι,
ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ.
δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ, μὰ τοὺς θεοὺς,
οὔτ' ἐν Ῥόδῳ τοιοῦτον, οὔτ' ἐν Λυδίᾳ,
κατέχω δεδειπνηκώς. Ἄπολλον, ὡς καλόν.

καὶ προσελθών·

— Ἀλλὰ κυλίκιον [3]
ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου,
ἀτρέμα παρεξεστηκός· ὅ τ' [4] ἀλιτήριος
καὶ δημόκοινος [5] ἐπεχόρευε [6] δαψιλὴς

1 Σεληνὸς edd. 2 παιδὸς editt. vett. cum msstis. 3 Ἀλλὰ καὶ κυλίχνιον corr. Toup. 4 παρεξεστηκότος Toup. 5 δημόνικος hic vulgo; δημόκριτος supra. 6 ἐπεχάρευε ms. *A.* ἐπεχόρευσε supra.

batur; aeſtate quidem pirum aut malum Punicum; vere ervilia; hyeme caricae. Teſtificatur eadem etiam Lycophron Chalcidenſis, in Satyra quam ſcripſit, cui titulus *Menedemus;* ubi Satyros in hunc modum compellat Silenus:

Fortiſſimi parentis filii perditiſſimi!
Ego nunc vobis, ut videtis, geſtio.
Coenam quippe nec in Caria, per Deos,
nec Rhodi talem, nec vero in Lydia,
coenare memini. Apollo, quam fuit praeclara!

Deinde progreſſus ait:

— *Pocillum vero puer*
aquoſum circumferebat vini quinquobolaris,
vapidi propemodum: tum execrandus ille
& carnifex in menſa ſaltabat frequens

Θέρμος, πενήτων καὶ τρικλίνου συμπότης.
ἐξῆς δέ φησιν, ὅτι ζητήσεις ἦταν παρὰ πότον. c
— Τράγημα γὰρ,
ὁ σωφρονιστὴς πᾶσιν ἐν μέσῳ [1] λόγος.
Ἱστορεῖται δὲ καὶ ὅτι πολλάκις συνόντας αὐτοὺς ἐπὶ πλεῖον „ὁ ὄρνις κατελάμβανε τὴν ἕω καλῶν, τοῖσι δὲ οὐδέπω κόρος.“

XVI. Arcesilaus frugalis & facetus.

Ἀρκεσίλαος δ' ἐστιῶν τινας, καὶ ἐλλιπόντων τῶν ἄρτων, νεύσαντος τοῦ παιδὸς ὡς οὐκ ἔτ' εἰσὶν, ἀνακαγχάσας καὶ τῷ χεῖρε συγκροτήσας· „Οἷόν τι, [2] ἔφη, τὸ συμπόσιόν ἐστιν ἡμῶν, ἄνδρες φίλοι. ἄρτους ἐπιλελήσμεθα ἀρκοῦντας πρίασθαι. τρέχε δὴ παῖ.“ καὶ τοῦτ' ἔλεγεν αὐτὸς γελῶν· καὶ τῶν παρόν- d των δ' ἄθρους ἐξεχύθη γέλως, καὶ διαγωγὴ πλείων ἐνέπεσε καὶ διατριβή, ὥστε ἥδυσμα γενέσθαι τῷ συμποσίῳ τὴν τῶν ἄρτων ἔνδειαν. Ἄλλοτε δὲ ὁ Ἀρκεσί-

1 ὁ σωφρ. τοῖς φιλικοῖς apud Laërt. 2 οἷον δὴ edd.

lupinus, pauperum & tricliniorum conviva.
Tum, ait, quaeſtiones inter potandum fuiſſe propoſitas.
— *Nam pro bellariis,*
ſermones proponuntur morum caſtigatores.
Narratur etiam, ſaepenumero contigiſſe, ut illos colloquia longius protrahentes deprehenderit *avis auroram adnuncians, necdum* (ſermonibus) *ſatiatos.*

16. Arceſilaus cum epulis excepiſſet nonnullos, deficerentque panes, puero id nutu ſignificante, in riſum effuſus, complosis manibus, ait: *Videte, amici, quale noſtrum eſt convivium! Panum quod ſatis eſſet obliti ſumus emere. Curre, puer, ocyus!* Quae cum ridens ille dixiſſet, convivae pariter omnes in riſum erumpebant, & maior eis hilaritas & oblectatio acceſſit; ita pro condimento epularum fuit panis defectus. Alio tempore Arceſilaus

λαος Ἀπελλῆ τῷ γνωρίμῳ προστάξας καθυλίσαι τὸν οἶνον, ἐπειδὴ διὰ τὴν ἀπειρίαν ἐκεῖνος τὰ μὲν ἐτάραττεν, τὰ δὲ ἐξέχει, καὶ πολὺ θολώτερος [1] ἐφαίνετο ὁ οἶνος, ὑπομειδιάσας ἔφη· „Ἐγὼ δὲ καθυλίσαι προσέταξα ἀνθρώπῳ μηδὲν ἑωρακότι ἀγαθὸν, ὥσπερ οὐδ' ἐγώ. ἀνάστηθι οὖν σὺ, Ἀρίδικες· [2] σὺ δὲ ἀπελθὼν τὰ ἐκτὰ [3] e τρύπα.“ Ταῦτα δ' οὕτως εὐφράνε καὶ ἐξιλάρου τοὺς παρόντας, ὡς εὐθυμίας πληροῦσθαι.

XVII. Aliorum coenae turbulentae.

Οἱ δὲ νῦν συνάγοντες τὰ δεῖπνα, [4] καὶ μάλιστα οἱ ἀπὸ τῆς καλῆς Ἀλεξανδρείας, βοῶσι, κεκράγασι, βλασφημοῦσι τὸν οἰνοχόον, τὸν διάκονον, τὸν μάγειρον. κλαίουσι δ' οἱ παῖδες, τυπτόμενοι κονδύλοις ἄλλος ἄλλοθεν. καὶ οὐχ οἷον οἱ κεκλημένοι μετὰ πάσης ἀηδίας δειπνοῦσιν, ἀλλὰ κἂν τύχῃ θυσία τις οὖσα, παρακαλυψάμενος ὁ θεὸς οἰχήσεται, καταλι-

1 θολερώτερος ms. *Ep.* 2 Ἀρίδικε ms. *Ep.* 3 ἐκτὰ edd. An ἐκτὸς? An ἔκχυτα? 4 συναγαγόντες ἐπὶ τὰ δεῖπνα vulgo.

cum Apellem, unum ex discipulis, iussisset percolare vinum, isque ob imperitiam partem effunderet, & reliquum turbaret, ut multo turbidius, quam ante, esset vinum; subridens dixit: *Ego colare iussi hominem qui nihilo magis, quam ego, videt quod rectum est. Surge igitur tu, Aridices: tu vero abi, & quae foris sunt perfora.* Quibus verbis ita exhilaravit oblectavitque convivas, ut laetitiâ pleni essent.

17. Qui vero hac aetate convivia agunt, & praesertim qui pulcram habitant Alexandriam, clamant, vociferantur, conviciis incessunt pocillatorem, famulum, coquum. Flent pueri, alius hinc, alius illinc, pugnis contusi. Et, ut taceam multo cum taedio coenantes invitatos, ne Deus quidem, si qua sacrificii celebratur solennitas, tulerit indignitatem; sed velato capite abie-

πὼν οὐ μόνον τὸν οἶκον, ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν. f
γελοῖον γάρ ἐστιν, αὐτὸν [1] εὐζημίαν κηρύξαντα κατ-
αρᾶσθαι τῇ γυναικὶ καὶ τοῖς τέκνοις. καὶ τοῖς δει-
πνοῦσι δ' ἂν εἰποι ὁ τοιοῦτος·

Νῦν δ' ἔρχεσθ' [2] ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα·
τῷ γὰρ τοιούτῳ ὁ οἶκος
— ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. a

Τούτων λεχθέντων ἔοικε τις τῶν παρόντων· Παραιτη-
τέον ἐς ταῦτ' ἀποβλέποντάς ἐστι [3] τὸ γαστρίζεσθαι.
Εὐτελὲς [4] γὰρ δεῖπνον οὐ ποιεῖ παροινίαν·
ὡς Ἄμφις φησὶ ἐν Πανί· οὐδὲ ὕβρεις καὶ προπηλα-
κισμοὺς, ὡς Ἄλεξις ἐν Ὀδυσσεῖ Ὑφαίνοντι μαρτυ-
ρεῖ διὰ τούτων·

— Φιλεῖ γὰρ ἡ μακρὰ συνουσία

1 Abeſt αὐτὸν ms. *Ep.* 2 ἐρχεσθαι edd. 3 ἀποβλέποντάς τι edd.
4 Ἀτελὲς ms. *A.* item ms. *Ep.* in contextu.

rit, non domo ſolum, ſed & ipſâ urbe excedens. Ridiculum eſt enim, qui bona omnia fauſtaque precari iuſſiſſet ipſe alios, eumdem maledictis proſequi uxorem & filios. Convivas ſane homo talis his verbis rectius compellaret:

Nunc coenatum ite, Martem ut committamus.

Huiusmodi quippe hominis domus

— ſimul ſuffimentis repleta eſt,
ſimul vero ululatu gemituque.

His disputatis, dicebat unus e convivis: Ad haec igitur reſpicientibus nobis cavendum eſt, ne ventri nimis indulgeamus.

Nam frugi coena immunis a petulantia eſt:

ut ait Amphis, in Pane: & a contumeliâ & conviciis; ut Alexis teſtificatur in Ulyſſe telam texente, ubi ait:

— Longa converſatio,

καὶ τὰ συμπόσια τὰ πολλὰ καὶ καθ' ἡμέραν ποιεῖν
σκῶψιν. ἡ σκώψις δὲ λυπεῖ πλεῖον [1] ἢ τέρπει πολύ.
b τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίνετ'. ἂν δ' εἴπῃς [2]
ἅπαξ,
εὐθὺς ἀντήκουσας. ἤδη λοιδορεῖσθαι λείπεται.
εἶτα τύπτεσθαι δέδεικται καὶ παροινεῖν. ταῦτα γὰρ
κατὰ Φύσιν πέφυκεν οὕτως· καὶ τί μάντεως ἔδει;

XVIII. Coena bellica.

Καὶ Μνησίμαχος δέ, ἐν Φιλίππῳ, διὰ τὸν ὑπερβάλλοντα κόρον ἐν τοῖς δείπνοις, παράγει τι συμπόσιον, πολέμου παρασκευὴν ἐπαγγελλόμενον, καὶ ὡς ἀληθῶς, κατὰ τὸν χαριέστατον Ξενοφῶντα, πολέμου
c ἐργαστήριον. λέγει δ' οὕτως·

Ἆρ' οἶσθ' ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μάχη, [3]
οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένοι,
ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν;
ἐντεῦθεν εὐθὺς ἐπιφέρει τραγήματα

1 πλέον vulgo. 2 Forſ. γίνεθ'. ἂ'ν δ' εἴπῃς. 3 μαχητίον edd. cum ms. *A*.

& novae quotidianae compotatiunculae
proferunt cavillam; quae delectat, quam mordet, minus.
Hinc maledicendi principium naſcitur: ubi quid dixeris,
audies tantumdem. Reſtant nil niſi convicia;
deinde verbera atque pugnae. Namque ſeſe haec mutuo
per naturam conſequuntur; vate nec quicquam eſt opus.

18. Iam vero Mneſimachus, in Philippo fabulâ, propter nimiam in coenis ſatietatem, convivium aliquod inducit, quod belli profitetur adparatum, & revera, ut ſuaviſſimus Xenophon ait, *belli officinam*. Loquitur autem in hunc modum:

Neſcis quibuscum tibi ſit pugna viris.
Gladios enim coenamus ſubactos cotibus:
pro obſonio voramus accenſas faces:
bellaria aliquis affert in poſtcoenium

ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικὰς,
ὥσπερ ἐρεβίνθους, δορατίων τε λείψανα
κατεαγότ'. ἀσπίδας δὲ προσκεφάλαια, καὶ
θώρακας, ἔχομεν· πρὸς ποδῶν δὲ σφενδόνας,
καὶ τόξα. καταπέλτας δέ γ' [1] ἐστεφανώμεθα.

Καὶ Κολοφώνιος δὲ Φοῖνιξ φησίν· d

Οἶνου κάδοι [2] μαχαῖρα, καὶ κύλιξ αἰχμὴ,
κόμη δὲ τόξα. δῆῖοι δὲ κρητῆρες,
ἵπποι δ' ἄκρητος, καὶ ἀλαλὴ μύρον κεῖται.

Ἐν δὲ τῷ Παρασίτῳ Ἀλεξις, περὶ πολυφάγου τινὸς διαλεγόμενος, φησίν·

Καλοῦσι δ' αὐτὸν πάντες οἱ νεώτεροι
παράσιτον, ὑποκόρισμα· τῷ δ' οὐδὲν μέλει.
δειπνεῖ δ' ἄφωνος Τήλεφος, νεύων μόνον
πρὸς [3] τοὺς ἐπερωτῶντάς τι, ὥστε πολλάκις
αὐτὸν ὁ [4] κεκληκὼς τὰ Σαμοθρᾴκι' εὔχεται e

1 Abeſt γ' vulgo. 2 κάδος malebam. 3 πρὸς deeſt edd. 4 Abeſt articulus editis.

puer, ſagittas, pro ciceribus, Creticas,
& confractorum reliquias haſtilium:
tum vero nobis haec ſunt pulvinaria,
loricae & clupei: fundae ſub pedibus iacent
& arcus: catapultis coronamur caput.

Similiter Phoenix Colophonius ait:

Vini cadus, gladius; & poculum, haſta;
coma, ſagittae; hoſtes vero, crateres;
equi, merum; & claſſicum, unguentum nobis propoſitum.

Alexis vero in Paraſito, de vorace aliquo loquens, ait:

Hunc iuvenes cuncti paraſitum nominant,
titulo ſatis honeſto: ſed ille non curat.
Sine voce coenat Telephus, rogantibus
leviter annutans; adeo ut rex convivii
Samothracibus Dis ſaepe concipiat preces,

λῆξαι πνέοντα, καὶ γαληνίσαι ποτέ.
χειμὼν ὁ μειρακίσκος ἐστὶ τοῖς Φίλοις.

Δίφιλος δ', ἐν Ἡρακλεῖ, περί τινος τῶν ὁμοίων διαλεγόμενος διέξεισιν·

— Ἐμὲ μὲν οὐχ' ὁρᾷς πεπωκότα,
ἤδη τ' ἀκροθώρακ' ὄντα, καὶ θυμούμενον;
τονδὶ δὲ ναστὸν, [1] ἀστίωνος [2] μείζονα, [3]
ἤδη σχεδὸν δωδέκατον ἠριστηκότα;

Διὸ καλῶς ἔλεγεν ὁ Βορυσθενίτης Βίων· „Οὐ δεῖν ἀπὸ τῆς τραπέζης τὰς ἡδονὰς πορίζεσθαι, ἀλλ' ἀπὸ τοῦ Φρονεῖν." ὁ δ' Εὐριπίδης φησί· Bionis dictum.

Φαύλῃ διαίτῃ προσβαλὼν ἥσθην [4] στόμα·

ὡς τῆς ἀπὸ τῶν προσφορῶν τέρψεως περὶ τὸ στόμα μᾶλλον γινομένης. Αἰσχύλος τ' ἐν Φινεῖ·

Καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου

1 τὸν δ' εἶδεν ἀστὸν edd. 2 Forſ. ἀσπίδος ὄντα. 3 μεῖζον vulgo. 4 Rectius ἥσθη apud Stob.

ut ſudum fiat, ac tempeſtas deſinat.
Namque is adoleſcens eſt hyems ſodalibus.

Diphilus, in Hercule, de ſimili quodam homine differens, ait:

— Me-ne ergo adpotum non vides,
iamque ſemiebrium, & irâ concitatum,
& qui placentam hanc, maiorem [clypeo,]
iam duodecimam fere devoraverim?

Quare praeclare Bion Boryſthenita dixit: *Non e menſa quaerendas eſſe voluptates, ſed ex ſapientia.* Euripides vero ait:

Viliori utens victu delectavi os:

ſignificans, voluptatem quae e cibo potuque capitur, in ore maxime ineſſe. Et Aeſchylus in Phineo:

Multasque falſas coenas cupidis e maxillis

ἔρυσαν [1] οἷον στόματος ἐν πρώτῃ χαρᾷ.

Ἐν Σθενεβοίᾳ δ' ὁ Εὐριπίδης περὶ εὐτελείας λέγων·

— Βίος δὲ πορφυροῦς [2] θαλασσιος,
οὐκ εὐτράπεζος, ἀλλ' ἐπακτιοι θάνατοι. a
ὑγρὰ [3] δὲ μήτηρ, οὐ πεδοστιβὴς τροφὸς, [4]
θαλασσα· τήνδ' ἀροῦμεν, ἐκ ταύτης βίος
βρόχοισι καὶ πέδαισιν οἶκαδ' ἔρχεται.

XIX.

Magnum malum, venter.

Μέγα γὰρ ἀνθρώποις κακὸν ἡ γαστήρ. περὶ ἧς φησιν Ἀλεξις ἐν Συναποθνήσκουσι·

— Μάθοις τ' ἂν οἷον ἀνθρώποις κακὸν [5]
ἐστὶν ἡ γαστὴρ, [6] διδάσκει δ' οἷ', [7] ἀναγκάζει θ' ὅσα.
Εἴ τις ἀφέλοι τοῦτ' [8] ἀφ' ἡμῶν τὸ μέρος ἀπὸ τοῦ σώματος,
οὐδ' ἂν ἀδικοῖτ' οὐδὲν οὐδεὶς, οὔθ' ὑβρίζοιτ' ἂν ἑκών. b

1 ἐρύσιας vulgo. ἐρύσας coni. Casaub. Alii ἔρυξας corrigunt, alii ἔρρευσαν. 2 περίφορος corr. Grot. 3 ἀγᾶ (sic) ms. *Ep.* 4 τρίβος corr. Grot. τροφὸς τελοῦσα Musgr. 5 κακὸν ἀνθράποις vulgo. 6 ἔσθ' ἡ γαστ. vulgo. 7 διδάσκει οἵ edd. 8 ταῦτ' edd. cum ms. *A.*

rapuerunt tamquam in primâ oris voluptate.

Rursus Euripides, in Stheneboea, de frugalitate ita loquitur:

Turbulenta vita est quae in mari agitur,
non lautae ei mensae, sed littorea praesepia.
Humida vero mater, non pedibus calcata nutrix,
maris unda: hanc aramus: ex hac victus,
laqueis & pedicis quaesitus, domum nobis venit.

19. Magnum enim malum hominibus venter est; de quo Alexis in Commorientibus ait:

— — *Videas sat vel hinc, mortalibus*
pernicies sit quanta venter, quae doceat, ad quae incitet.
Unam hanc partem si quis nostro demserit de corpore,
nemo iniuriam inferet ultro, nemo contumeliam.

νῦν δὲ διὰ ταύτην ἅπαντα γίνεται τὰ δυσχερῆ.

Δίφιλος δ', ἐν Παρασίτῳ·

Εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης·
„Νικᾷ δὲ χρεία μ', ἡ ταλαίπωρός τε μου
„γαστήρ." Ταλαιπωρότερον οὐδέν ἐστι γὰρ [1]
τῆς γαστρὸς, εἰς ἣν πρῶτον ἂν πάντ' ἐμβάλοις, [2]
ἀλλ' οὐχ' ἕτερον ἀγγεῖον. ἐν πήρᾳ φέροις
c ἄρτους ἄν, ἀλλ' οὐ ζωμόν· ἢ διαφθερεῖς.
εἰς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν.
οἰνάριον εἰς λάγυνον, ἀλλ' οὐ κάραβον.
Εἰς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφόρει [3]
τὰ πάνθ' [4] ἑαυτοῖς μηδὲν ὁμολογούμενα.
κοὐ προστίθημι τἄλλα, διότι πανταχοῦ
διὰ τὴν τάλαιναν πάντα ταύτην [5] γίνεται.

Καὶ Κράτης δ' ὁ Κυνικὸς, ὥς φησι Σωσικράτης ἐν Crates Cynicus.

1 γὰρ οὐδέν ἐστι mss. 2 ἐμβαλεῖς mssti. 3 εἰσφορεῖς corrigunt viri docti. 4 πάντα, absque τὰ, mssti. 5 ταῦτα edd. cum ms. *A.* τλητὰ Brunck. cum Valck.

At nunc huius vitio ubique cuncta fiunt turbida.

Et Diphilus, in Paraſito:

Egregie, ut multa, dixit bonus Euripides:
Me dira egeſtas ſubigit, & miſerabilis
venter. Nam certe ventre nihil eſt miſerius.
In illum cuncta coniicis: at in vas aliud
idem non liceat: panem fers in mantica,
ius non fers; aliter manticam corruperis:
imples placentâ ſportulam, non lentibus:
in utrem villum immittis, non & carabum.
At in illum Dis inviſum compingi ſolent
etiam quae inter ſe nil habent commercii.
Nec caetera addo: quippe cum conſtet ſatis,
illius ergo miſeri peccari omnia.

Et Crates Cynicus, ut narrat Soſicrates in Succeſſio-

ταῖς Διαδοχαῖς, ἐπερράπισε Δημήτριον τὸν Φαληρέα, σὺν τῇ πήρᾳ τῶν ἄρτων καὶ λάγυνον πέμψαντα οἴνου· d
„Εἴθε γὰρ, ἔφη, τὰς κρήνας καὶ ἄρτους ἦν φέρειν.“
Stilpo. Στίλπων δ' οὐ κατεπλάγη τὴν ἐγκράτειαν, καταφαγὼν σκόροδα, καὶ κατακοιμηθεὶς ἐν τῷ τῆς Μητρὸς τῶν θεῶν ἱερῷ. ἀπείρητο δὲ τῷ τούτων τι φαγόντι μηδὲ εἰσιέναι. ἐπιστασης δὲ αὐτῷ τῆς θεοῦ κατὰ τοὺς ὕπνους, καὶ εἰπούσης, ὅτι „Φιλόσοφος ὢν, ὦ Στίλπων, παραβαίνεις τὰ νόμιμα;“ καὶ τὸν δοκεῖν ἀποκρίνασθαι κατὰ τοὺς ὕπνους· „Σὺ δέ μοι παρέχε ἐσθίειν, καὶ σκορόδοις οὐ χρήσομαι.“

XX. Ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἔφη· Ἐπεὶ δεδείπνα- e
Δεδειπνάναι. μεν, — — (εἴρηκε δὲ οὕτως [1] Ἄλεξις ἐν Κουρίδι· „ἐπεὶ πάλαι δεδείπναμεν.“ Εὔβουλος Προκρίδι· „ἡμεῖς δ' οὐδέπω δεδείπναμεν.“ καὶ πάλιν· „ὃν χρὴ

1 Absunt verba δὲ οὕτως edd. nec signantur notae parentheseos.

nibus, obiurgans Demetrium Phalereum, quod cum panum perâ etiam vini lagenam ei misisset: *Utinam*, inquit, *panem etiam ferrent fontes!* Stilpo nihil a suâ temperantiâ timuit, cum, postquam allia comedisset, in templo Matris Deorum pernoctaret: quod templum ne ingredi quidem fas erat si quis tale quid comedisset. Igitur quum ei per somnum adstans Dea dixisset: *Tu, qui philosophus es, Stilpo, sacras leges transgrederis?* ille respondere Deae per eumdem somnum sibi visus est, *Tu vero mihi praebe cibum, & allia non comedam.*

20. Post haec Ulpianus dixit: Quoniam *coenavimus* — — (Quod quum Graece sic dixisset, Ἐπεὶ δεδείπναμεν: hoc enim verbo, inquit, utitur Alexis in Curide: *quoniam pridem* δεδείπναμεν. Item Eubulus, in Procride: *nos vero nondum* δεδείπναμεν: & iterum: *quem dudum* δε-

δεδειπνάναι [1] πάλαι." καὶ Ἀντιφάνης ἐν Λεωνίδῃ·
„ἀλλὰ, πρὶν δεδειπνάναι ἡμᾶς, παρέσται." καὶ
Ἀριστοφάνης ἐν Προαγῶνι·

Ὥρα βαδίζειν μοι ἐστὶ πρὸς τὸν δεσπότην,
ἤδη γὰρ αὐτοὺς οἶομαι δεδειπνάναι.

καὶ ἐν Δαναΐσιν·

f Ἤδη παροινεῖς εἰς [2] ἐμὲ, πρὶν δεδειπνάναι.

καὶ Πλάτων Σοφιστῇ, καὶ Ἐπικράτης ὁ Ἀμβρακιώτης (μέσης δ' ἐστὶ κωμῳδίας ποιητὴς) ἐν Ἀμαζόσιν·

Δεδειπνάναι γὰρ ἄνδρες εὐκαίρως πάνυ
δοκοῦσί μοι. —

Καὶ ἠρίσταμεν δ' εἴρηκεν Ἀριστοφάνης, ἐν Ταγηνισταῖς·

Ὑποπεπώκαμεν, [3] ὦ ἄνδρες, καὶ καλῶς ἠρίσταμεν.

1 Temere edd. δεδειπνάναι ἡμᾶς παρέσται πάλαι. 2 Deeſt εἰς vulgo. 3 Ὑποπεπτώκαμεν vulgo. Subiectam autem δ' vel γ' particulam deſiderat metri lex. Totus vero verſus temere omiſſus in ed. Caſ. 2. & 3.

δειπνάναι (id eſt, *coenaſſe*) oportebat. Et Antiphanes, in Leonida: *At ille prius aderit quam coenaverimus:* πρὶν δεδειπνάναι ἡμᾶς. Et Ariſtophanes, in Proagone:

Tempus eſt, ad herum ut me conferam;
nam illos puto iam δεδειπνάναι.

& in Danaidibus:

Iam velut temulentus inſultas mihi, priusquam coenaſti.
(πρὶν δεδειπνάναι.)

Et Plato, in Sophiſtâ; & Epicrates Ambraciota, mediae comoediae poëta, in Amazonibus:

Coenaſſe mihi videntur illi (δεδειπνάναι)
tempeſtive admodum.

Similiter vero etiam ἠρίσταμεν (*pranſi ſumus*) dixit Ariſtophanes, in Tageniſtis:

Adpoti ſumus, o viri, & bene pranſi. (καλῶς ἠρίσταμεν.)

καὶ Ἕρμιππος, ἐν Στρατιώταις· a

Ἀριστάναι καὶ παρεστάναι τουτῳί. [1]

Θεόπομπος, Καλλαίστρῳ·

Ἠρίσταμεν, δεῖ γὰρ συνάπτειν τὸν λόγον.

Καταριστᾶν δὲ εἰρηκεν ἐν τῷ Πολιτικῷ Ἀντιφῶν οὕτως· „ὅταν τις [2] πράγματα τὰ ἑαυτοῦ ἢ τὰ τῶν φίλων κατηρίστηκεν.“ Παραδεδειπνημένος δ' εἴρηκεν Ἄμφις, ἐν Πλάνῳ· „παραδεδειπνημένοι [3] παῖδες πάλαι.“)

XXI. Poſcuntur pocula.

— „Τοῖς οὖν θεοῖς, κατὰ τὸν Πλάτωνα, ὡς ἐν Φιλήβῳ φησὶν, εὐχόμενοι κεραννύωμεν· εἴτε Διόνυσος, b εἴτ' Ἥφαιστος, εἴτ' ὅστις θεῶν ταύτην τὴν τιμὴν εἴληχεν τῆς συγκράσεως. καθάπερ γὰρ ἡμῖν οἰνοχόοις τισὶ παρεστᾶσι κρῆναι. καὶ μέλιτος μὲν ἂν ἀπεικάζοι τις τὴν τῆς ἡδονῆς· τὴν δὲ τῆς φρονήσεως νηφαντικὴν καὶ ἄοινον, αὐστηροῦ τινος καὶ ὑγιεινοῦ ὕδατος· ἃς

1 παριστάναι τουτί edd. 2 ὅτ' ἄν τι vulgo. 3 παραδεδειπναμένοι ed. Caſaub.

Et Hermippus, in Militibus:

Prandere (ἀριστάναι) *& adeſſe huic.*

Theopompus Callaeſchro:

Ἠρίσταμεν: *pranſi ſumus, contrahendus enim ſermo.*

Καταριστᾶν vero dixit Antiphon in Politico, his verbis: *ſi quis rem ſuam & amicorum* κατηρίστηκεν, *abſumſit in prandiis.* Παραδεδειπνημένος vero dixit Amphis, in Impoſtore: *Coenâ fruſtrati* (παραδεδειπνημένοι) *pueri pridem.*) —

21. Igitur quoniam coenavimus: *Deos precati* (ut ait Plato in Philebo) *miſceamus; ſive Bacchus ſit, ſive Vulcanus, ſive quis alius Deorum, qui hoc habet ut in eius honorem mixtio fiat. Veluti enim vinum miſcentibus nobis* (duo) *adſunt fontes. Et cum melle quidem conferre aliquis voluptatis fontem poſſit: prudentiae autem fontem, qui ſobrietatem tuetur & temulentiam prohibet, cum auſterâ quadam & ſalubri aquâ*

προθυμητέον ὡς κάλλιστα συμμιγνῦναι." Ὥρα οὖν πίνειν ἡμῖν ἐστί· καὶ τῶν παίδων τις ἐκ τοῦ κυλικείου [1] τῶν ποτηρίων παραφερέτω· ὁρῶ γὰρ πλῆθος καλῶν καὶ ποικίλων ἐκπωμάτων. Δοθέντος οὖν ποτηρίου μεγάλου, ἔΟη· Ἀλλ' ἀκρατέστερόν μοι, ὦ παῖ, τῷ κυάθῳ πληρῶν ἔγχει εἰς τὴν κύλικα· μὴ κατὰ τὸν κωμῳδιοποιὸν [2] Ἀντιφάνην, [3] ὃς ἐν Διδύμοις φησί·

Τὸ [4] ποτήριόν μοι τὸ μέγα προσφέρει λαβών.
ἐπεχεάμην ἄκρατον, οὐχὶ παιδίου, [5]
κυάθους θεῶν τε καὶ θεαινῶν μυρίους·
ἔπειτ' [6] ἐπὶ τούτοις πᾶσι τῆς σεμνῆς θεᾶς,
καὶ τοῦ γλυκυτάτου βασιλέως διμοιρίαν.

Ἐμοὶ οὖν, ὦ παῖ, ζωρότερον κέραιρε. οὔπω γὰρ λέγομεν περὶ ἀριθμοῦ κυάθων. δείξω δὲ, ὅτι καὶ ὁ κύαθος εἴρηται, καὶ τὸ ἀκρατέστερον, καὶ περὶ οἰνοχόων.

1 κυλικίου vulgo. 2 κωμῳδοποιὸν edd. 3 Ἀντιφάνη ed. Baſ. & Caſ. 4 Deeſt artic. edd. 5 παιδίον vulgo. 6 εἶτ' vulgo.

quos duos fontes operam demus ut quam commodiſſime inter ſe miſceamus. Bibendi igitur nunc tempus eſt: & puerorum aliquis ex hoc vaſorum conditorio pocula adferat: nam elegantium & varii generis poculorum video multitudinem. Dato igitur maiore poculo: At meracius, inquit, o puer, cyatho hauriens in calicem mihi infunde; non ut apud comicum Antiphanem, qui in Gemellis ait:

Poculum ille magnum ſumens attulit mihi.
Libavi ego merum, non in pueri honorem,
ſed in Deorum Dearumque ſexcentos cyathos:
dein poſt hos omnes venerandae Deae,
& dulciſſimi regis in honorem duplam portionem.

Mihi ergo, o puer, *miſce* ζωρότερον: nam de cyathorum numero nondum dico. Oſtendam vero, vocabulo κύαθος uſos eſſe veteres: tum de eo quod dixerunt ἀκρατέστερον, denique de *pocillatoribus* ſive *pincernis* diſputabo.

XXII. Πρότερον δέ μοι λέξεται περὶ τοῦ ζωρότερον.

Ζωρότερον miscere.

Ἀντιφάνης, Μειλανίωνι·

Τοῦτον ἐγὼ κρίνω μεταναιπτρίδα [1] τῆς ὑγιείας
πίνειν, ζωροτέρῳ χρώμενον οἰνοχόῳ.

ἐν δὲ Λάμπωνι·

Ὅ θεῖν' Ἴαπυξ, κέρασον εὐζωρέστερον.

Ἔφιππος, Ἐφήβοις· [2] — Φιάλην ἑκατέρᾳ
ἔδωκε, [3] κεράσας ζωρότερον Ὁμηρικῶς. e

Τινὲς δὲ καὶ τὸ παρ' Ὁμήρῳ,

ζωρότερον δὲ κέραιρε, —

οὐκ ἄκρατον σημαίνειν φασὶν, ἀλλὰ θερμόν· ἀπὸ τοῦ ζωτικοῦ, καὶ τῆς ζέσεως. ἑταίρων γὰρ παρόντων, νέον ἐξ ὑπαρχῆς κεράννυσθαι κρατῆρα ἄτοπον. [4] Ἄλλοι δὲ τὸ εὔκρατον· [5] ὥσπερ τὸ δεξιτερὸν, ἀντὶ τοῦ δε-

1 μετὰ ναιπτρίδα vulgo. 2 Ἐφήβῳ edd. 3 δῶκεν edd. 4 οὐκ ἄτοπον legebat Dalec. In eademque sententiam ὃ δὴ καὶ λόγον ἔχειν apud Plat. 5 τὸ ἄκρατον videtur legendum.

22. Sed primum omnium de eo, quod ζωρότερον dixerunt, differam. Antiphanes, in Milanione:

Hunc ego iudico poculum post coenam sanitati dicatum bibere, meraciore (ζωροτέρῳ) *utentem pocillatore.*

Et in Lampone:

Heus tu, Iapyx, misce εὐζωρέστερον.

Ephippus, in Ephebis:

— *Phialam utrâque manu*
dedit, mixtam ζωρότερον *more Homerico.*

Nonnulli autem, quod apud Homerum legimus,

ζωρότερον *vero misce*, —

id non *merum* vel *meracum* significare aiunt, sed *calidum*; sic dictum existimantes a τῷ ζωτικῷ & τῇ ζέσει. Nam advenientibus amicis novum de integro craterem misceri absurdum. Alii vero *bene temperatum* intelligunt: quemadmodum δεξίτερον dicitur, pro δεξιόν. Nonnulli rursus,

ξιοῦ. Τινὲς δὲ, [1] ἐπεὶ οἱ ἐνιαυτοὶ ὧροι λέγονται, καὶ τὸ ζα [2] ὅτι μέγεθος ἢ πλῆθος σημαίνει, ζωρὸν τὸν πολυετῆ λέγεσθαι. Δίφιλος δὲ ἐν Παιδερασταῖς φησίν·

f — Ἔγχεον σὺ δὴ πιεῖν.
εὐζωρότερόν γε, νὴ Δί', ὦ παῖ, δός. [3] τὸ γὰρ
ὑδαρὲς ἅπαν τοῦτ' ἐστὶ τῇ ψυχῇ κακόν.

Θεόφραστος δ' ἐν τῷ Περὶ Μέθης, ζωρότερον φησὶν εἶναι τὸ κεκραμένον, παρατιθέμενος Ἐμπεδοκλέους τάδε·

a Αἶψα δὲ θνητὰ φύοντο, τὰ πρὶν μάθον ἀθάνατ' εἶναι·
ζωρά τε τὰ πρὶν ἄκρητα, διαλλάσσοντα κελεύθους.

XXIII. Κύαθος, de trullâ.

Κύαθον δ', ἐπὶ τοῦ ἀντλητῆρος, Πλάτων εἴρηκεν ἐν Φάωνι, οὕτως·

— τῷ στόματι τὸν κύαθον ὧδ' εἰληφότες.

καὶ ἐν Πρέσβεσι·

1 Deeſt δὲ edd. 2 τὰ ζᾶα vulgo. 3 γέννα δύω παῖδες edd.

quoniam anni Graecis ὧροι dicuntur, vocula ζα autem magnitudinem & multitudinem indicat, ζωρὸν interpretantur *quod multorum annorum ſit*, id eſt, *vetus*. Diphilus vero in Puerorum amatoribus ait:

— *Infunde tu quod bibam.*
Hem! meracius, per Iovem, da, o puer!
Nam hoc dilutum omne animo noxium eſt.

Theophraſtus vero, in libro De Ebrietate, ζωρότερον ait eſſe quod *mixtum* vel *temperatum* ſit, adponitque Empedoclis verba haec:

Statim vero facta ſunt mortalia quae prius immortalia didicerant eſſe,
& ζωρὰ quae prius non mixta, mutatis vicibus.

23. *Cyathum*, hauſtrum (*vel*, trullam) ſignificans, dixit Plato, in Phaone:

— *Ore cyathum ſic ſumſerunt.*

& in Legatis:

— κυάθους ὅσους ἐκλέπτεθ' ἑκάστοτε.

Ἄρχιππος, Ἰχθύσιν·

κύαθον ἐπριάμην παρὰ Δαισίου. b

τοιοῦτόν ἐστι καὶ τὸ ἐν Εἰρήνῃ Ἀριστοφάνους·

— ὑπωπιασμένοι

[ἀπαξάπασαι, καὶ κυάθοις προσκείμενοι.]

τὰ γὰρ ὑπώπια τοῖς κυάθοις περιθλώμενα ἀμαυροῦται. Μνημονεύει κυάθου καὶ Ξενοφῶν ἐν πρώτῳ Παιδείας, καὶ Κρατῖνος. ἔτι δὲ Ἀριστοφάνης πολλαχοῦ, καὶ Εὔβουλος ἐν Ὀρθάννῃ. Φερεκράτης δ', ἐν Λήροις, ἀργυροῦν κύαθον ὠνόμασε. Τίμων δ', ἐν δευτέρῳ Σιλλῶν,[1] ἀρυσάνας κέκληκε τοὺς κυάθους, φάσκων οὑτωσί·

— ἀπληστοίνους τ' ἀρυσάνας.

ἀπὸ τοῦ ἀρύσασθαι ὀνομάσας. καλοῦνται δὲ καὶ ἀρυ- c
στῆρες, καὶ ἀρύστιχοι. Σιμωνίδης·

Ἔδωκεν οὐδεὶς οὐδ' ἀρυστῆρα τρυγός.

1 Σίλλων edd.

Cyathos quos quavis occasione furabatur.

Archippus in Piscibus:

Cyathum emi a Daesia.

Quo pertinet etiam illud Aristophanis, in Pace:

— *fugillatae*

[*omnes, & impositos cyathos habentes.*]

Nam fugillationes cyathis (*nempe*, cucurbitulis) retusae delentur. Meminit cyathi etiam Xenophon, primo libro Institutionis, & Cratinus, item Aristophanes saepius, & Eubulus in Orthanne. Pherecrates vero, in Nugis, *argenteum cyathum* nominavit. Timon vero, quos vulgo cyathos vocamus, *arysanas* adpellavit, secundo Sillorum, ubi ait: *vini inexplebiles arysanae:* facto nomine a verbo ἀρύω, *haurio.* Vocantur vero etiam *arysteres* & *arystichi.* Simonides:

Dedit (mihi) *nemo ne ἀρυστῆρα quidem fecit.*

Ἀριστοφάνης δ', ἐν Σφηξίν·

Ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.

Φρύνιχος, Ποαστρίαις· [1] „κύλικ' ἀρύστιχον." Ἔνθεν καὶ ἡ ἀρύταινα. Ἔλεγον δὲ καὶ ἔφηβον τοιοῦτον σκεῦος, ὡς Ζηνοφάνης [2] ἐν τῷ Συγγενικῷ. Πολύβιος δ' ἐν τῇ ἑνάτῃ [3] τῶν Ἱστοριῶν, καὶ ποταμόν τινα ἀναd γράφει Κύαθον καλούμενον, περὶ Ἀρσινόην πόλιν Αἰτωλίας.

XXIV. Ἀκρατέστερον.

Τῷ δὲ ἀκρατέστερον Ὑπερίδης [4] κέχρηται ἐν τῷ κατὰ Δημοσθένους, γράφων οὕτως· „Εἰ μέν τις ἀκρατέστερον ἔπιεν, ἐλύπει σέ." Τούτῳ ὅμοιόν ἐστι τὸ ἀνιαρέστερον, καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου „ἀφθονέστερον [5] λίβα." καὶ Ἐπίχαρμος δ' ἐν Πύρρᾳ, εὐωνέστερον ἔφη. καὶ ἐν τῷ κατὰ Δημάδου δὲ ὁ Ὑπερί-

1 Παιστρίαις vulgo. 2 Ξενοφάνης corrigunt viri docti. 3 ἐννάτῃ edd. 4 Ὑπερείδης edd. & sic deinde. 5 ἀφθονέστερα ed. Ven. & Baf. ἀφθονέστερων (sic) ed. Caf.

Ariſtophanes, in Veſpis:

Ego enim habui hos aryſtichos. (*id eſt*, cyathos; hauſtra, trullas.)

Phrynichus, in Poaſtriis, (*id eſt*, Runcatricibus:) *calicem ariſtichum* dixit. Inde & *arytaena* vocatur. Sed & *ephebum* nominarunt tale vasculum: ut Zenophanes in Syngenico. (*ſive*, De Cognatione.) Polybius vero, nono Hiſtoriarum, etiam fluvium aliquem commemorat, *Cyathum* nominatum, circa Arſinoën oppidum Aetoliae.

24. Vocabulo ἀκρατέστερον Hyperides uſus eſt in oratione contra Demoſthenem, ſic ſcribens: *Si quis meracius* (ἀκρατεστερον) *bibebat, offendebat te.* Huic vocabulo ſimile eſt, ἀνιαρέστερον: (*triſtius:*) & quod apud Aeſchylum in Heliadibus legitur, ἀφθονέστερον λίβα. (*validiorem Africum.*) Similiter Epicharmus, in Pyrrhâ, εὐωνέστερον dixit, *quod eſt viliori pretio.* Et Hyperides in Ora-

Κεραννύειν. δῆς εἴρηκε „ῥαδιεστέραν τὴν πόλιν.“ Τῷ δὲ κεραννύειν [1] κέχρηται Πλάτων μὲν ἐν Φιλήβῳ· „Τοῖς δὴ [2] θεοῖς, ὦ Πρώταρχε, εὐχόμενοι κεραννύωμεν.“ καὶ Ἀλκαῖος, ἐν Ἱερῷ γάμῳ·

κεραννύουσιν [3] ἀφανίζουσί τε. e

Ὑπερίδης, Δηλιακῷ· „Καὶ τὸν κρατῆρα τὸν Πανιώνιον κοινῇ οἱ Ἕλληνες κεραννύουσιν.“ Ὠινοχόουν τε [4] παρὰ τοῖς ἀρχαίοις οἱ εὐγενέστατοι παῖδες· ὡς ὁ τοῦ Μενελάου υἱός. Pincernarum munus.

Ὠινοχόει δ' υἱὸς Μενελάου κυδαλίμοιο.

καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν παισὶν ὠνοχόησε. Θεόφραστος γοῦν ἐν τῷ Περὶ Μέθης φησί· „Πυνθάνομαι δ' ἔγωγε καὶ Εὐριπίδην τὸν ποιητὴν οἰνοχοεῖν Ἀθήνησι, τοῖς ὀρχησταῖς καλουμένοις. ὠρχοῦντο δ' οὗτοι περὶ τὸν τοῦ f Ἀπόλλωνος νεὼν τοῦ Δηλίου, τῶν πρώτων ὄντες [5] Ἀθη-

1 κερανύουσι ms. *A*. 2 δὲ edd. 3 κερανύουσί τε edd. 4 δὲ malebam. Deest particula editis. 5 πρατο . . . . . τες (sic) edd.

tione contra Demadem ῥαδιεστέραν τὴν πόλιν dixit. (*faciliorem civitatem.*) Verbo κεραννύειν (*miscere, infundere*) usus est Plato in Philebo: *Deos igitur, o Protarche, precati, misceamus.* Et Alcaeus, in Sacris Nuptiis:

Miscent, (infundunt) *& exhauriunt.*

Hyperides in Deliaco: »Et craterem Panionium in commune miscent Graeci.« *Fundebant* autem *vinum distribuebantque* apud veteres pueri nobilissimi: veluti Menelai filius.

Vinum vero fundebat filius Menelai illustris.

Item Euripides, puer cum esset, pincernae munere fungebatur. Dicit certe Theophrastus, in libro de Ebrietate: »Audio equidem, etiam Euripidem poëtam pincernae munere functum esse Athenis apud *orchestas* (id est, *saltatores*) qui vocantur. Saltabant autem hi circa Apollinis Delii templum; erantque e primoribus civibus Athenien-

ναίων, καὶ ἐνεδύοντο [1] ἱμάτια τῶν Θηραϊκῶν. ὁ δὲ Ἀπόλλων οὗτός ἐστιν, ᾧ τὰ Θαργήλια ἄγουσι. καὶ διασώζεται Φυλῆσιν [2] ἐν τῷ δαφνηφορείῳ γραφὴ περὶ τούτων." τὰ αὐτὰ ἱστορεῖ καὶ Ἱερώνυμος ὁ Ῥόδιος, Ἀριστοτέλους ὢν μαθητὴς, καὶ οὗτος ἐν τῷ Περὶ Μέθης. Σαπφώ τε ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν
a ἀδελφὸν ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ Πρυτανείῳ τοῖς Μιτυληναίοις. καὶ παρὰ Ῥωμαίοις δὲ οἱ εὐγενέστατοι τῶν παίδων τὴν λειτουργίαν ταύτην ἐκτελοῦσιν ἐν ταῖς δημοτελέσι τῶν θυσιῶν, πάντα τοὺς Αἰολεῖς μιμούμενοι, ὡς καὶ κατὰ τοὺς τόνους τῆς φωνῆς.

Τοσαύτη δ' ἦν ἡ τῶν παλαιοτέρων τρυφὴ περὶ τὰς πολυτελείας, ὥστε μὴ μόνον οἰνοχόους ἔχειν, ἀλλὰ καὶ οἰνόπτας. ἀρχὴ γοῦν ἐστιν οἱ οἰνόπται παρὰ Ἀθηναίοις, ἧς μνημονεύει ἐν ταῖς Πόλεσιν Εὔπολις ἐν τούτοις·

XXV. Oenoptae.

1 κατεδύοντο edd. 2 φύλησιν edd.

fibus, veſtes induti Theraicorum: eſt autem hic Apollo is, cui Thargelia celebrant. Quo ſuper argumento etiam pictura conſervatur in pago Phyle in Daphnephoreo. « Eadem narrat Hieronymus Rhodius, Ariſtotelis diſcipulus, in libro qui pariter DE Ebrietate inſcriptus eſt. Et pulcra Sappho paſſim laudat Larichum fratrem ſuum, ut pincernae munere fungentem in Prytaneo apud Mitylenaeos. Atque etiam apud Romanos generoſiſſimi pueri eodem miniſterio funguntur in publicis ſacris, in omnibus Aeolas imitantes, quemadmodum & in vocis ſonis.

25. Tanta autem fuerat vetuſtioribus temporibus in lautitiis luxuria, ut non modo miniſtros a poculis haberent, ſed & *oenoptas*, id eſt, *vini inſpectores*. Fuit ſane magiſtratus quidam apud Athenienſes, quem qui gerebant *oenoptae* vocabantur; cuius meminit Eupolis, in Civitatibus, ubi ait:

Οὓς δ' οὐκ ἂν εἵλεσθ' οὐδ' ἂν οἰνόπτας πρὸ τοῦ, b
νυνὶ στρατηγοὺς λεύσσομεν. [1] ὦ πόλις, πόλις·
ὡς εὐτυχὴς εἶ μᾶλλον, ἢ καλῶς Φρονεῖς.

Οἱ δὲ οἰνόπται οὗτοι ἐθεώρων τὰ ἐν τοῖς δείπνοις, εἰ κατ' ἴσον πίνουσιν οἱ συνόντες. καὶ ἦν ἡ ἀρχὴ εὐτελὴς, ὡς ὁ ῥήτωρ φησὶ Φιλῖνος ἐν τῇ Κροκωνιδῶν [2] διαδικασίᾳ. καὶ ὅτι τρεῖς ἦσαν οἱ οἰνόπται, οἵτινες καὶ παρεῖχον τοῖς δειπνοῦσι λύχνους καὶ θρυαλλίδας. ἐκάλουν δέ τινες τούτους καὶ ὀφθαλμούς. Παρὰ δὲ Ἐφε- c
Tauri Ephesiorum. σίοις, οἱ οἰνοχοοῦντες ἡίθεοι τῇ τοῦ Ποσειδῶνος ἑορτῇ, ταῦροι ἐκαλοῦντο· ὡς Ἀμερίας φησίν. Ἑλλησπόντιοι δὲ ἐπεγχύτην ὀνομάζουσι τὸν οἰνοχόον· καὶ τὴν κρεωνομίαν, κρεωδαισίαν· ὥς φησι Δημήτριος ὁ Σκήψιος ἐν ἕκτῳ καὶ εἰκοστῷ τοῦ Τρωϊκοῦ διακόσμου. Τοῖς δὲ θεοῖς οἰνοχοοῦσαν τινὲς ἱστοροῦσι τὴν Ἁρμα-

1 Verbum deeſt msstis. 2 Κροκανιδῶν edd. Κροκονιδῶν Ms.

Quos antehac feciſſetis nec viniſpices,
duces nunc facitis. Civitas, o civitas:
quanto fortuna melior, quam mens eſt tibi!

Oenoptarum horum munus erat, obſervare quid in coena ageretur, an ex aequo biberent convivae. Et erat magiſtratus ille exiguâ quidem dignitate, ut ait Philinus orator in Croconidarum Disceptatione. Docetque idem, tres fuiſſe oenoptas, qui coenantibus lucernas & ellychnia ſuppeditarent. Eosdem vero nonnulli *oculos* nominabant. Apud Epheſios vero, adoleſcentes qui feſto Neptuni die potum miniſtrabant, *tauri* vocabantur, ut ait Amerias. Helleſpontii vero pincernam ἐπεγχύτην vocant, quaſi *infuſorem* dicas: viſcerationem autem, vel carnium diſtributionem, quae vulgo κρεωνομία vocatur, illi κρεωδαισίαν dicunt: ut ait Demetrius Scepſius ſexto & viceſimo libro De Ordinatione Troianarum copiarum. Diis vero potum miniſtrantem memorant nonnulli

νίαν· ὡς Καπίτων ἱστορεῖ ὁ Ἐποποιὸς, Ἀλεξανδρεὺς δὲ γένος, ἐν δευτέρῳ Ἐρωτικῶν. Ἀλκαῖος δὲ καὶ τὸν Ἑρμῆν εἰσάγει αὐτῶν οἰνοχόον. ὡς καὶ Σαπφὼ, λέγουσα· Mercurius pincerna.

d Κάδδ' [1] ἀμβροσίας μὲν κρατὴρ ἐκέκρατο,
Ἑρμᾶς δὲ ἐλὼν ὅλπιν [2] θεοῖς οἰνοχόησεν. [3]

XXVI. Praecones olim pincernae.

Οἱ δὲ παλαιοὶ τοὺς πρὸς ταῖς ὑπηρεσίαις ταύταις κήρυκας ἐκάλουν. Ὅμηρος·

Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστὰ,
ἄρνε δύω, καὶ οἶνον ἐὐφρονα, καρπὸν ἀρούρης,
ἀσκῷ ἐν αἰγείῳ. φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ Ἰδαῖος, ἠδὲ χρύσεια κύπελλα.

καὶ πάλιν·

e — Ἀτὰρ κήρυκες ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν συνάγον, κρητῆρι δὲ οἶνον

1 κη δαμβροσίας ms. *A.* 2 Alibi apud Noſtrum ἕρπιν. 3 οἰνοχοῆσαι vulgo h. l. Alibi ᾠνοχόησεν.

Harmoniam; ut tradit Capito, poëta epicus genere Alexandrinus, ſecundo libro Eroticorum. Alcaeus vero Mercurium inducit Deorum pincernam; quemadmodum etiam Sappho, cum ait:

Mixtus autem erat crater ambroſiâ;
Mercurius vero captâ trullâ potum Diis miniſtrabat.

26. Veteres vero eos, qui hoc munere fungebantur, *praecones* (κήρυκας) nominabant. Homerus:

Praecones autem per urbem ferebant Deorum foedera firma,
agnos duos, & vinum laetum, fructum telluris,
caprino in utre. Ferebat etiam cratera ſplendidum
praeco Idaeus, & aurea pocula.

Rurſusque:

— At praecones conſpicui
res neceſſarias ad foedera fida Deorum cogebant, cratera-
reque vinum

μίσγον. ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν. Κλείδημος δὲ, τοὺς μαγείρους κήρυκας, φησὶν, καλεῖσθαι. Καὶ τὴν Ἥβην δέ τινες ἀνέπλασαν οἰνοχοοῦσαν αὐτοῖς, ἴσως διὰ τὸ ἡβητήρια καλεῖσθαι τὰ συμπόσια. Κλεινοῦς [1] δὲ τῆς οἰνοχόου Πτολεμαίου τοῦ βασιλέως, ἐπίκλην δὲ Φιλαδέλφου, μνημονεύει Πτολεμαῖος ὁ τοῦ Ἀγησάρχου, ἐν τῇ τρίτῃ τῶν περὶ Φι- f
λοπάτορα Ἱστοριῶν. Πολύβιος δὲ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἱστοριῶν, [2] καὶ ἀνδριάντας αὐτῆς ἐν Ἀλεξανδρείᾳ ἑστάναι, φησὶ, κατὰ πολλὰ [3] μέρη τῆς πόλεως, μονοχίτωνας, ῥυτὸν κρατοῦντας ἐν ταῖς χερσίν.

XXVII. Propinat Ulpianus.

Ἐπὶ τούτοις τοῖς λόγοις ἐκπίνων τὸ ποτήριον ὁ Οὐλπιανὸς, ἔφη·

— Τήνδ' ἐγὼ a
μεστὴν ἅπασαν ἐπονομάτας προπίομαι
συγγενέσι, πίστωμα Φιλίας. —

1 Κλίνης vulgo h. l. 2 Desunt septem verba editis. 3 κατὰ τὰ πολλὰ edd.

miscebant, ac regibus aquam super manus fundebant. Clidemus vero »coquos, ait, praecones vocari.« Sed & *Heben* quidam finxerunt vinum ipsis ministrantem: fortasse eo quod ἡβητήρια vocantur convivia. Cleinûs vero (*sive*, Clines) puellae, quae apud Ptolemaeum regem, cognomine Philadelphum, pincernae munere fungi solita erat, meminit Ptolemaeus Agesarchi filius, in tertio libro De Rebus Philopatoris. Polybius vero, Historiarum libro decimo quarto, scribit, multas etiam illius statuas Alexandriae in multis urbis locis positas fuisse, simplici tunicâ amictas, poculum manibus tenentes.

27. His dictis Ulpianus, ebibens poculum, ait:

— *Hoc ego*
plenum totum nominatim propino
cognatis, pignus amicitiae. —

πρὸς ὃν, ἔτι πίνοντα, τῶν παρόντων τις προσέθηκε τὰ λειπόμενα ἰαμβεῖα·

— πιὼν ἔρωτα [1]

λοιπὸν, πίνομαι γάρ. ἀλλ' ἐπιῤῥόφει.

Καὶ ὁ Οὐλπιανὸς ἐκπιὼν ἔφη· ταῦτα μὲν Κλέαρχος, ἐν Κιθαρῳδῷ. ἐγὼ δὲ, κατὰ τοὺς Ἀμφίδος Ἐρίθους, παραικελεύομαι·

Ὁ παῖς σοβείτω τοῖς ποτηρίοις συχνούς. [2]

καὶ,

b Πίμπλα σὺ μὲν ἐμοὶ, σοί δ' ἐγὼ δώσω πιεῖν·
ἀμυγδαλῆ μὲν παιζέτω παρ' ἀμυγδαλῆν.

ταῦτα δὲ ἔφη Ξέναρχος [3] ἐν Διδύμοις. Αἰτούντων οὖν τῶν μὲν πλέον οἴνου, τῶν δὲ ἴσον ἴσῳ φασκόντων κιρνᾶσθαι· καὶ εἰπόντος τινὸς, Ἄρχιππον εἰρηκέναι ἐν δευτέρῳ Ἀμφιτρύωνι·

1 ἐρᾶ coniectabam, & dein τὰ λοιπὰ versu seq. πιὼν ἔρατα πικρὸν corr. Casaub. cum Dalec. 2 συχνὰ ms. *Ep.* inter lineas. συχνοῖς ed. Cas. 3 Ξενόχαρτος vulgo.

Et, dum adhuc bibebat, ex praesentibus aliquis adiecit reliquos iambos:

— *Postquam bibero, dicam*
reliqua: nam suffocor. Sed perge exsorbere.

Tum Ulpianus, epoto poculo, ait: Haec quidem Clearchus dixit, in Citharoedo. Ego vero, ut est apud Amphidem in Lanificis, iubeo

Puer ut nos circumcurset poculis frequentes. [sive, *frequentibus.*]

&,

Imple tu mihi, tibi vero ego quod bibas dabo:
amygdala ludat cum amygdalâ.

ut ait Xenarchus in Gemellis. Iam quum alii plus vini poscerent, alii vero par pari misceri iuberent: quumque commemoraret nonnemo, dixisse Archippum in secundo Amphitryone:

Τίς ἐκέρασε σφῶν, ὦ κακόδαιμον, [1] ἴσον ἴσῳ;
καὶ Κρατῖνον, ἐν Πυτίνῃ·

Τὸν δ' ἴσον ἴσῳ Φέροντ', ἐγὼ δ' ἐκτήκομαι·
ἔδοξε πᾶσι, λέγειν περὶ τῶν κράσεων τῶν παρὰ τοῖς ἀρχαίοις.

XXVIII. Καί τινος εἰπόντος ὅτι Μένανδρος ἐν Ἥρωϊ ἔφη· c

Variae miscendi vini rationes.

— Χοῦς [2] κεκραμένου
οἴνου· λαβὼν ἔκπιθι τοῦτον· —

ὁ Δημόκριτος ἔφη· Ἡσίοδος μὲν, ὦ ἑταῖροι, παραινεῖ,

Τρὶς [3] ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.

διὸ καὶ Ἀναξίλας ἐν Νηρεῖ ἔφη·

Καί τοι πολύ γ' ἔσθ' [4] ἥδιον. οὐ γὰρ ἄν ποτε
ἔπινον τρὶς [5] ὕδατος, οἴνου δ' ἓν μόνον.

Ἀλεξις δ', ἐν Τιτθῇ, [6] ἔτι σωφρονικώτερον κιρνάναι παρακελεύεται·

1 Forſ. σφῶν, (vel σφῶϊν) ὦ κακοδαίμον'. 2 χοῦν ed. Caſ. 3 τρεῖς ed. Caſ. 4 Forſ. πολὺ τοῦτ' ἔσθ'. 5 τρεῖς edd. Forſ. ἔπινον ἐγὼ τρὶς ὑδ. 6 Τηθεῖ edd. Τιθεῖ h. l. Ms.

Quis veſtrûm miſcuit, o miſeri, par pari?

& Cratinum, in Lagenâ:

[Vinum] *hoc par pari ferens: ego vero extabeſco.*

tum vero placuit convivis, *de miſcendi vini rationibus apud veteres* diſſerere.

28. Ibi cum nonnemo commemoraſſet, dixiſſe Menandrum in Heroë:

— *Congius mixti*
vini. Cape hunc, & ebibe:

infit Democritus: Heſiodus, o ſodales, hortatur,

Triplum infundere aquae, quartam vero partem adiicere vini.

Propter quem fortaſſe etiam Anaxilas in Nereo dixit:

Atqui hoc multo eſt ſuavius. Numquam enim equidem tres aquae partes biberim cum una ſola vini.

Alexis vero, in Nutrice, etiam moderatius miſceri iubet:

d Ἰδοὺ [1] πάρεστιν οἶνος, οὐκοῦν ἐγχέω
Κρίτωνα [2] πολὺ βέλτιον ἕνα καὶ τέτταρας.
ὑδαρῆν [3] λέγεις. ὅμως δὲ ταύτην ἐκπιὼν,
λέγε τι, [4] καὶ διατριβήν γε τῷ πότῳ [5]
ποιῶμεν.

καὶ Διοκλῆς, [6] ἐν Μελίσσαις·

— A. Πῶς δὲ καὶ κεκραμένον
πίνειν τὸν οἶνον δεῖ; B. Μετὰ [7] τέτταρα καὶ δύο.
Ἡ δ' οὖν κρᾶσις αὕτη, παρὰ τὸ ἔθος οὖσα, ἐπέμνησε
τάχα καὶ τὴν θρυλλουμένην παροιμίαν·
Ἢ πέντε πίνειν ἢ τρί', ἢ μὴ τέτταρα. Prov. *Aut quinque bibe, aut tria.*
e ἢ γὰρ δύο πρὸς πέντε πίνειν, φασὶ, [8] δεῖν, ἢ ἕνα πρὸς
τρεῖς. περὶ δὲ ταύτης τῆς κράσεως Ἴων ὁ ποιητὴς ἐν

1 Ἰδοῦ γὰρ ms. *A*. Bene haberet Ἰδὲ γὰρ. 2 Interpretatus fum quafi fcriptum effet Κρίτων, ἴσον; B. Πολὺ βέλτιον ἓν καὶ τέτταρα. Sed Caſ. corr. δεῖ με; B. Τὰ τέτταρα &c. 3 ὑδαρὲν edd. ὑδαρῆ ms. *Ep.* in contextu. 4 An λέγε τί θέλεις? 5 τῷ ποτῷ vulgo. 6 Διοκλῆς δὲ malim cum ms. *Ep.* 7 Κατὰ legebam. Sed Caſ. corr. δεῖ με; B. Τὰ τέτταρα &c. 8 φησὶ edd.

Ecce adeſt vinum. Ergo infundam,
Criton, [par pari?] Immo longe praeſtat, unam partem
vini cum quatuor aquae.
Valde dilutum dicis. At hoc poculum poſtquam ebiberis,
dices ſi quid volueris: & producamus ſaltem
compotationem.

Diocles vero, in Apibus:

— A. *Qua vero ratione mixtum*
bibere vinum oportet? B. Secundum quatuor & duo.

Quae mixtio quum ſit contra morem, in memoriam forte etiam revocavit convivis tritum ſermone proverbium:

Aut quinque bibere, aut tria; aut non quatuor.

Nam aut duas partes cum quinque aiunt oportere bibere, aut unam cum tribus. De hac vero mixtione di-

τῷ περὶ Χίου φησὶν, ὅτι „εὑρὼν [1] ὁ μάντις Παλαμήδης ἐμαντεύσατο πλοῦν ἔσεσθαι τοῖς Ἕλλησι, πίνουσι τρεῖς πρὸς ἕνα κυάθους.“ Οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ, δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος. Νικοχάρης γοῦν, ἐν Ἀμυμώνῃ, πρὸς τοὔνομα παίζων, ἔφη·

Οἰνόμαος οὗτος, χαῖρε πέντε καὶ δύο· f
καὐγώ τε καὶ σὺ [2] συμπόται γενοίμεθα.

τὰ παραπλήσια εἴρηκε [3] καὶ ἐν Λημνίαις. Ἀμειψίας δ' ἐν Ἀποκοτταβίζουσιν·

Ἐγὼ δὲ (Διόνυσος) πᾶσιν (ὑμῖν) [4] εἰμὶ πέντε καὶ δύο.

Εὔπολις, Αἰξί·

Διόνυσε, χαῖρε, μή τι πέντε καὶ δύο;

Ἑρμιππος, Θεοῖς·

Ἔπειθ', ὅταν πινώμεθ', ἢ διψώμεθα,

1 οὔριον corr. Iacobs. 2 Deeſt σὺ vulgo. 3 Forſ. δ' εἴρηκε. 4 ἡμῖν edd. Verba quae extra verſum ſunt, uncis incluſimus.

cit Ion poëta in libro DE Chio: »eum qui illam inveniſſet, Palamedem vatem, vaticinatum eſſe Graecis, *commodam eis fore navigationem, ſi tres cum uno cyathos bibiſſent.*« Qui vero acrius bibere volebant, duas vini partes cum quinque aquae bibebant. Nicochares quidem in Amymone, ad Oenomai nomen adludens, ait:

Heus, Oenomaë, ſalve quinque & duobus:
& ego & tu potemus una.

Similia idem ſcripſit in Lemniis. Ameipſias vero, in Cottabo-ludentibus:

Ego vero (Bacchus) cunctis vobis ſum quinque & duo.

Eupolis, in Capellis:

Salve, Bacche! an quinque & duo (tu nobis ades?)

Hermippus, in Diis:

Deinde, cum bibimus aut ſitimus,

εὐχόμεθα, πρὸς τοῦθ' οἶνος εὐκέρας [1] γενοῦ !

a B. Οὐκ ἀπὸ καπήλου [2] 'γὼ φέρω, παίζων ἅμα.
καῦθις [3] γεγένηται τοῦτο πέντε καὶ δύω.

Παρὰ δὲ Ἀνακρέοντι [4] εἷς οἴνου πρὸς δύο [5] ὕδατος· XXIX.

Sobrie bacchatur Anacreon.

Ἄγε δὴ, φέρ' ἡμῖν, ὦ παῖ,
κελέβην, ὅκως ἄμυστιν
προπίω. τὰ μὲν δέκ' ἔγχει [6]
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, [7] ἀνυβριστὶ ὡς ἂν [8]
ἀδεῶς τ' ἀναβασσαρήσω. [9]

καὶ προελθὼν, τὴν ἀκρατοποσίαν, [10] Σκυθικὴν καλεῖ πόσιν·

Ἄγε δεῦτε, [11] μηκέθ' οὕτω

1 ὁ οἶνος ἀκαιρὰς vulgo. An ὦ εὐκρὰς γενοῦ? 2 Οὐκ ἀστοῦ καὶ πηλοῦ vulgo. Οὔκ τοῦ καπηλοῦ corr. Casaub. *quod a caupone ego affero.* 3 καυθεὶς Ms. 4 εὕρηται inferit *Epit.* 5 πρὸς δύ' edd. 6 δύ' ἐκχέας h. l. ed. Ven. & Bas. δύ' ἐγχέας ed. Cas. δ' ἐκχέας Ms. Alibi vero δέκ' ἐγχέας edd. & mssti. 7 κυάθοις Brunck & alii. 8 ὡς ἂν ὑβριστιῶσαν edd. & Ms. ὡς ἀνυβριστὶ corrigunt viri docti. 9 ἀναδευβασσ. edd. ἀδευτε βασσ. Ms. ἀναδεύων corrigebant. 10 ἀκρατοπωσίαν ms. *A.* 11 δότε vulgo.

precamur, ad hoc ut bene mixtum nobis adſis vinum!

B. *Non a* (fraudulento) *caupone emtum ego adfero, illudens vobis.*

Et rurſus eſt hoc quinque cum duobus.

29. Apud Anacreontem vero eſt unus vini cyathus cum duobus aquae:

Agedum, adfer nobis, puer,
poculum, quod uno tractu
propinem. Hinc decem infunde
aquae, illinc quinque vini
cyathos; ut citra proterviam
impuneque debaccher.

Deinde pergens poëta, meri potum *Scythicam* adpellat *potionem:*

Agite, quaeſo: ne ſic amplius

πατάγῳ τε καὶ λαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ b
μελετῶμεν· ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν [1] ὕμνοις.

Καὶ Λακεδαιμόνιοι δ', ὡς φησιν Ἡρόδοτος ἐν τῇ ἕκτῃ, Κλεομένη τὸν βασιλέα Σκύθαις ὁμιλήσαντα καὶ ἀκρατοπότην γενόμενον, ἐκ τῆς μέθης Ὀασὶ μανῆναι. καὶ αὐτοὶ δ' οἱ Λάκωνες, ὅταν βούλωνται ἀκρατέστερον πίνειν, ἐπισκυθίσαι λέγουσι. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης, ἐν τῷ Περὶ Μέθης, περὶ τούτων οὕτως γράφει· „Ἐπεὶ καὶ Κλεομένη τὸν Σπαρτιάτην Ὀασὶν οἱ Λάκωνες μανῆναι, διὰ τὸ Σκύθαις ὁμιλήσαντα μαθεῖν ἀκρατοποτεῖν. [2] ὅθεν ὅταν βούλωνται πιεῖν c ἀκρατέστερον, ἐπισκύθισον λέγουσιν." Ἀχαιὸς δ', ἐν Αἴθωνι Σατυρικῷ, τοὺς σατύρους ποιεῖ [3] δυσχεραίνον-

Scythice bibere.

1 ὑποπινόμεσθ' corr. Barnes. Forſ. ὑποπίνομεν σὺν, aut ὑποπινομέν τ' ἐν ὕμνοις. 2 ἀκρατοποτεῖν ms. *A*. 3 Verbum temere omiſſum in ed. Caſ. 1. & 2.

cum ſtrepitu clamoreque
Scythicum bibendi-morem in vino
ſectemur; verum honeſtos
potemus inter hymnos.

Similiter Lacedaemonii, ut ait Herodotus ſexto libro, Cleomenem regem dicebant ex ebrietate in furorem actum, cum in Scytharum conſuetudine merum potare adſueviſſet. Atque ipſi etiam Lacedaemonii, cum volunt meracius bibere, ἐπισκυθίσαι dicunt, id eſt, *Scythas imitari*. Chamaeleon quidem Heracleota, in libro De Temulentia, de his ita ſcribit: »Nam & Cleomenem Spartanum aiunt Lacedaemonii in furorem actum, quia in Scytharum conſuetudine merum bibere didiciſſet. Quare quum volunt meracius bibere, dicunt ἐπισκύθισον: quaſi, *Scythico more infunde.*« Achaeus vero, in Aethone Satyrico, Satyros inducit querentes, quod

τας ἐπὶ τῷ ὑδαρῆ πίνειν, καὶ λέγοντας·

Μῶν Ἀχελῶος ἦν κεκραμένος πολύς;
Ἀλλ' οὐδὲ λῆξαι [1] τοῦδε τῷ γένει θέμις.
καλῶς μὲν οὖν ἄγειν Σκύθῃ [2] πιεῖν. —

XXX. Ἐπιχύσεις priſcis non in uſu.

Ἦσαν δ' αἱ [3] τῶν ἀκρατοποτῶν [4] ἐπιχύσεις, ὡς φησι Θεόφραστος ἐν τῷ Περὶ Μέθης, οὐ παλαιαί. [5] ἀλλ' ἦν ἀπ' ἀρχῆς τὸ μὲν σπένδειν ἀποδεδομένον τοῖς θεοῖς, ὁ δὲ κότταβος τοῖς ἐρωμένοις. ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν, ὄντος τοῦ παιγνίου Σικελικοῦ, καθάπερ καὶ [6] Ἀνακρέων ὁ Τήϊος πεποίηκε·

Σικελικὸν κότταβον ἀγκύλῃ δαΐζων. [7]

διὸ καὶ τὰ σκολιὰ καλούμενα μέλη τῶν ἀρχαίων ποιητῶν, πλήρη ἐστί. λέγω δ' οἷον καὶ Πίνδαρος πεποίηκε·

1 δῖξαι coni. Dalec. 2 σκυθιστὶ πιεῖν edd. Ἂν Σκύθῃ, πιεῖν ἀκρᾶς? aut Σκύθῃ γ' ἐστὶν πιεῖν? 3 δὲ τῶν vulgo. 4 ἀκρατῶν vulgo. ἐρώντων coni. Caſaub. 5 παλιαί Ms. 6 καὶ ὁ Ἀνακρ. edd. 7 δίκων corr. Iacobs: παίζων Fior.

nimis dilutum bibere cogantur, dicentesque:

Totus – ne Achelous mixtus vino eſt?
At ne ſic quidem ceſſare fas eſt noſtro generi.
Bene quidem vivere, Scytha iudice, eſt bibere.

30. Ἐπιχύσεις vero quas vocant, id eſt, *libationes honoris cauſſâ*, quibus in bibendo utuntur qui merum potant, apud veteres non fuerunt in uſu; ut ait Theophraſtus, in libro de Temulentia. Sed olim, libationis honos ſolis Diis tribuebatur; cottabi vero honos ad amaſios ſpectabat. Studioſe enim utebantur cottabi ludicro; quod erat Siculum inventum, quemadmodum etiam Anacreon Teius in illo verſiculo ſignificat, ubi ait:

Siculum cottabum curvato brachio iactans.

Quare etiam *ſcolia* quae vocantur carmina (quaſi *obliqua*) veterum poëtarum, plena ſunt mentionis cottabi. Illud genus carminum dico, quale & Pindarus cecinit:

Χάριτάς τε Ἀφροδισίων ἐρώτων,
ὄφρα σὺν χειμάρῳ [1] μεθύων,
Ἀγάθωνι δὲ καλῷ [2] κότταβον. e

Mortuis dicantur quae de mensa cadunt.

Τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν. διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησὶν, ἐπειδὴ νομίζει [3] τὸν Βελλεροφόντην τεθνάναι·

Πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός·
ἀλλ' εὐθὺς αὐδᾷ τῷ Κορινθίῳ ξένῳ.

XXXI.

Ebrietas fugienda.

Οὐκ ἐμέθυον δ' οἱ πάλαι. ἀλλὰ καὶ Πιττακὸς Περιάνδρῳ τῷ Κορινθίῳ παρῄνει „μὴ μεθύσκεσθαι, μηδὲ κωμάζειν· ἵν', ἔφη, μὴ γνωσθῇς οἷος ὢν τυγχάνεις, ἀλλ' οὐχ οἷος προσποιῇ." f

Κάτοπτρον (γὰρ) εἴδους χαλκός ἐστ', [4] οἶνος δὲ νοῦ. διὸ καὶ καλῶς οἱ παροιμιαζόμενοι λέγουσι „τὸν οἶνον οὐκ ἔχειν πηδάλια." Ξενοφῶν γοῦν ὁ Γρύλλου, πα-

1 An σὺν ἱμέρῳ? 2 An τῷ καλῷ. 3 νομίζειν edd. cum ms. *A.* 4 χαλκός ἐστιν mssti.

Gratiasque venereorum amorum,
ut [desiderio] temulentus
Agathoni pulcro nuncupem cottabum.

Mortuis vero amicis consecrabant ea quae de cibis e mensâ decidissent. Quare Euripides de Stheneboea, postquam obiisse Bellerophontem putasset, dicit:

Nihil eam latebat quod manu excidisset;
sed statim nuncupat Corinthio hospiti.

31. Nec vero inebriari moris erat olim. Sed & Pittacus Periandrum Corinthium hortabatur, *fugere ebrietatem & comissationes: ne cognosceretur*, inquit, *qualis esset; non qualem se esse simularet.* Nam,

Speculum faciei, aes est; animi vero, vinum.

Quare etiam commode aiunt in proverbio, *Vinum carere gubernaculo.* Xenophon quidem, Grylli filius, cum

ρὰ Διονυσίῳ ποτὲ τῷ Σικελιώτῃ πίνειν ἀναγκάζοντος τοῦ οἰνοχόου, προσαγορεύσας ὀνομαστὶ τὸν τύραννον· Xenophon apud Dionyſium.

a „Τί δή,[1] ἔφη, ὦ Διονύσιε, οὐχὶ καὶ ὁ ὀψοποιὸς, ἀγαθὸς ὢν, καὶ ποικίλος, ἀναγκάζει ἡμᾶς εὐωχουμένους ἐσθίειν καὶ μὴ βουλομένους; ἀλλὰ κοσμίως ἡμῖν παρατίθησι τὴν τράπεζαν σιγῶν;“ Καὶ ὁ Σοφοκλῆς δὲ ἐν Σατυρικῷ[2] φησιν, ὡς ἄρα

— Τὸ πρὸς βίαν πίνειν,[3]
ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ.

ὅθεν εἴρηται καὶ τὸ,

Οἶνος ἄνωγε γέροντα, καὶ οὐκ ἐθέλοντα, χορεύειν.

Σθένελός τε, ὁ ποιητὴς, οὐ κακῶς εἴρηκεν·

Οἶνος καὶ φρονέοντας ἐς ἀφροσύνας ἀναβάλλει.

b ὁ δὲ Φωκυλίδης ἔφη·

Χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισσομενάων,
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

1 τὶ δὲ edd. 2 ἐν δράματι Σατ. edd. & carent δὲ. Forſ. ἐν Σατυρίσκῳ legendum. 3 Rectius fuerit πιεῖν.

apud Siculum Dionyſium pincerna ad bibendum cogeret convivas, nominatim compellans regem: *Cur vero*, inquit, *Dionyſie, non obſonator etiam, optimus ille & multiplicis ſolertiae, epulantes nos ad edendum cogit invitos; ſed modeſtus & tacitus menſam adponit?* Et Sophocles in Satyrico ait:

— *Bibere coactum,*
par malum eſt ac ſi quis ſitim pati cogatur.

Unde & illud dicitur:

Vinum ſaltare ſenem, vel nolentem, iubet.

Et Sthenelus poëta haud incommode dixit:

Vinum etiam prudentes inſipientes facit.

Phocylides vero ait:

In conviviis quum pocula circumeunt, oportet
iucunda confabulantem ſedentemque potare.

Sedere ad menſam, honeſtius quam adcumbere.

Ἔτι δὲ καὶ νῦν τοῦτο παραμένει παρ' ἐνίοις τῶν Ἑλλήνων. ἐπεὶ δὲ τρυφᾶν ἤρξαντο καὶ χλιδᾶσι, κατερρύησαν ἀπὸ τῶν δίφρων ἐπὶ τὰς κλίνας· καὶ λαβόντες σύμμαχον τὴν ἀνάπαυσιν καὶ ῥαστώνην, ἀνειμένως ἤδη καὶ ἀτάκτως ἐχρῶντο τῇ μέθῃ, χορηγούσης οἶμαι τῆς παρασκευῆς εἰς τὰς ἡδονάς.

XXXII.

Heſiodi dictum:

Διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν·

Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,[1] c
ὅστις ἄδην πίνει, εἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει, γλῶσσάν τε νόον τε,
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

Theognidis:

καὶ Θέογνις δὲ φησίν·

Ἥκω[2] δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι,
οὔτ' ἔτι[3] νήφων εἰμὶ, οὔτε λίαν μεθύων.
Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκ ἔτ' ἐκεῖνος

1 ἔχθος vulgo. 2 Δείξω vulgo apud Theogn. & verſ. ſq. νήφω, & μεθύω. 3 οὔτε τι vulgo.

Qui mos etiam nunc manet apud Graecorum nonnullos. Sed ex quo luxui & deliciis coeperunt indulgere, e ſellis in lectos devoluti ſunt: & adſcitis ſociis requie & inertiâ, effuſe iam & immodeſte uſi ſunt temulentiâ; ipſo adparatu (ut equidem puto) ad voluptates eis miniſterium conferente.

32. Itaque etiam Heſiodus in Eois dixit:

Qualia Bacchus dedit hominibus, ſimul gaudium, & moleſtiam,
ſi quis affatim bibit: huic quippe vinum fit contumelioſum; pedes colligat, manusque, & linguam, mentemque, occultis vinculis; & iners tenet illum ſomnus.

Et Theognis ait:

Advenio ut vinum, gratiſſimum homini potu;
neque ſobrius ſum, nec ebrius nimis.
Qui vero bibit, ac modum neſcit ſervare bibendi,

d τῆς αὐτοῦ [1] γνώμης [2] καρτερὸς, οὐδὲ νόου·
μυθεῖται δ' ἀπαλάμνα, τὰ νήφουσιν γίνετ' [3] αἰ-
σχρά· 5
αἰδεῖται δ' ἔρδων οὐδὲν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων τε καὶ ἤπιος. Ἀλλὰ σὺ, ταῦτα
γινώσκων, μὴ πίν' οἶνον ὑπερβολάδην.
πρὶν μεθύειν ἄρξῃ δ', [4] ἀπανίστασο· μή σε βιάσθω
γαστὴρ, ὥστε κακὸν λάτριν ἐφημέριον. 10

Anacharsidis.

Ἀνάχαρσίς τε ὁ σοφὸς, ἐπιδεικνύμενος τὴν τῆς ἀμπέλου
e δύναμιν τῷ τῶν Σκυθῶν βασιλεῖ, καὶ τὰ κλήματα
αὐτῆς δεικνὺς, ἔλεγεν, ὡς εἰ μὴ καθ' ἕκαστον ἔτος ἔτεμνον οἱ Ἕλληνες τὴν ἄμπελον, ἤδη κἂν ἐν Σκύθαις ἦν.

XXXIII.

Temulentiae favent poëtae.

Οὐ καλῶς δὲ, οἱ πλάττοντες καὶ γράφοντες τὸν Διόνυσον, ἔτι τε οἱ ἄγοντες ἐπὶ τῆς ἁμάξης διὰ μέσης τῆς ἀγορᾶς, οἰνωμένον. ἐπιδείκνυνται γὰρ τοῖς θεαταῖς, ὅτι καὶ τοῦ θεοῦ κρείττων ἐστὶν ὁ οἶνος. καί τοι

1 τῆς αὐτῆς edd. cum ms. *A*. 2 γλώσσης apud Theogn. 3 νήφουσ' εἰδεται apud Theogn. 4 πρὶν μεθύειν δ' ἄρξῃ γ' edd.

non linguae, mentis non herus ille fuae:
ore tremens balbo ficcis ridenda profatur:
migravit pulsâ sobrietate pudor.
Qui sapiens fuerat, tunc desipit. Haec memor altâ
mente tene, vinum ne sine lege bibas.
Sobrius a mensâ te surripe, ne tibi venter,
vili ut mancipio, turpiter imperitet.

Anacharsis vero ille sapiens, vim quae ineſt viti quum expoſuiſſet Scytharum regi, oſtendens illius palmites: »Iam, inquit, ad Scythas hi perveniſſent, niſi vitim quotannis amputarent Graeci.«

33. Nec vero bene faciunt, qui Bacchum & fingunt & pingunt, atque etiam per medium forum in plauſtro transvehunt, vino captum. Oſtendunt enim hi ſpectatoribus, etiam Deum vino ſuccumbentem. Atqui ne ho-

γ' οὐδ' ἂν, οἶμαι, ἄνθρωπος σπουδαῖος τοῦθ' ὑπομείνειεν. εἰ δ', ὅτι κατέδειξεν ἡμῖν τὸν οἶνον, διὰ τοῦτο ποιοῦσιν αὐτὸν οὕτως διακείμενον, δῆλον ὅτι καὶ τὴν Δήμητρα θερίζουσαν ἢ ἐσθίουσαν ποιήσουσιν. Ἐπεὶ f καὶ τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο [1] διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖνος, καὶ οὐχ, ὡς ἔνιοί φασιν, Εὐριπίδης, παρήγαγε τὴν τῶν μεθυόντων ὄψιν ἐς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις [2] εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα [3] μεθύοντας. ἃ δ' αὐτὸς ὁ τραγῳδιοποιὸς ἐποίει, ταῦτα τοῖς ἥρωσι περιέθηκε· μεθύων γοῦν ἔγραφε τὰς τραγῳδίας. διὸ καὶ Σοφοκλῆς αὐτῷ μεμφόμενος ἔλεγεν, ὅτι „Ὦ Αἰσχύλε, εἰ καὶ τὰ δέοντα ποιεῖς, ἀλλ' οὖν οὐκ εἰδώς γε ποιεῖς" ὡς ἱστορεῖ Χαμαιλέων ἐν τῷ Περὶ Αἰσχύλου. ἀγνοοῦσί τε οἱ [4] λέγοντες, πρῶτον Ἐπίχαρμον ἐπὶ τὴν σκηνὴν παραγαγεῖν [5] με- a θύοντα· μεθ' ὃν, Κράτητα ἐν Γείτοσι. Καὶ Ἀλκαῖος

Aeſchylus tragoedias ſuas ebrius ſcripſit.

1 τοῦτό γε ms. *Ep.* 2 Καβίροις ms. *A.* 3 Ἰάσανα ms. *A.* 4 γε οἱ edd. δ' οἱ ms. *Ep.* 5 ἀγαγεῖν edd.

mo quidem, puto, probus & induſtrius facile hoc ſuſtinuerit. Quod ſi, quoniam vini uſum ille nos docuit, idcirco ita adfectum eum repraeſentant; nempe etiam Cererem metentem aut comedentem nobis oſtendent. Iam vero & hoc peccaſſe Aeſchylum dixerim, quod primus ille, non (ut aiunt nonnulli) Euripides, ebriorum perſonas in tragoediam invexerit. Nam in Cabiris Iaſonem cum ſuis temulentum inducit. Sed, quae tragoediarum ſcriptor ipſe facere adſueverat, ea heroibus ſuis tribuit: nam ebrius tragoedias ille ſuas ſcribebat. Quod ei exprobans Sophocles, dixit: *At, Aeſchyle, etiamſi recte facis quod facis, tamen inſcius & imprudens facis;* ut narrat Chamaeleon in libro De Aeſchylo. Fallunturque qui exiſtimant, primum fuiſſe Epicharmum qui ebrium in ſcenam produxerit; & poſt hunc Cratetem in Vicinis.

c Ἀθήνησιν ἐπιτελουμένην Φανόδημός φησι [1] Δημοφῶντα τὸν βασιλέα, βουλόμενον ὑποδέξασθαι παραγενόμενον τὸν Ὀρέστην Ἀθήναζε. πρὸς δὲ τὰ ἱερὰ οὐ θέλων αὐτὸν προσιέναι, οὐδ' ὁμόσπονδον γενέσθαι, μήπω δικασθέντα, ἐκέλευσε συγκλεισθῆναι τὰ ἱερὰ, [2] καὶ χόα οἴνου ἑκάστῳ παρατεθῆναι, τῷ πρώτῳ ἐκπιόντι εἰπὼν ἆθλον δοθήσεσθαι πλακοῦντα. παρήγγειλέ τε καὶ τοῦ πότου παυσαμένους [3] τοὺς μὲν στεφάνους, οἷς ἐστέφανωντο, [4] πρὸς τὰ ἱερὰ μὴ τιθέναι, διὰ τὸ ὁμωd ροφίους [5] γενέσθαι τῷ Ὀρέστῃ· περὶ δὲ τὸν χόα τὸν

1 Intercidisse puto verbum δεῖξαι, διαθέσθαι, ἐστήσασθαι, aut aliquod simile. 2 τά τε ἱερὰ edd. cum ms. *A*. 3 παυσαμένου ed. Cas. & ms. *Ep*. 4 ἐστεφανοῦντο edd. 5 ὁμοῤῥόφους edd. cum ms. *A*. Rectius fuerat ὁμορόφους.

cratem philosophum, eumque acceptam auream coronam, cum e compotatione discederet, Mercurio imposuisse, qui in aulae introitu stabat, cui eidem etiam floridas coronas, quoties vesperi domum discederet, imponere consueviſſet: idque eius factum omnes esse admiratos. « *Congiorum* autem *festum*, quod Athenis celebratur, institutum esse scribit Phanodemus a Demophonte rege, quum Orestem hospitio excipere vellet, qui Athenas pervenerat. Quem quum ad sacra admittere nollet, nec libationum participem facere, ut qui nondum iudicatus fuisset; claudi templa iussit, & unicuique congium adponi, primo qui ebibisset praemium se daturum pollicitus placentam. Simulque iussit, ut finita compotatione coronas, quibus cincti essent, non ad templa deponerent, quoniam cum Oreste sub eodem tecto unà fuis-

ἑαυτοῦ ἕκαστον περιβεῖναι, καὶ τῇ ἱερείᾳ ἀποφέρειν τοὺς στεφάνους πρὸς τὸ ἐν Λίμναις τέμενος, ἔπειτα θύειν ἐν τῷ ἱερῷ τὰ ἐπίλοιπα. καὶ ἔκτοτε τὴν ἑορτὴν κληθῆναι χοᾶς. Τῇ δὲ ἑορτῇ τῶν Χοῶν ἔθος ἐστὶν Ἀθήνησι πέμπεσθαι δῶρά τε καὶ τοὺς μισθοὺς τοῖς σοφισταῖς, οἷπερ καὶ αὐτοὶ συνεκάλουν ἐπὶ ξενίᾳ τοὺς γνωρίμους, ὡς φησιν Εὐβουλίδης ὁ διαλεκτικὸς ἐν δράματι Κωμασταῖς, οὕτως·

Σοφιστιᾶς, κάκιστε, καὶ Χοῶν δέῃ
τῶν μισθοδώρων, οὐκ ἀδείπνων ἐν τρυφῇ. [1] e

L. Dionyſius Transfuga.

Ἀντίγονος δὲ ὁ Καρύστιος, ἐν τῷ περὶ τοῦ Διονυσίου βίου τοῦ Ἡρακλεώτου, τοῦ ἐπικληθέντος Μεταθεμένου, φησὶ τὸν Διονύσιον τοῖς οἰκέταις συνεορτάζοντα ἐν τῇ τῶν Χοῶν ἑορτῇ, καὶ μὴ δυνάμενον διὰ γῆρας χρῆσθαι ᾗ παρειλήφεσαν ἑταίρᾳ, ὑποστρέψαντα εἰπεῖν πρὸς τοὺς συνδειπνοῦντας·

1 Vix ſana oratio.

ſent, ſe i ſuum quisque congium coronâ cingeret; utque ita coronas ad antiſtitam fani deferrent quod in Paludibus eſt. deinde vero reliqua ſacra in templo perageret: indeque *Choas* (id eſt, *Congios*) nominatum eſſe id feſtum. Erat autem uſu receptum Athenis, ut Congiorum feſto die dona & mercedes mitterentur ſophiſtis: qui viciſſim ipſi familiares ſuos ad hoſpitalem coenam vocabant; ut Eubulides dialecticus ſignificat in dramate, quod Comeſſabundi inſcribitur, ubi ait:

Sophiſtam agis, peſſime, & Congiorum feſtum
deſideras muniferum, ...

50. Antigonus vero Caryſtius, in libro de vita *Dionyſii Heracleotae*, qui *Transfuga* cognominatus eſt, narrat Dionyſium cum ſuis domeſticis Congiorum feſtum celebrantem, quum ob ſenectutem frui non poſſet ſcorto quod illi adhibuerant, ad convivas converſum dixiſſe:

Οὐ δύναμαι τανύσαι, λαβέτω [1] δὲ καὶ ἄλλος.
ἦν δὲ ὁ Διονύσιος ἔτι ἐκ νέου, ὡς φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς Διαδοχαῖς, πρὸς τὰ Ἀφροδίσια ἐκμανὴς,
f καὶ πρὸς τὰς δημοσίας εἰσήει παιδίσκας ἀδιαφόρως. καί ποτε πορευόμενος μετά τινων γνωρίμων, ὡς ἐγένετο κατὰ τὸ παιδιστικεῖον, εἰς ὃ τῇ προτεραίᾳ παρεληλυθὼς ὤφειλε [2] χαλκοῦς, ἔχων τότε κατὰ τύχην, ἐκτείνας τὴν χεῖρα πάντων ὁρώντων ἀπεδίδου.
Ἀνάχαρσις δ' ὁ Σκύθης, παρὰ Περιάνδρῳ τεθέντος ἄθλου περὶ τοῦ πίνειν, ἤτησε τὸ νικητήριον, πρῶτος μεθυσθεὶς
a τῶν συμπαρόντων· ὡς ὄντος τέλους τούτου καὶ τῆς ἐν τῷ πότῳ νίκης, ὥσπερ καὶ τῆς ἐν τῷ τρέχειν. Anacharsis.
Λακύδης δὲ καὶ Τίμων, οἱ Φιλόσοφοι, κληθέντες πρός τινα τῶν γνωρίμων ἐπὶ δύο ἡμέρας, καὶ βουλόμενοι συμπεριφέρεσθαι τοῖς παροῦσιν, ἔπινον προθυμότερον. Lacydes & Timon.

1 λαβέσθω ms. *A*. 2 Excidiſſe videtur numeralis nota.

Tendere non poſſum, accipiat igitur alius.

Fuerat autem Dionyſius inde a prima adoleſcentia, ut tradit Nicias Nicaeenſis in Succeſſionibus, ad libidinem furioſe praeceps, & ad cunctas publicas puellas nullo discrimine intraverat. Et aliquando obambulans cum nonnullis familiaribus, ubi ad lupanar venit, quod pridie ingreſſus erat, ibique nummos aliquot debebat, tum forte pecuniâ inſtructus in conſpectu omnium manu porrectâ debitum ſolvit. *Anacharſis* vero Scytha, quum apud Periandrum praemium propoſitum eſſet de potando, praemium illud ſibi ut victori popoſcit, quum primus omnium convivarum fuiſſet inebriatus; dicens eſſe hunc finem in potando, velut in curſu metam, quam qui primus attigiſſet, eum victoriam reportaſſe. *Lacydes* vero & *Timon*, philoſophi, quum ad aliquem e familiaribus in biduum eſſent ad convivium vocati, moremque gerere vellent praeſentibus convivis, ſtrenue bibe-

τῇ μὲν οὖν πρώτῃ τῶν ἡμερῶν ὁ Λακύδης ἀπῄει πρότερος, ἐπιπολάσαντος αὐτῷ τοῦ ποτοῦ. καὶ ὁ Τίμων ὁρῶν αὐτὸν ἀπιόντα, ἔφη·

Ἡράμεθα μέγα κῦδος, ἐπέσθομεν Ἕκτορα δῖον.

τῇ δ' ὑστεραίᾳ προαπιόντος [1] τοῦ Τίμωνος, διὰ τὸ μὴ δυνηθῆναι ἐκπιεῖν τὴν προποθεῖσαν αὐτῷ κύλικα, ὁ Λακύδης ἰδὼν αὐτὸν ἐπανάγοντα, εἶπε· b

Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.

LI. Mycerinus, rex Aegypti.

Μυκερῖνον δὲ τὸν Αἰγύπτιον, Ἡρόδοτος ἱστορεῖ διὰ τῆς δευτέρας, ἀκούσαντα παρὰ τῶν μάντεων, ὅτι [2] ὀλιγοχρόνιός ἐστι, λύχνα ποιησάμενον πολλὰ ὁπότε γένοιτο νὺξ, πίνειν καὶ εὐπαθεῖν, οὔτε ἡμέρας, οὔτε νυκτὸς ἀνιέντα· καὶ εἰς τὰ ἕλεα δὲ καὶ τὰ ἄλση νεμόμενον, ἔτι τε ὅπου πύθοιτο ἡβητήρια [3] εἶναι, μεθύσκεσθαι. Καὶ Ἄμασιν δὲ, τὸν καὶ αὐτὸν [4] Αἰγυπτίων βα-

1 προπίοντος edd. 2 διότι edd. 3 ἐνηβητήρια apud Herodot. 4 τῶν αὐτῶν Αἰγ. edd.

bant. Priori igitur die prior e convivio discessit Lacydes, quum potandi satietas eum cepisset. Quem abeuntem videns Timon, dixit:

Magnam reportavimus gloriam: nobilem occidimus Hectorem.

Postridie vero, quum prior abiret Timon, quoniam ebibere propinatum calicem non valuit, Lacydes cum se recipientem videns, ait:

Infelicium sane filii meo robori occurrunt.

51. De *Mycerino* Aegyptio narrat Herodotus libro secundo, quum a vatibus audivisset brevem fore ipsius vitam, multis qualibet nocte luminibus accensis vino & voluptatibus sese tradidisse, nullo tempore nec die nec nocte intermisso; & in paludes & nemora sese recipientem, & ubicumque loca esse accepisset voluptaribus adfluentia, ibi vino & crapulae indulsisse. Item alium Aegyptiorum regem, *Amasin*, multum bibisse, idem He-

σιλέα, Ἡρόδοτος πολλὰ πεπωκέναι φησί. Ἑρμείας δ' Bibaces alii.
c ὁ Μηθυμναῖος, ἐν τρίτῃ Σικελικῶν, Φιλοπότην [1] φησὶ γενέσθαι Νικοτέλη τὸν Κορίνθιον. Φαινίας δε ὁ Ἐρέσιος, [2] ἐν τῷ ἐπιγραφομένῳ Τυράννων Ἀναίρεσις ἐκ τιμωρίας, Σκόπαν [3] φησὶ τὸν Κρέοντος μὲν υἱὸν, Σκόπα δὲ τοῦ παλαιοῦ υἱδοῦν, Φιλοποτοῦντα διατελέσαι, καὶ τὴν ἐπάνοδον τὴν ἀπὸ τῶν συμποσίων ποιεῖσθαι ἐπὶ θρόνου καθήμενον, καὶ ὑπὸ τεσσάρων βασταζόμενον οὕτως οἴκαδε ἀπιέναι. Φύλαρχος δε, ἐν τῇ ἕκτῃ τῶν Ἱστοριῶν, Ἀντίοχον, φησὶ, τὸν βασιλέα φίλοινον γενόμενον,
d μεθύσκεσθαί τε καὶ κοιμᾶσθαι ἐπὶ πλέον, εἶθ' ἑσπέρας πάλιν ἀφυπνιζόμενον ἐπιπίνειν. ἐχρημάτιζέ γε, [4] φησὶν, νήφων μὲν βραχέα τελέως, μεθύων δὲ τὰ πολλά. διὸ περὶ αὐτὸν δύο ἦσαν οἱ διοικοῦντες τὴν βασιλείαν, Ἄριστος καὶ Θεμίσων, Κύπριοι μὲν γένος καὶ ἀδελφοὶ, ἐρῶμενοι δὲ ἀμφότεροι τοῦ Ἀντιόχου.

1 Rurſus φιλοπάτην ms. *A.* & mox dein φιλοπατοῦντα: & paulo inferius, πολυπότης. 2 Ἐρέσσιος vulgo h. l. 3 Σκόπταν vulgo. 4 ἐχρημάτιζε δὲ ms. *Ep.*

rodotus ſcribit. Hermeas vero Methymnaeus, tertio libro Rerum Sicularum, potatorem fuiſſe *Nicotelem* ait Corinthium. Phaenias Ereſius, in libro cui titulus Tyrannorum everſio ſumto de eis Supplicio, *Scopam*, ait, Creontis filium, vetuſti illius Scopae neporem, totam vitam potando traduxiſſe, & e compotationibus haud fere aliter domum redire conſueviſſe, niſi in ſolio ſedentem, quod a quatuor hominibus geſtaretur. Phylarchus ſexto libro Hiſtoriarum ſcribit, *Antiochum* regem vini ſtudioſum fuiſſe, inebriari ſolitum, ac dein diutius ſomno ſeſe dedere, tum rurſus ſub veſperam expergefactum denuo potare. Res quidem imperii raro admodum ſobrius tractavit, utplurimus vero ebrius. Quare circa eum ſemper verſabantur qui regnum adminiſtrabant Ariſtus & Themiſon, fratres, genere Cyprii, ambo amaſii regis.

LII.

Antiochus Epiphanes; *rectius* Epimanes.

Πολυπότης δὲ ἦν καὶ Ἀντίοχος ὁ βασιλεὺς, ὁ κληθεὶς Ἐπιφανὴς, ὁ ὁμηρεύσας παρὰ Ῥωμαίοις, ὃν ἱστορεῖ [1] Πτολεμαῖος ὁ Εὐεργέτης ἐν τῷ τρίτῳ [2] τῶν Ὑπομνημάτων, καὶν τῷ πέμπτῳ, Φάσκων αὐτὸν εἰς e τοὺς Ἰνδικοὺς κώμους καὶ μέθας τραπέντα, πολλὰ ἀναλίσκειν. καὶ τὰ περιλειπόμενα δὲ τῶν χρημάτων μεθ' ἡμέραν κωμάζων ὁτὲ [3] μὲν ἐξέχει, ἄλλοτε δὲ ἐν ταῖς δημοσίαις ὁδοῖς ἱστάμενος ἔλεγε· [4] „τίνι [5] ἡ τύχη δίδωσι, λαβέτω·" καὶ ῥίψας τὸ ἀργύριον, ᾤχετο. πολλάκις δὲ καὶ πλεκτὸν στέφανον ῥόδων ἔχων ἐπὶ τῆς κεφαλῆς, καὶ χρυσαϋφῆ τήβενναν φορῶν, μόνος ἐρέμβετο· λίθους ὑπὸ μάλης ἔχων, οἷς ἔβαλε τῶν ἰδίων τοὺς ἀκολουθοῦντας αὐτῷ. ἐλαύετό τε [6] καὶ εἰς τοὺς κοινοὺς λουτρῶνας, μύροις ἀλειφόμενος. ὅτε καί f ποτε συνιδών τις αὐτὸν ἰδιώτης ἔφη· „μακάριος εἶ, ὦ

1 Quidni ὡς ἱστορεῖ. 2 ἐν τῷ πρώτῳ edd. 3 ὅτε edd. 4 λέγειν edd. 5 ᾧ τινι malles cum Casaub. 6 ἐλοῦτό τε edd.

52. Insignis etiam potator ille rex *Antiochus* fuit, qui *Epiphanes* est cognominatus; is qui Romae obses fuerat. De quo scribens Ptolemaeus Evergetes primo & quinto Commentariorum libro, ait: »Indicis comessationibus & comportationibus sese tradentem, ingentes sumtus feciisse. Quod vero reliquum erat pecuniae, id partim in diurnas (ait) comessationes profundebat, partim subinde stans in viis publicis edicebat, *cui fortuna dat, is capiat!* atque ita proiectâ pecuniâ discedebat. Subinde vero etiam coronam e rosis plexam in capite gestans, togamque indutus auro textam, solus obambulabat, sub alis saxa tenens, quae in suos qui eum sequerentur coniiceret. Lavatum ibat in publica balnea, & unguentis ungebatur. Ibi quum conspiciens eum aliquando quidam de plebe dixisset, *Quam beatus es, rex!*

βασιλεῦ, πολυτελὲς ὄζεις." καὶ ὃς ἡσθεὶς „ἐγώ σε, φησὶν, ὑπέρκορον τούτου ποιήσω" καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ ὑορίσκην ὑπὲρ δύο χόας ἔχουσαν παχέος μύρου καταχυθῆναι ἐκέλευσεν, [1] ὡς καὶ τὸ πλῆθος τῶν ἀγοραιοτέρων [2] εἰς τὸ ἐκχυθὲν συγκυλισθῆναι. ὀλίσθου τε γενομένου, αὐτός τε ὁ Ἀντίοχος ἔπεσε καγχάζων, καὶ οἱ πλεῖστοι τῶν λουομένων τὸ αὐτὸ ἔπα-
a σχον. Πολύβιος δ', ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν καλεῖ αὐτὸν Ἐπιμανῆ, καὶ οὐκ Ἐπιφανῆ, διὰ τὰς πράξεις. „Οὐ μόνον γὰρ μετὰ δημοτῶν ἀνθρώπων κατέβαινεν ἐς ὁμιλίας, ἀλλὰ καὶ μετὰ τῶν παρεπιδημούντων ξένων καὶ τῶν εὐτελεστάτων συνέπινεν. εἰ δὲ καὶ τῶν νεωτέρων, φησὶ, συναίσθοιτό τινας εὐωχουμένους ὅπου δή ποτε, παρῆν μετὰ κεραμίου [3] καὶ συμφωνίας, ὥστε τοὺς πολλοὺς διὰ τὸ παράδοξον ἀνισταμένους φεύγειν. πολλάκις δὲ καὶ

1 ἐκέλευεν edd. 2 ἀγοραίων ms. *Ep.* 3 κεραμείου ms. *Ep.*

quam pretiose oles! delectatus ille, *Ego*, inquit, *faciam ut tu horum habeas satietatem*: & urnulam ultra duo congios capientem spissi unguenti in caput hominis iussit effundi. Quo quum continuo se praecipitaret tenuiorum hominum turba, lubrico in vestigio & ipse rex prolapsus est cachinnans, & plerisque lavantium idem accidit.« Polybius vero sexto & vicesimo Historiarum libro *Epimanen* (id est, *Furiosum*) hunc adpellat, non *Epiphanem* & *Illustrem*, ob ea quae gessit. »Non solum enim, inquit, cum hominibus de plebe sodalitates habebat; sed & cum exteris peregrinantibus & cum hominum viliissimis compotabat. Quod si quos vero adolescentes intellexisset alicubi convivari, ubicunque id esset, superveniebat ipse cum doliolo & cum symphoniâ; ut plerique, inexspectato adventu territi, e mensa surgentes diffugerent. Saepe vero etiam abie-

τὴν βασιλικὴν ἐσθῆτα ἀποβαλὼν, τήβενναν ἀναλα- b
βὼν περιήει τὴν ἀγοράν."

LIII. Ἐν δὲ τῇ πρώτῃ καὶ τριακοστῇ [1] ὁ αὐτὸς Πολύβιος
Ludi Antiochiae celebrati. φησί· „συντελοῦντα αὐτὸν ἐν τῇ Ἀντιοχείᾳ ἀγῶνας, συγκαλέσαι πάντας Ἕλληνας καὶ τῶν βουλομένων τοὺς πολλοὺς ἐπὶ τὴν θέαν. καὶ πλείστων παραγινομένων, ἐν τοῖς γυμνασίοις πάντας ἐκ χρυσῶν ὀλκίων ἤλειφε κροκίνῳ μύρῳ καὶ κινναμωμίνῳ, [2] καὶ ναρδίνῳ, καὶ ἀμαρακίνῳ, καὶ ἰρίνῳ. [3] Καὶ συγκαλῶν αὐτοὺς εἰς εὐωχίαν, ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεντακόσια συνεπλήρου μετὰ πολυτε- c
λεστάτης κατασκευῆς. [4] καὶ ὁ χειρισμὸς τῆς διακονίας δι' αὐτοῦ ἐγίνετο. [5] κατὰ γὰρ τὰς εἰσόδους ἐφιστάμενος, [6] οὓς μὲν εἰσῆγεν, οὓς δὲ ἀνέκλινεν· καὶ τοὺς διακόνους δὲ τοὺς τὰς παραθέσεις εἰσφέροντας αὐτὸς εἰσῆγεν. καὶ περιπορευόμενος, οὗ μὲν προσεκάθιζεν, οὗ

1 τριακοστῇ πρώτῃ edd. 2 κιναμ. ed. Baf. & Caf. 3 κρινίνῳ h. l. edd. κλιϊρίνῳ ms. *A*. Deeſt *Ep*. 4 παρασκευῆς edd. 5 ἐγένετο edd. 6 ὑφιστάμενος edd.

ctâ regiâ veſte, togam indutus in foro obambulabat. «

53. Libro vero primo & triceſimo idem Polybius narrat: »Quum ludos perageret Antiochus Antiochiae, cunctos eum Graecos & vulgo omnes, quicumque voluiſſent, ad ſpectandos ludos invitaſſe. Quumque maximus numerus conveniſſet, in gymnaſiis cunctos ex aureis labris unxit unguento crocino, cinnamomino, nardino, amaracino, & liliaceo. Et ad convivium invitatis, interdum mille triclinia, nonnumquam etiam mille & quingenta complevit, cum adparatu ſumtuoſiſſimo. Miniſteria autem obibat ipſe. Stans enim in introitu, alios introducebat, aliis etiam ſedes in lectulis adſignabat: & famulos fercula geſtantes ipſe introducebat. Et circum epulantes inambulans, alibi adſidebat, alibi

δὲ προσαιέπιπτε. καὶ ποτὲ μὲν ἀποβέμενος μεταξὺ τὸν ψωμὸν, ποτὲ δὲ τὸ ποτήριον, ἀνεπήδα καὶ μετανίστατο καὶ περιήει τὸν πότον, [1] προπόσεις λαμβάνων ὀρθὸς ἄλλοτε παρ' ἄλλοις. ἅμα δὲ τοῖς ἀκροάμασι προσπαίζων, καὶ ὑπὸ τῶν μίμων εἰσεφέρετο ὅλος συγκεκαλυμμένος, καὶ ἐτίθετο εἰς τὴν γῆν, ὡς εἷς ἂν τῶν μίμων· καὶ τῆς συμφωνίας προκαλουμένης, [2] ὁ Βασιλεὺς ἀναπηδήσας, ὠρχεῖτο καὶ προσέπαιζε τοῖς μίμοις· ὥστε πάντας αἰσχύνεσθαι. Τοιαῦτα ἀπεργάζεται τοὺς ταλαιπώρους ἡ πρὸς τῇ μέθῃ ἀπαιδευσία." Φιλοπότης [3] δ' ἦν καὶ ὁ ὁμώνυμος αὐτῷ Ἀντίοχος ἐν Μηδείᾳ πρὸς Ἀρσάκην πολεμήσας, Antiochus Sidetes.
ὡς ἱστορεῖ Ποσειδώνιος ὁ Ἀπαμεὺς ἐν τῇ ἑκκαιδεκάτῃ τῶν Ἱστοριῶν. ἀναιρεθέντος γοῦν αὐτοῦ, τὸν Ἀρσάκην θάπτοντα αὐτὸν λέγειν· „Ἔσφηλέ σε, Ἀντίοχε, θάρσος καὶ μέθη. ἤλπιζες γὰρ ἐν μεγάλοις ποτηρίοις τὴν Ἀρσάκου βασιλείαν ἐκπιεῖν."

1 τόπον ms. *Ep.* 2 προσκαλουμένης edd. 3 Rursus φιλοπώτης ms. *A.*

adcubabat. Subinde etiam vel offam vel poculum, cum manu iam tenuisset, deponens subito surgebat, alio discurrens, & convivia obambulans; moxque ab his, mox ab illis propinationes accipiens. Simul vero acroamatum ludis se miscens, a mimis inferebatur totus opertus, & humum deponebatur: tum provocatus a symphoniâ subito prosiliebat rex, saltabatque, & cum mimis lusitabat; ita ut pudor inesseret cunctos. Ad talia protrudit miseros homines vinolentia & neglecta ingenii cultura. « Bibax vero etiam fuit eiusdem cum hoc nominis, *Antiochus* ille qui in Media cum Arsace bellum gessit; ut refert Posidonius Apamensis decimo sexto Historiarum libro. Quem occisum Arsaces cum sepeliendum curaret, dixit: *Evertit te, Antioche, confidentia & vinolentia: speraveras enim, te maioribus poculis regnum Arsacis epotaturum.*

LIV. Antiochus Magnus.

,,Ἀντίοχος δὲ ὁ Μέγας ἐπικαλούμενος, ὃν Ῥωμαῖοι καθεῖλον, ὡς ἱστορεῖ Πολύβιος ἐν τῇ εἰκοστῇ, παρελθὼν εἰς Χαλκίδα τῆς Εὐβοίας, συνετέλει γάμους, πεντήκοντα μὲν ἔτη γεγονὼς, καὶ δύο τὰ μέγιστα τῶν ἔργων ἀνειληφὼς, τήν τε τῶν Ἑλλήνων ἐλευθέρωσιν, ὡς αὐτὸς ἐπηγγέλλετο, καὶ τὸν πρὸς Ῥωμαίους πόλεμον. ἐρασθεὶς γοῦν παρθένου Χαλκιδικῆς, κατὰ τὸν τοῦ πολέμου καιρὸν ἐφιλοτιμήσατο γῆμαι αὐτὴν, [1] οἰνοπότης ὢν καὶ μέθαις χαίρων. ἦν δ' αὐτὴ Κλεοπτολέμου μὲν θυγάτηρ ἑνὸς τῶν ἐπιφανῶν, κάλλει δὲ πάσας ὑπερβάλλουσα. καὶ τοὺς γάμους συντελῶν ἐν τῇ Χαλκίδι, αὐτόθι διέτριψε τὸν χειμῶνα, τῶν ἐνεστώτων οὐδ' ἥντιν' οὖν ποιούμενος πρόνοιαν. ἔθετο δὲ καὶ τῇ παιδὶ ὄνομα Εὐβοίαν. ἡττηθεὶς οὖν τῷ πολέμῳ, ἔφυγεν εἰς Ἔφεσον μετὰ τῆς νεογάμου." Ἐν δὲ τῇ δευτέρᾳ ὁ αὐτὸς Πολύβιος [2] ἱστορεῖ, Ἀγρω-

1 Deest αὐτὴν edd. 2 ὁ Πολυβ. edd. absque αὐτός.

54. » *Antiochus* vero is cui *Magno* cognomen fuit, qui a Romanis everſus eſt, ut narrat Polybius libro viceſimo, Chalcidem Euboeae profectus nuptias celebravit, cum annum iam ageret quinquageſimum, & duas res maximas ſuscepiſſet, Graecorum liberationem, ut quidem ipſe profitebatur, & bellum cum Romanis. Amore igitur captus Chalcidicae virginis, quo tempore de bello erat cogitandum ad celebrandas cum illa nuptias ſtudium omne contulit, cum vini eſſet ſtudioſus & temulentiâ delectaretur: erat autem illa Cleoptolemi filia unius e viris illuſtribus, pulcritudine autem antecellebat omnes. Et nuptias Chalcide celebrans, hyemem ibidem traduxit, abiectâ omni rerum inſtantium curâ. Nomen etiam puellae impoſuerat *Euboeae*. Bello autem victus, cum recens nupta Epheſum profugit. « Narrat idem Polybius ſecundo Hiſtoriarum libro, *Agro-*

a να τὸν Ἰλλυριῶν [1] βασιλέα ἡσθέντα [2] ἐπὶ τῷ νενικηκέναι τοὺς μέγα Φρονοῦντας Αἰτωλοὺς, πολυπότην [3] ὄντα, καὶ εἰς μέθας καὶ εὐωχίας τραπέντα, πλευρίτιδι ληφθέντα ἀποθανεῖν. ἐν δὲ τῇ ἑνάτῃ καὶ εἰκοστῇ [4] ὁ αὐτὸς Γενθίωνά [5] φησι τὸν τῶν Ἰλλυριῶν βασιλέα, διὰ τὴν πολυποσίαν πολλὰ ποιεῖν ἀσελγῆ κατὰ τὸν βίον, νύκτωρ τε ἀεὶ καὶ μεθ' ἡμέραν μεθύοντα. ἀποκτείναντα δὲ καὶ Πλεύρατον τὸν ἀδελφὸν, γαμεῖν μέλλοντα τὴν Μενουνίου θυγατέρα, αὐτὸν γῆμαι τὴν b παῖδα, καὶ ὠμῶς χρῆσθαι τοῖς ἀρχομένοις. Καὶ Δημήτριον δὲ, φησὶ, τὸν ἐκ τῆς Ῥώμης τὴν ὁμηρείαν διαφυγόντα, ἐν τῇ τρίτῃ καὶ τριακοστῇ, βασιλεύσαντα Σύρων, πολυπότην ὄντα, τὸ πλεῖστον τῆς ἡμέρας μεθύσκεσθαι. Ὀροφέρνην [6] τε, ὀλίγον χρόνον Καππαδοκίας βασιλεύσαντα, καὶ παριδόντα τὰς πατρίους

Agron & Genthius, reges Illyr.

Demetrius.

Orophernes.

1 Ἀγρ. τῶν Ἰλλ. βασ. edd. 2 ἡσθ. μέγα ἐπὶ edd. 3 πολυπώτην ms. *A.* & mox iterum. 4 εἰκοστῇ ἑνάτῃ edd. 5 Τενθίωνα Ms. & ed. Ven. & Bas. Rectius fuerit Γένθιον. 6 Ὀλοφερν. ms. *Ep.* sed Ὀροφ. inter lin.

nem, Illyriorum regem, gaviſum quod ſuperbos viciſſet Aetolos, cum vini ſtudioſus eſſet & ad temulentiam crapulamque ſeſe convertiſſet, lateris dolore correptum obiiſſe. Nono vero & viceſimo libro idem narrat, *Genthionem*, Illyriorum regem, ex nimio vini amore multa flagitioſe per vitam patraſſe, die noctеque temulentiae indulgentem. Occiſo fratre Pleurato, cui deſponſata erat Menunii filia, ipſum virginem duxiſſe, memorat, & crudeliter ſuis imperitaſſe. Etiam *Demetrium*, illum qui Româ cum obſes eſſet profugerat, & in Syria dein regnavit, tertio & trigeſimo libro commemorat bibacem fuiſſe, & plurimam diei partem potando ad ebrietatem usque conſumſiſſe. Item *Orophernem*, qui breve per tempus rex fuit Cappadociae, ſpre-

ἀγωγὰς, Σησὶν ἐν τῇ τριακοστῇ δευτέρᾳ, εἰσαγαγεῖν τὴν Ἰακὴν καὶ τεχνιτικὴν ἀσωτίαν.

LV. Platonis praeceptum de vini potu.

Διόπερ ὁ θειότατος Πλάτων καλῶς νομοθετεῖ ἐν τῷ δευτέρῳ· „Τοὺς παῖδας μέχρις ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύσασθαι· (οὐ γὰρ χρὴ πῦρ ἐπὶ c πῦρ ὀχετεύειν·) οἴνου δὲ μετρίου γεύεσθαι μέχρι τριάκοντα ἐτῶν· μέθης δὲ καὶ πολυοινίας τὸ παράπαν τὸν νέον ἀπέχεσθαι. τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν, ἐν τοῖς συσσιτίοις εὐωχηθέντα καλεῖν τούς τε ἄλλους θεοὺς, καὶ δὴ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν πρεσβυτῶν τελετὴν ἅμα καὶ παιδιάν· [1] ἣν [2] τοῖς ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο, τὸν οἶνον φάρμακον, ὥστε ἀνηβᾶν ἡμᾶς καὶ δυσθυμίας λήθην γίγνεσθαι.“ καὶ ἑξῆς δὲ φησί· „Λόγος καὶ φήμη ὑποῤῥεῖ, ὡς ὁ θεὸς οὗτος ὑπὸ τῆς μητρυιᾶς Ἥρας d

1 παιδείαν mssti & ed. Ven. 2 ἣ ms. *Ep.* ὃς malebam.

tis patriis inſtitutis, ait libro trigeſimo ſecundo, Ionicam & artificioſam luxuriam introduxiſſe.

55. Quare diviniſſimus *Plato* praeclare praecipit, ſecundo Legum libro: »Pueros ad annum usque decimum octavum vino prorſus debere abſtinere: (nec enim ignem in ignem eſſe derivandum:) tum modice vinum guſtare, usque ad annum triceſimum: temulentiâ vero & multo vini potu prorſus abſtinendum adoleſcenti. Sed quum ad quadrageſimum annum pervenerit, tum vero in conviviis epulantem & alios Deos & Bacchum nimirum debere invocare adhibereque ad ſeniorum ſacra ſimul & luſum: quem luſum hominibus ille largitus eſt in auſteritatis ſenilis remedium; vinum inquam, medicinam qua iuveneſcamus & moeſtitiae inducamus oblivionem.« Et deinde rurſus ait: »Vulgatus eſt rumor ac fama, hunc Deum a noverca

διεφορήθη τῆς ψυχῆς τὴν γνώμην· διὸ τάς τε βακχείας καὶ τὴν μανικὴν πᾶσαν ἐμβαλλει χορείαν τιμωρούμενος· ὅθεν καὶ τὸν οἶνον ἐπὶ τοῦτ' αὐτὸ δεδώρηται.

LVI. Mulieres bibaces.

Φάλαικος δ', ἐν τοῖς Ἐπιγράμμασι, γυναῖκά τινα ἀναγράφει πολυπότιν, [1] Κλεὼ ὄνομα·

Χρυσωτὸν [2] κροκόεντα περιζώσασα χιτῶνα,
τόνδε [3] Διωνύσῳ [4] δῶρον ἔδωκε Κλεὼ,
οὕνεκα συμποσίοισι μετέπρεπεν· ἶσα δὲ πίνειν
e οὔτις οἱ ἀνθρώπων ἤρισεν οὐδ' ἅμα πω. [5]

Ὅτι δὲ φίλοινον τὸ τῶν γυναικῶν γένος, κοινόν. οὐκ ἀχαρίστως δὲ καὶ ὁ Ξέναρχος ἐν τῷ Πεντάβλῳ γυναῖκά τινα εἰσάγει φρικτότατον ὅρκον ὀμνύουσαν τόνδε·

— Ἐμοὶ γένοιτο, σοῦ ζώσης, τέκνον,
ἐλεύθερον πιοῦσαν οἶνον ἀποθανεῖν.

1 πολυπότην edd. πολυπῶτιν ms. A. 2 Κρασσωτὸν corrigunt. 3 τῷδε edd. 4 Διονύσῳ edd. 5 Possis & οὐδαμᾶ πω scribere.

Iunone mente olim deturbatum fuisse: quapropter bacchicos furores & saltationum dementiam, ulciscendi caussa, hominibus eum immittere; eademque de caussa vinum hominibus esse largitum. «

56. Phalaecus vero, in Epigrammatis, mulierem quamdam bibacem commemorat, cui Cleo nomen:

Auro crocoque nitentem quam gestaverat tunicam,
hanc Baccho donum Cleo dedit,
quoniam in conviviis excelluit. Paribus vero bibere poculis
hominum nemo ullus adhuc exstitit, cum illa qui contenderet.

Esse autem vini studiosum mulierum genus, dictum est a multis. Non invenuste vero Xenarchus, in Quinquertio, mulierem inducit, horrendo iureiurando se obstringentem hocce:

— *Mihi contingat, te, filia, superstite,*
liberum bibentem vinum vitâ excedere!

Romanae abſtemiae. „Παρὰ Ῥωμαίοις δέ, ὥς φησι Πολύβιος ἐν τῇ ἕκτῃ, ἀπείρηται [1] γυναιξὶ πίνειν οἶνον. τὸν δὲ καλούμενον πάσσον πίνουσιν. τοῦτο δὲ ποιεῖται μὲν ἐκ τῆς ἀσταφίδος, καὶ ἔστι παραπλήσιος πινόμενος τῷ Αἰγοσθενίτῃ [2] γλυκεῖ, καὶ τῷ Κρητικῷ. διὸ πρὸς τὸ κατε- f πείγον τοῦ δίψους χρῶνται αὐτῷ. λαθεῖν δέ ἐστιν ἀδύνατον τὴν γυναῖκα πιοῦσαν οἶνον. πρῶτον μὲν γὰρ οὐδ' ἔχει οἴνου κυρίαν [3] ἡ γυνή· πρὸς δὲ τούτοις φιλεῖν δεῖ τοὺς συγγενεῖς τοὺς ἑαυτῆς καὶ τοὺς τοῦ ἀνδρὸς ἕως ἐξανεψιῶν, καὶ τοῦτο ποιεῖν καθ' ἡμέραν ὁπόταν ἴδῃ [4] πρῶτον. λοιπόν, ἀδήλου τῆς ἐντυχίας οὔσης τίσιν ἀπαντήσει, φυλάσσεται· τὸ γὰρ πρᾶγμα, κἂν γεύσηται μόνον, οὐ προσδεῖ διαβολῆς." Ἄλκιμος δ' ὁ a Σικελιώτης, ἐν τῇ ἐπιγραφομένῃ τῶν βίβλων Ἰταλικῇ, πάσας φησὶ τὰς [5] ἐν Ἰταλίᾳ γυναῖκας μὴ πί-

1 ἀπήρητο ms. *Ep.* qui ἀπείρητο debuerât. 2 Αἰγοσθενεῖ τῷ vulgo. Αἰγοσθενείῳ corr. Caſaub. 3 κυρείαν ms. *Ep.* 4 εἰδῇ ms. *A.* 5 φησὶν ἐν Ἰτ. edd.

»Apud Romanos vero, ut ait Polybius libro ſexto, vetitum mulieribus eſt, vinum bibere. Attamen *paſſum vinum*, quod vocatur, bibunt. Paratur illud ex uva paſſa, & in potu ſimile eſt dulci Aegoſthenenſi & Cretico. Illo igitur, urgente ſiti, utuntur. Latere autem mulier, cum vinum potavit, non poteſt. Primum enim ne habet quidem illa poteſtatem cellae vinariae: praeterea vero oportet eam oſculari ſuos & mariti ſui conſanguineos, ad filios usque conſobrinorum: idque ei faciendum eſt quotidie, quando primum illi in ipſius conſpectum veniunt. Proinde, quoniam incertum eſt quibus illa obvia futura ſit, cavet ſibi: nam, ſi vel minimum deguſtaſſet, nullo alio opus eſt indicio.« Alcimus vero Siculus, in eo ſuorum librorum qui Italicus inſcribitur, omnes in Italia mulieres vino abſtinere ait, tali ex cauſ-

νειν οἶνον ἀπὸ ταύτης αἰτίας. „Ἡρακλῆς περὶ τὴν Κροτωνιᾶτιν [1] γενόμενος, ἐπεὶ πρός τινα οἰκίαν οὖσαν παρὰ τὴν ὁδὸν διψῶν ἀφίκετο, προσελθὼν ἤτει πιεῖν ἐντεῦθεν. ἔτυχε δ' ἡ γυνὴ τοῦ τὴν οἰκίαν κεκτημένου πίθον οἴνου λαθραίως ὑποίξασα· καὶ πρὸς μὲν τὸν ἄνδρα, δεινὸν, ἔφη, ποιήσειν αὐτὸν, εἰ ξένου χάριν τὸν πίθον τοῦτον ἀνοίξειεν· ὕδωρ δ' ἐκέλευσεν αὐτὸν προσε- b νεγκεῖν. Ἡρακλῆς δ' ἐπὶ θύραις ἑστὼς, καὶ ἀκούσας ταῦτα, τὸν μὲν ἄνδρα αὐτῆς σοφόδρα ἐπῄνεσεν· ὃν καὶ [2] ἐκέλευσεν, αὐτὸν παρελθόντα εἴσω σκοπεῖν τὸν πίθον. καὶ ὃς, εἰσελθὼν, λίθινον εὗρε τὸν πίθον γεγονότα. τοῦτο [3] δὲ τὸ σημεῖον ἔτι καὶ νῦν ἐστιν ἐν ταῖς ἐπιχωρίαις γυναιξὶν πάσαις, ἐν αἰσχρῷ κεῖσθαι τὸ πίνειν οἶνον, διὰ τὴν προκειμένην αἰτίαν." Hercules sitiens.

LVII. Οἶαι δ' εἰσὶ παρὰ τοῖς Ἕλλησι μεθύουσαι αἱ

1 Κροτανιατᾶν ms. *Ep.* inter lin. 2 Deeſt καὶ edd. 3 Forſ. τούτου.

ſâ. »Hercules quum eſſet in Crotoniatarum agro, ibique ad aedes quasdam in via ſitas ſitiens perveniſſet, acceſſit poſcens ut ſibi quod biberet daretur. Per id ipſum tempus forte uxor domini aedium clanculum vini dolium aperuerat; itaque marito dicebat, *durum fore ſi peregrini hominis cauſſâ dolium illud aperiret;* iuſſitque ut aquam ei bibendam offerret. Hercules, pro foribus ſtans, quum haec exaudiviſſet, valde laudavit maritum mulieris; hortatus autem eſt illum, ipſe intro abiret, & dolium inſpiceret. Qui cum introiviſſet, dolium reperit ſaxeum factum. Cuius rei documentum etiam nunc ſupereſt in omnibus eius regionis mulieribus; quod, praedictam ob cauſſam, turpe & in probro habetur, ſi vinum mulier bibat.«

57. Quales vero ſint apud Graecos temulentae mu-

Graecae mulieres non abstemiae.

γυναῖκες, παραδίδωσιν Ἀντιφάνης μὲν, ἐν τῇ Ἀκοντιζομένῃ, οὕτως·

— Γείτων ἐστί τις
κάπηλος. οὗτος εὐδύς, ὅταν ἔλθω [1] ποτὲ
διψῶσα, μόνος οἶδ' [2] ὡς γ' ἐμοὶ [3] κεράννυται,
οὔθ' ὑδαρὲς, οὔτ' ἄκρατον. οἶδα δ' ἐγώ ποτε
πιοῦσα. —

καὶ ἐν Μύστιδι· (γυναῖκες δ' εἰσὶν αἱ διαλεγόμεναι·)

— Α. Βούλει [δὲ] [4] καὶ σὺ, φιλτάτη, [5]
πιεῖν; Β. Καλῶς ἔχοιμι. Α. Τοιγαροῦν φέρε.
μέχρι καὶ τριῶν γάρ [6] φασι τιμᾶν τοὺς θεούς.

Ἄλεξις δ', Ὀρχηστρίδι·

Α. Γυναιξὶ δ' ἀρκεῖ πάντ', ἐὰν οἶνος παρῇ
πίνειν διαρκής. Β. Ἀλλὰ μήν, νὴ τὼ θεὼ,
ἔσται γ' ὅσον ἂν βουλώμεθ', ἔσται καὶ μάλα

1 ἐλθὼν vulgo. 2 μόνος οἶδεν vulgo. 3 ὅς γέ μοι corr. Cas. 4 Deest δὲ vulgo. 5 Temere φίλτατε ed. Casaub. 2. & 3. 6 μέχρι γὰρ καὶ τριῶν edd. μέχρι γὰρ τριῶν mssti absque καί.

lieres, docet Antiphanes in Iaculatrice, his verbis:

— *Vicinus est quidam*
caupo. Is statim, si quando venio
sitiens, unus novit quo pacto mihi misceatur,
nec aquosum, nec merum. Memini vero aliquando
bibens. —

Idem, in Mystide, *id est*, Foeminâ initiatâ: (sunt autem mulieres, quae colloquuntur:)

A. *Vis-ne & tu, carissima,*
bibere? B. *Libenter equidem.* A. *Age igitur:*
nam etiam tribus usque, aiunt, venerandos esse Deos.

Alexis vero, in Saltatrice:

A. *Mulieri omnium rerum satis, si vini quod bibat*
satis adest. B. *At, per sanctas divas!*
aderit quantum voluerimus: erit etiam valde

ἡδύς γ', [1] ὀδόντας οὐκ ἔχων, ἤδη σαπρὸς,
λέγω, γέρων γε [2] δαιμονίως. Α. Ἀσπάζομαι
γραῦν σοίγγα· πρὸς ἐμέ γ' ὡς αἰνίγματα λέγει. [3]
καὶ τὰ λοιπά. Ἐν δὲ Διὶ πενθοῦντι [4] Ζωπύρας τινὸς
μνημονεύων, [5] φησὶ καὶ „Ζωπύρα οἰνηρὰν ἀγγεῖον.“
Ἀντιφάνης, Βάκχαις·
Ἐπεὶ δὲ τοῦτ' οὐκ ἔστι, [6] κακοδαίμων σφόδρα
ὅστις γαμεῖ γυναῖκα, πλὴν ἐν τοῖς Σκύθαις·
e ἐκεῖ μόνον γὰρ οὔτι φύεται ἄμπελος. [7]
Ξέναρχος, Πεντάθλῳ·
Ὅρκον δ' ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

LVIII. Πλάτων Φάωνι, διηγούμενος ὅσα διὰ τὸν οἶνον συμβαίνει ταῖς γυναιξὶ, φησίν·

1 πολύς γ' Eustath. quod ex πολιός γ' ortum videri poterat. Forf. λαρός γ'. 2 λέγων γέρων γε edd. cum ms. A. γέρων δαιμ. ms. Ep. omittens λέγων & γε. ἄγαν γέρων γε corr. Caf. λαρὸς γέρων τε Iacobs. 3 λέγε vulgo. Forsan λέγεις. 4 Διὶ πενθοῦντι videtur legendum. 5 Ζωπύρος φησὶ καὶ edd. & duo verba omittunt. 6 Ἔπειτα πῶς οὐκ ἔστι κακοδ. corr. Iacobs. 7 φύετ' ἄμπελος edd.

ſuave ſane, dentes non habens, iam putre,
aio, ſenex ſane mirifice. A. *Amo*
mulierem ſphingem: nam mihi quidem aenigmata haec loquitur.

& quae ſequuntur. Idem vero, in Bis-lugente: (*ſive*, in Iove lugente:) Zopyrae cuiusdam mentionem faciens, cum alia in eam dicit, tum illud: *Zopyra, vinarium vas.* Antiphanes, in Bacchis:

Sed hoc quum aliter ſe habeat, infelix eſt admodum
quisquis uxorem ducit, niſi apud Scythas:
nam ibi ſolummodo non naſcitur vitis.

Xenarchus, in Quinquertio:

Iusiurandum ego mulieris vino inſcribo.

58. Plato in Phaene, quae per vinum accidunt mulieribus exponens, ait:

Mulieres, in Platonis comici Phaone.

— Εἶεν, γυναῖκες, ὡς ὑμῖν πάλαι [1]
οἶνον γενέσθαι [2] τὴν ἄνοιαν εὔχομαι.
ὑμῖν γὰρ οὐθέν, [3] καθάπερ ἡ παροιμία,
ἐν τῷ καπήλου [4] νοῦς ἐνεῖναί μοι δοκεῖ.
Εἰ γὰρ Φάωνα δεῖσθ' ἰδεῖν, προτέλεια δεῖ
ὑμᾶς ποιῆσαι πολλὰ πρότερον τοιαδί.
Πρῶτα μὲν ἐμοὶ γὰρ κουροτρόφῳ προβύεται
πλακοῦς ἐνόρχης, ἄμυλος [5] ἐγκύμων, κίχλαι
ἐκκαίδεχ' ὁλόκληροι μέλιτι μεμιγμέναι, [6]
λαγῷα δώδεκ', ἐπισέληνα. [7] τἆλλα δὲ
ἤδη ταῦτ' [8] εὐτελέστατ'. ἄκουε δή.
βολβῶν μὲν Ὀρθάννη τρί' ἡμιεκτέα· [9]
Κονισάλῳ δὲ καὶ παραστάταιν δυοῖν
μύρτων πινακίσκος, χειρὶ παρατετιλμένων·
λύχνων γὰρ ὀσμὰς οὐ φιλοῦσι δαίμονες·

1 ὑμῖν ἔφην πάλαι coni. Caſ. 2 γεύεσθαι οἴνου corrigit idem. 3 οὔπω coni. interpr. Gall. 4 καπήλῳ vulgo. 5 μύλλος coni. Hering. 6 διαμεμιγμ. vulgo. 7 ἐπὶ σελήνᾳ edd. Iungunt alii λαγᾶα δώδεκ' ἐπισέληνα. 8 Forſ. ἤδη γε ταῦτ' ἐστ' εὐτελ. Aut ἤδη 'στι ταῦτά γ' εὐτελ. 9 τριημίεκτα vulgo.

Agite, mulieres! Ut iam pridem vobis ego
precor vinum potius veſtram eſſe amentiam!
Vobis enim neutiquam, ut eſt in proverbio,
apud cauponem eſſe animus videtur.
Nam Phaonem ſi cupitis videre, praeliminaria
vos ſacrificia multa offerre prius oportet haecce.
Statim quidem mihi iuvenum altrici primum offeruntur,
placenta teſticulata, amylus praegnans, turdi
ſedecim integri melle mixti,
leporinae carnes duodecim, lunata liba. Reliqua vero
iam haec viliſſimo pretio paranda. Audi igitur.
Bulborum quidem Orthannae ſesquiſextarius:
Coniſalo vero duobusque eius ſodalibus
myrtorum patella, manu vulſorum;
nam lucernarum odorem non amant Dii:

πύργης τετάρτης [1] κυσί τε καὶ κυνηγέταις·
Λόρδωνι [2] δραχμὴ, Κυβδαστοῖ τριώβολον,
ἥρωϊ [3] Κέλητι δέρμα καὶ θυλήματα.
Ταῦτ' ἐστὶ τἀναλώματ'. εἰ μὲν οὖν τάδε
προσοίσετ', εἰσέλθοιτ' ἄν· εἰ δὲ μὴ, μάτην
ἔξεστιν ὑμῖν [4] διὰ κενῆς κνηστιᾶν. [5]
Ἀξιόνικος δ' ἐν Φιλίννῃ [6] φησί·
Γυναικὶ δὴ [7] πίστευε μὴ πίνειν ὕδωρ.

LIX. Populi ebrioſi.

Καὶ ὅλα δὲ ἔθνη περὶ μέθας διατρίβοντα μνήμης
b ἠξίωται. Βαίτων γοῦν, ὁ Ἀλεξάνδρου βηματιστὴς, ἐν
τῷ ἐπιγραφομένῳ Σταθμοὶ τῆς Ἀλεξάνδρου πορείας,
καὶ Ἀμύντας ἐν τοῖς Σταθμοῖς, τὸ τῶν Ταπύρων Tapyri:
ἔθνος, φησὶν, οὕτω φίλοινον εἶναι, ὡς καὶ ἀλείμματι
ἄλλῳ μηδενὶ χρῆσθαι, ἢ τῷ οἴνῳ. τὰ δ' αὐτὰ
ἱστορεῖ καὶ Κτησίας ἐν τῷ Περὶ τῶν κατὰ τὴν Ἀσίαν

1 πύρνου τέταρτον coniectant. Forſan πύρνης τετάρτης. 2 Δόρδωνι vulgo. 3 ἥρᾳ vulgo. 4 ἡμῖν edd. 5 βινητιᾶν corrigunt. 6 Φιλίνῃ edd. 7 δῇ edd.

panis quarta, canibus & venatoribus:
Lordoni drachma; Cybdaſoi triobolus,
heroi Celeti coriolum & libamina.
Haec vobis ſunt impendenda. Quod ſi haec ergo
obtuleritis, introire licet: ſin minus,
ſupereſt ut fruſtra & incaſſum vos pruriatis.
Axionicus vero, in Philinna, ait:
Mulieri crede, aquam ſe bibere neganti.

59. Porro vero etiam integri populi, ut temulentiae dediti, commemorati ſunt a ſcriptoribus. Baeton quidem, Alexandri dimenſor itinerum, in libro qui inſcribitur Stationes expeditionis Alexandri, & Amyntas in Stationibus, Tapyrorum populum aiunt ita vini eſſe ſtudioſum, ut nullo etiam alio unguento niſi vino utantur. Eadem tradit Cteſias in libro de Tributis Aſiae.

Φόρων. οὗτος δὲ καὶ δικαιοτάτους αὐτοὺς λέγει εἶναι.

Phigalenses: Ἁρμόδιος δὲ ὁ Λεπρεάτης, ἐν τῷ Περὶ τῶν παρὰ Φιγαλεῦσι Νομίμων, Σιλοπότας [1] φησὶ γενέσθαι Φιγαλεῖς, Μεσσηνίοις ἀστυγείτονας ὄντας, καὶ ἀποδημεῖν ἐθισθέντας. Φύλαρχος, ἐν ἕκτῃ, [2] Βυζαντίους, οἰ- c
νόφλυγας ὄντας, ἐν τοῖς καπηλείοις οἰκεῖν, ἐκμισθώσαντας τοὺς ἑαυτῶν θαλάμους μετὰ τῶν γυναικῶν τοῖς ξένοις· πολεμίας σαλπιγγος οὐδ' ἐν ὕπνοις ὑπομένοντας ἀκοῦσαι. διὸ καὶ πολεμουμένων ποτὲ αὐτῶν, καὶ οὐ προσκαρτερούντων τοῖς τείχεσι, Λεωνίδης ὁ στρατηγὸς ἐκέλευσε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν σκηνοπηγεῖν, καὶ μόλις ποτὲ ἐπαύσαντο λειποτακτοῦντες· [3] ὡς Φησι Δάμων ἐν τῷ Περὶ Βυζαντίου.

Byzantii, aliique. Μένανδρος δ' ἐν Ἀρρηφόρῳ, ἢ Αὐλητρίδι·

— Πάντας μεθύσους τοὺς ἐμπόρους d

1 φιλοπότας ms. *A*. 2 δ' ἐν ἕκτῃ forsan. ἐν ἕκτῳ edd. 3 λιποταχτοῦντες ms. *A*.

Hic vero simul ait, iustissimos illos esse. Harmodius vero Lepreates, in libro de Phigalensium Institutis, potui deditos fuisse ait Phigalenses, Messeniorum finitimos, & domo abesse solitos. Phylarchus, libro sexto, Byzantios, ait, ita vinosos esse, ut in cauponis habitent, suas aedes simul cum uxoribus elocantes peregrinis; bellicae tubae sonum ne in somno quidem exaudire sustinentes. Itaque aliquando quum bello ipsis illato laborem curamque tuendorum murorum non ferrent, Leonides dux iussit ut cauponum tentoria super ipsis muris figerentur; quo facto aegre tandem obtinuit, ut desinerent illi deserere ordines: quod narrat Damon in libro de Byzantio. Menander vero, in Arrephoro, (*id est*, Arcana Minervae sacra gestante,) sive Tibicinâ:

— *Omnes mercatores ebriosos*

ποιεῖ τὸ Βυζάντιον. ὅλην ἐπίνομεν
τὴν νύκτα διὰ σέ, καὶ σφόδρ' ἄκρατόν μοι δοκῶ.
ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων.

Κωμῳδοῦνται δὲ ὡς μέθυσοι Ἀργεῖοι μὲν καὶ Τιρύνθιοι ὑπὸ Ἐφίππου ἐν Βουσίριδι. ποιεῖ δὲ τὸν Ἡρακλέα λέγοντα·

Η. Οὐκ οἶσθα μ' ὄντα, πρὸς θεῶν, Τιρύνθιον
Ἀργεῖον; οἳ μεθύοντες αἰεὶ [1] τὰς μάχας
πάσας μάχονται. Β. Τοιγαροῦν φεύγουσ' ἀεί.

Μιλησίους δ' Εὔβουλος, ἐν Κατακολλωμένῳ, ὑβριστὰς εἶναι, φησὶ, μεθυσθέντας. Πολέμων δὲ ἐν τῷ Περὶ τῶν κατὰ πόλεις Ἐπιγραμμάτων, περὶ Ἠλείων λέγων, [2] παρατίθεται τόδε τὸ ἐπίγραμμα·

Ἦλις καὶ μεθύει καὶ ψεύδεται. οἷος ἑκάστου
οἶκος, τοίη δὴ [3] καὶ συνάπασα [4] πόλις.

1 ἀεὶ edd. cum ms. *Ep.* αἰὲν apud Macrob. 2 Deeſt λέγων edd. 3 δὴ carent mssti. 4 ξυνάπασα edd.

facit Byzantium. Totam tui cauſſâ
potavimus noctem, & valde quidem merum, ut puto:
itaque nunc ſurgo capita geſtans quatuor.

Traducuntur porro, tamquam vinolenti, Argivi & Tirynthii ab Ephippo, in Buſiride; ubi Herculem ſic facit loquentem:

H. *Adeone ignoras eſſe me Tirynthium*
Argivum? quod genus ebrii cunctas ſolent
pugnare pugnas. B. *Ideo fugiunt perpetim.*

Mileſios vero Eubulus, in Glutinato, *protervos eſſe* ait *ebrios*. Polemon vero, in libro De Inſcriptionibus quae in Civitatibus exſtant, de *Eleis* hocce adpoſuit Epigramma:

Elis mentitur & bibit: qualis cuiusque
domus, talis nempe & tota civitas.

LX.

Thraces bibaces.

Θεόπομπος δ', ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ, περὶ Χαλκιδέων ἱστορῶν τῶν ἐν Θρᾴκῃ, φησίν· „Ἐτύγχανον γὰρ τῶν μὲν βελτίστων ἐπιτηδευμάτων ὑπερορῶντες, ἐπὶ δὲ τοὺς πότους καὶ ῥᾳθυμίαν καὶ πολλὴν f ἀκολασίαν ὡρμηκότες ἐπιεικῶς. τὸ δ' εἰσὶ πάντες οἱ Θρᾷκες, πολυπόται. [1] διὸ καὶ Καλλίμαχος ἔφη·

Καὶ γὰρ ὁ Θρηϊκίην μὲν ἀπέστυγε χανδὸν ἄμυστιν
οἰνοποτεῖν· ὀλίγῳ δ' ἥδετο κισσυβίῳ."

Methymnaei.

Ἐν δὲ τῇ πεντηκοστῇ ὁ Θεόπομπος περὶ Μηθυμναίων τάδε λέγει· „Καὶ τὰ μὲν ἐπιτήδεια προσφερομένους πολυτελῶς, μετὰ τοῦ κατακεῖσθαι καὶ πίνειν· ἔργον δ' οὐδὲν ἄξιον τῶν ἀναλωμάτων ποιοῦντας. ἔπαυσεν οὖν αὐτοὺς τούτων Κλεομένης ὁ τύραννος, ὁ καὶ τὰς a μαστροπούς, τὰς εἰθισμένας προαγωγεύειν τὰς ἐλευθέρας γυναῖκας, καὶ [2] τρεῖς ἢ τέτταρας τὰς ἐπιφα-

1 πολυπῶται ms. *A*. 2 Abeſt vulgo καὶ, & deinde legitur πορευομένας.

60. Theopompus vero, libro ſecundo & viceſimo, de *Chalcidenſibus Thraciae* narrans, ait: »Optima inſtituta hi inſuper habentes, in compotationes & mollitiem & omne genus flagitioſae luxuriae prorſus ruebant. Sunt autem hoc Thraces omnes, bibaces. Quare & Callimachus dixit:

Averſabatur enim ille Thracicam magno hiatu amyſtin
ingurgitare: exiguo delectabatur pocillo.

Libro vero quinquageſimo de *Methymnaeis* haec Theopompus dicit: »Victu utebantur ſumtuoſo, decumbentes, potantesque: nullum autem factum edentes quod illis ſumtibus dignum fuiſſet. Sed huic illorum vitae generi finem fecit Cleomenes tyrannus: qui & lenas, quae proſtituere ingenuas mulieres conſueverant, & tres aut quatuor nobiliſſimas ex his quae meretri-

νεστάτας πορνευομένας, ἐνδήσας εἰς σάκκους καταποντίσαι τισὶν προστάξας." Καὶ Ἑρμιππος δὲ, ἐν τοῖς Περὶ τῶν ἑπτὰ Σοφῶν, Περίανδρον τὸ αὐτὸ ποιῆσαι. Ἐν δὲ τῇ δευτέρᾳ τῶν Φιλιππικῶν· „Ἰλλυριοὶ, φησὶ, δειπνοῦσι καθήμενοι καὶ πίνουσι. ἄγουσι δὲ καὶ τὰς γυναῖκας εἰς τὰς συνουσίας· καὶ καλὸν αὐταῖς, προπίνειν οἷς ἂν τύχωσι τῶν παρόντων. ἐκ δὲ τῶν συμ-
b ποσίων αὗται τοὺς ἄνδρας ἀπάγουσι. καὶ κακόβιοι δὲ πάντες εἰσὶ, καὶ ζώννυνται τὰς κοιλίας ζώναις πλατείαις, ὅταν πίνωσι. καὶ τοῦτο μὲν πρῶτον μετρίως [1] ποιοῦσιν· ἐπειδὰν δὲ σφοδρότεραν πίνωσι, μᾶλλον ἀεὶ συνάγουσι τὴν ζώνην. Ἀριαῖοι [2] δὲ, φησὶ, κέκτηνται προσπελατῶν, ὥσπερ εἰλώτων, τριάκοντα μυριάδας. καθ' ἑκάστην δὲ ἡμέραν μεθύουσι, καὶ ποιοῦνται συνουσίας, καὶ διάκεινται πρὸς ἐδωδὴν καὶ πόσιν ἀκρατέστερον. διὸ καὶ Κελτοὶ πολεμοῦντες αὐτοῖς, καὶ εἰδό-

1 μέτρια edd. 2 Ἀρδιαῖοι utique videtur scribendum.

ciam fecerant, faccis inclusas mari iussit mergi.« Hermippus vero, in libris de Septem Sapientibus, Periandrum quoque idem feciſſe tradit. Secundo vero Philippicorum (Theopompus) haec ſcribit: »*Illyrii* coenant potantque ſedentes. Adhibent vero etiam uxores in convivia: & decorum his habetur, propinare cuicumque voluerint e convivis. Domumque abducunt illae maritos e compotationibus. Caeterum aſpero tenuique victu utuntur omnes: quumque bibunt, cingunt ventrem latis cingulis: idque primum modice faciunt: quum vero largius bibunt, arctius idemtidem adſtringunt cingulum. *Ariaei* vero [ſive, *Ardiaei*] (ait idem) habent clientum, quaſi Ilotarum, triginta myriadas. Quotidie vero inebriantur, & convivia agunt, & comeſſationibus compotationibusque intemperantius indulgent. Quare etiam Galli bellum eis facientes, cum non ignora-

τες αὐτῶν τὴν ἀκρασίαν, παρήγγειλαν ἅπασι τοῖς c
στρατιώταις, δεῖπνον ὡς λαμπρότατον παρασκευάσαντας κατὰ σκηνὴν, ἐμβαλεῖν εἰς τὰ σιτία πόαν τινὰ φαρμακώδη, δυναμένην διακόπτειν τὰς κοιλίας καὶ διακαθαίρειν. γενομένου δὲ τούτου, * * [1] οἱ μὲν αὐτῶν καταληφθέντες ὑπὸ τῶν Κελτῶν ἀπώλοντο· οἱ δὲ καὶ εἰς τοὺς ποταμοὺς αὐτοὺς ἔρριψαν, [2] ἀκράτορες τῶν γαστέρων γενόμενοι."

LXI. Fugienda temulentia.

Τοιαῦτα πολλὰ [3] ἐφεξῆς καταλέξαντος τοῦ Δημοκρίτου, ὁ Ποντιανὸς ἔφη, πάντων τούτων εἶναι τῶν δεινῶν μητρόπολιν τὸν οἶνον, δι' ὃν καὶ τὰς μέθας, καὶ d
τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας γίγνεσθαι· οὗ τοὺς [4] ἐκπαθῶς μεταλαμβάνοντας, οὐ κακῶς οὖν ὁ Χαλκοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς Ἐλεγείοις κυλίκων ἐρέτας ἔφη·

Κἄν τινες οἶνον ἄγοντες ἐν εἰρεσίᾳ Διονύσου,

1 Intercidisse videntur nonnulla. 2 ἔρριψαν ἑαυτοὺς ed. Cas. cum ms. *A*. 3 Τοιαῦτα καὶ πολλὰ edd. 4 γίγνεσθαι οὕτως ἐκπ. edd.

rent illorum intemperantiam, milites iusserunt omnes coenam in tentoriis adparare quam lautissimam possent, cibisque iniicere herbam quamdam medicatam, quae vim haberet incidendi alvum & perpurgandi. Quo facto, * * alii ex illis deprehensi a Gallis interfecti sunt, alii vero ipsi se in flumina proiecerunt, cum alvi dolorem ferre non possent. «

61. Talia multa postquam continuo tenore Democritus differuisset, Pontianus ait: Atqui istorum omnium malorum metropolis (*id est*, fons & origo) vinum est; ex quo ebrietates, furores, atque etiam flagitiosae proterviae nascuntur: quod qui nimis avide sectantur, eos haud male Dionysius is, qui Aeneus cognominatus est, *calicum remiges* adpellavit in Elegiis, ubi ait:

Quod si qui vinum vehunt in Bacchi remigio,

συμποσίου ναῦται, καὶ κυλίκων ἐρέται.

Περὶ τοῦδε (τὸ γὰρ φῦλον [1] οὐκ ἀπόλωλε) Ἄλεξις δ' ἐν Κουρίδι, περί τινος πλέον πιόντος διαλεγόμενος, φησίν·

Ὁ μὲν οὖν ἐμὸς υἱὸς, οἷον ὑμεῖς ἀρτίως
εἴδετε, τοιοῦτος γέγονεν· Οἰνοπίων τις, ἢ
e Μάρων τις, ἢ Κάπηλος, ἢ Τιμοκλέης. [2]
μεθύει γάρ· οὐδὲν ἕτερον. ὁ δ' ἕτερος, τί ἂν
τύχοιμ' ὀνομάσας; Βῶλος, ἄροτρον, γηγενὴς
ἄνθρωπος. —

Χαλεπὸν οὖν ἐστιν, ἄνδρες φίλοι, τὸ μεθύειν· καὶ καλῶς πρὸς τοὺς οὕτω λάπτοντας [3] τὸν οἶνον ὁ αὐτὸς Ἄλεξις ἐν Ὀπώρᾳ (ἑταίρας δὲ ὄνομα τὸ δρᾶμα ἔχει) φησίν· „Οἶνον πολὺν οὐ κεκραμένον πίνεις μεστὸς ὢν, κοὐκ ἐξεμεῖς;“ καὶν Δακτυλίῳ·

1 φίλον vulgo. 2 Τιμοκλῆς vulgo. 3 οὕτως βλάπτοντας edd. cum ms. *A*.

convivii nautae, & calicum remiges.

De quo genere hominum (nec enim illud extinctum est) Alexis in Curide, ubi de quodam loquitur qui nimium vini hauserat, ait:

Filius igitur meus, qualem iam modo
vidistis, talis est: Oenopion aliquis, aut
Maron quispiam, aut Capelus, (id est, *caupo*,) *aut*
Timocles:
nam ebrius est, nil aliud. Alter, quo eum
nomine adpellabo? Bolus, (id est, *gleba*,) *aratrum, terrâ genitus*
homo est. —

Odiosa igitur res est, dilecti viri, ebrietas: & bene in hos, qui ita vinum hauriunt, idem Alexis in Oporâ (meretrix est, quae fabulae nomen dedit) dixit: *Tantum vini non temperati bibis, cum iam plenus sis, nec vomis?* Et in Annulo:

Εἶτ' οὐχ ἁπάντων ἐστὶ τὸ μεθύειν κακὸν
μέγιστον ἀνθρώποισι καὶ βλαβερώτατον; f
καὶν Ἐπιτρόπῳ δ' ἔφη·
Πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποιεῖ. [1]
Κρωβύλος τ', ἐν Ἀπολιπούσῃ· [2]
Τὸ γὰρ ἐνδελεχῶς μεθύειν τίν' ἡδονὴν ἔχει;
ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ Φρονεῖν,
ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ Φύσις.
Οὐ χρὴ οὖν μεθύειν. καὶ γὰρ „ δημοκρατουμένη πό-
Democratia, nimiam fitiens libertatem. λις, φησὶν ὁ Πλάτων ἐν ὀγδόῃ Πολιτείας, ἐλευθερίας
διψήσασα, ἢν κακῶν οἰνοχόων προστατούντων [3] τύχῃ, a
καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου αὐτῆς [4] μεθυσθῇ,
τοὺς ἄρχοντας δή, ἂν μὴ πάνυ πρᾷοι ὦσι, καὶ πολ-
λὴν παρέχωσι τὴν ἐλευθερίαν, κολάζει, αἰτιωμένη ὡς
μιαρούς τε καὶ ὀλιγαρχικούς· τοὺς δὲ κατηκόους τῶν
ἀρχόντων προπηλακίζει.“ Ἐν δὲ τῷ τῶν [5] Νόμων

1 ποεῖ ms. *A*. 2 Ἀπολειπούσῃ edd. 3 προσταττόντων edd.
4 αὐτῇ edd. 5 Abeſt τῶν edd.

At nonne peſtis peſſima eſt mortalibus
ebrietas, atque damnum damnoſiſſimum?

Idem rurſus, in Tutore, ait:

Nam multum vinum multa peccare facit.

Et Crobylus, in Deſertrice:

Quaenam eſt voluptas, ebriolari perpetim,
vivumque ſeſe orbare mentis regimine;
quod maximum eſt humanae naturae bonum?

Fugienda igitur temulentia eſt. *Namque civitas populari ſtatu utens*, ut ait Plato, octavo libro de Republica, *libertatem ſitiens; ſi malos pincernas nacta fuerit ſibi praefectos, & profuſius iuſto ſe illâ merâ inebriaverit; magiſtratus ſuos, niſi admodum lenes ſint & multam indulgeant licentiam, poenis adficiet, ut ſceleſtos & oligarchiae ſtudentes culpans; eos vero, qui parent magiſtratibus, omni contumeliâ adſperget.*

ἕκτῳ Φησίν· „Τὴν πόλιν εἶναι δεῖ [1] δίκην κρατῆρος κεκραμένην· [2] οὗ μαινόμενος μὲν ὁ οἶνος ἐγκεχυμένος ζεῖ, κολαζόμενος δὲ ὑπὸ νήφοντος ἑτέρου θεοῦ, καλὴν κοι-
b νωνίαν λαβὼν, ἀγαθὸν πόμα [3] καὶ μέτριον ἀπεργάζεται."

LXII. Παροινεῖν, de flagitiis ex ebrietate natis.

Τὸ γὰρ παροινεῖν ἐκ τοῦ μεθύειν γίνεται. διὸ καὶ Ἀντιφάνης, ἐν Ἀρκαδίᾳ, [4] Φησίν·

— Οὔτε γὰρ νήφοντα δεῖ
οὐδαμοῦ, πάτερ, παροινεῖν· οὔθ', ὅταν πίνειν δέῃ,
νοῦν ἔχειν. ὅστις δὲ μεῖζον, ἢ κατ' ἄνθρωπον, Φρο-
νεῖ,
[δηλαδὴ] [5] μικρῷ πεποιθὼς ἀθλίῳ νομίσματι·
εἰς ἄφοδον ἐλθὼν, ὅμοιον πᾶσιν αὐτὸν [6] ὄψεται,
c ἂν [7] σκοπῇ τὰ τῶν ἰατρῶν τοῦ βίου τεκμήρια
τὰς Φλέβας ὅποι Φέρονται, τὰς ἄνω καὶ τὰς κάτω

1 φησὶ δεῖ εἶναι edd. 2 δίκην κεκραμένην κρατῆρος mssti & ed. Ven. ut videantur κεκραμένου debuisse. 3 Rectius fortasse πᾶμα scribetur. 4 Alibi ἐν Ἀρκάδι. 5 Abest vox vulgo. 6 αὐτὸν edd. 7 ἐὰν vulgo.

Sexto vero Legum libro ait: *Civitatem oportet esse instar craterae temperatae: in qua infusum vinum fervet quidem & furit, sed coërcitum ab altero sobrio Deo, & pulcram societatem nactum, bonum potum & moderatum efficit.*

62. Nam ex ebrietate nascitur τὸ παροινεῖν, id est, flagitiosa petulantia. Quare Antiphanes in Arcadiâ (*sive*, in Arcade) dixit:

— Sobrium, pater, haud decet
ebriace tumultuari: neque se curis dedere;
cum bibendi est tempus. Morem quisquis supra hominum
sapit,
fretus infaustae pusillae viribus pecuniae;
in foricas secedens, aliis se quaque inveniet parem,
si contempletur quae medici signa ruspari solent,
quomodo sursum deorsum corporis venae meent,

τεταμένας,[1] δι' ὧν ὁ θνητὸς πᾶς κυβερνᾶται βίος.
Ἐν δὲ Αἰόλῳ, διαβάλλων ὅσα δεινὰ πράττουσιν οἱ πλέον πίνοντες, φησί·

Μακαρεὺς ἔρωτι τῶν ὁμοσπόρων μιᾶς
πληγεὶς, τέως μὲν ἐπεκράτει τῆς συμφορᾶς,
κατεῖχέ θ' αὑτόν· εἶτα παραλαβών ποτε
οἶνον στρατηγὸν, ὃς μόνος θνητοῖς [2] ἄγει
τὴν τόλμαν εἰς τὸ πρόσθε τῆς εὐβουλίας, d
νύκτωρ ἀναστὰς ἔτυχεν ὧν ἠβούλετο.

Καλῶς οὖν ἄρα καὶ Ἀριστοφάνης, Ἀφροδίτης γάλα τὸν οἶνον ἔφη, εἰπών·

Ἡδύς τε πίνειν οἶνος, Ἀφροδίτης γάλα.

Ὃν πολὺν σπῶντες ἔνιοι παρανόμων ἀφροδισίων ὄρεξιν λαμβάνουσιν.

LXIII. Ἐξοινος, vino captus.

Ἡγήσανδρος δ' ὁ Δελφὸς καὶ ἐξοίνους τινὰς κέκληκε, λέγων οὕτως· „Κομηὰν καὶ Ῥοδοφῶν, τῶν

1 Deeſt τεταμ. edd. 2 θνητῶν mssti.

queis gubernis vita ſeſe ſuſtinet mortalium.

In Aeolo vero, oſtendens quanta in mala ſe coniiciant qui nimio vino ſeſe ingurgitant, ait:

Macareus amore ſaucius ſororio,
tam foedam calamitatem ſuppreſſit diu,
& ſe continuit: imperatorem ſibi
donec praefecit vinum, quo ſolo duce
audacia antecurſor eſt prudentiae.
Ita nocte ſurgens, voti potitus eſt ſui.

Quare commode Ariſtophanes vinum *Veneris lac* adpellavit, ubi ait:

Suaveque potu vinum, Veneris lac.

Quo nimio hauſto multi ad illicitae Veneris libidinem accenduntur.

63. Hegeſander vero Delphus nonnullos etiam ἐξοίνους adpellavit: nempe *vino captos* dicens. Cuius haec ſunt

ἐν Ῥόδῳ πολιτευσαμένων ὄντες, ἦσαν ἔξοινοι. καὶ ὁ Κομηὼν εἰς κυβευτὴν [1] σκώπτων τὸν Ῥοδοφῶντα ἔλεγεν,

e Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι κυβευταί.

Ῥοδοφῶν τε ἐκείνῳ [2] τὴν περὶ τὰς γυναῖκας σπουδὴν καὶ τὴν ἀκρασίαν ὠνείδιζεν, οὐδεμιᾶς ἀπεχόμενος λοιδορίας." Θεόπομπος δ' ἐν τῇ ἐκκαιδεκάτῃ τῶν Ἱστοριῶν, περὶ ἄλλου Ῥοδίου διαλεγόμενος, φησί· „Τοῦ Ἡγησιλόχου τὰ μὲν ἀχρείου γεγονότος ὑπὸ οἰνοφλυγίας καὶ κύβων, καὶ παντάπασιν οὐκ ἔχοντος ἰδίωμα [3] παρὰ τοῖς Ῥοδίοις, ἀλλὰ διαβεβλημένου διὰ τὴν ἀσωτίαν τὴν τοῦ βίου καὶ παρὰ τοῖς ἑταίροις καὶ παρὰ τοῖς ἄλλοις πολίταις." εἶθ' ἑξῆς λέγων περὶ τῆς ὀλιγαρχίας, ἣν κατεστήσατο μετὰ τῶν φίλων, ἐπιφέρει· „Καὶ πολλὰς μὲν γυναῖκας εὐγενεῖς, καὶ τῶν πρώ- Vinosi flagitiosi.

1 Forſ. ὡς κυβευτήν. 2 Ῥοδοφῶν τε ἔλεγεν τὴν edd. Ῥοδοφῶντα ἔλεγεν τὴν Ms. 3 ἀξίωμα corr. Caſaub.

verba: »Comeon & Rhodophon, ex eorum numero qui rempublicam Rhodi adminiſtrabant, ebrii (ἔξοινοι) erant. Et Comeon quidem Rhodophontem ut aleatorem perſtringens, dicebat,

O ſenex, certe valde te iuvenes premunt aleatores.

Rhodophon vero Comeoni mulierum inſanum amorem & intemperantiam exprobrabat, nulli parcens probro.« Theopompus vero, ſexto decimo libro Hiſtoriarum, de alio Rhodio loquens, ait: »Hegeſilochus ad res gerendas inutilis ob ebrietatem & aleae ſtudium, & omnino in nulla apud Rhodios dignatione fuerat, ſed ob vitae luxuriam, cum apud familiares, tum apud reliquos cives, infamis.« Deinde vero ubi de oligarchia diſſerit, quam ille cum ſuis ſodalibus inſtituit, haec ſubiicit: »Et multas nobiles foeminas principum-

τῶν ἀνθρώπων, ἠσχυναν· οὐκ ὀλίγους δὲ παῖδας καὶ νεανίσκους διέφθειραν· εἰς τοῦτο δὲ προέβησαν ἀσελγείας, ὥστε καὶ κυβεύειν ἠξίωσαν πρὸς ἀλλήλους περὶ τῶν γυναικῶν τῶν ἐλευθέρων, καὶ διωμολογοῦντο τοὺς ἐλάττω τοῖς ἀστραγάλοις βάλλοντας ἥν τινα χρὴ τῶν πολιτίδων τῷ νικῶντι εἰς συνουσίαν ἀγαγεῖν· a οὐδεμίαν ὑπεξαιρούμενοι πρόφασιν, ἀλλ' ὅπως ἂν ἕκαστος ἦν δυνατὸς, πείθων, ἢ βιαζόμενος, οὕτω προστάττοντες ἄγειν. καὶ ταύτην τὴν κυβείαν ἔπαιζον καὶ τῶν ἄλλων Ῥοδίων τινὲς, ἐπιφανέστατα δὲ καὶ πλειστάκις αὐτὸς ὁ Ἡγησίλοχος, ὁ προστατεῖν τῆς πόλεως ἀξιῶν." Ἀνθέας δὲ, ὁ Λίνδιος, συγγενὴς δὲ εἶναι φάσκων Κλεοβούλου τοῦ σοφοῦ, ὥς φησι Φιλόδημος [1] ἐν τῷ Περὶ τῶν ἐν Ῥόδῳ Σμινθίων, πρεσβύτερος καὶ εὐδαίμων ἄνθρωπος, εὐφυής τε περὶ ποίησιν ὢν, πάν- b τα τὸν βίον ἐδιονυσίαζεν, ἐσθῆτα Διονυσιακὴν φορῶν,

Antheas Lindius, poëseos prosaicae inventor.

1 Φιλόμνηστος *supra* legebatur.

que virorum uxores vitiabant: puerosque haud paucos & adoleſcentulos corrumpebant: denique eo progreſſi ſunt libidinoſae proterviae, ut non vererentur teſſeris inter ſe de ingenuis mulieribus ludere, paciſcique quamnam ex ingenuis matronis hi, quibus iactus minor obtigiſſet, victori ſtuprandam adducerent: nec ullam admittebant exceptionem, ſed quacumque ratione poſſet, ſive perſuadendo, ſive vim adhibendo, adducere eam victus tenebatur. Et hoc teſſerarum ludo utebantur etiam alii nonnulli Rhodiorum, ſed maxime omnium & creberrime ipſe Hegeſilochus, is qui videri volebat praeſidere civitati. « *Antheas* vero Lindius, qui ſe cognatum iactabat eſſe Cleobuli Sapientis, ut ait Philodemus [*ſive*, Philomneſtus] in libro de Sminthiis in Rhodo inſulà, natu iam grandior, & fortunatus homo, & poëtico ingenio clarus, per totam vitam Bacchanalia

καὶ πολλοὺς τρέφων συμβάκχους. [1] ἐξῆγέ τε κῶμον ἀεὶ μεθ' ἡμέραν καὶ νύκτωρ. καὶ πρῶτος εὗρε τὴν διὰ τῶν συνθέτων [2] ὀνομάτων ποίησιν, ἣ Ἀσωπόδωρος ὁ Φλιάσιος ὕστερον ἐχρήσατο ἐν τοῖς καταλογάδην Ἰάμβοις. οὗτος δὲ καὶ κωμῳδίας ἐποίει, καὶ ἄλλα πολλὰ, ἐν τούτῳ τῷ τρόπῳ τῶν ποιημάτων, ἃ ἐξῆρχε τοῖς μετ' αὐτοῦ [3] φαλλοφορουσι. Asopodori Iambi prosaici.

LXIV. Πάροινος.

Τούτων ἀκούσας ὁ Οὐλπιανός· ὁ δὲ πάροινος, c ἔφη, καλέ μου Ποντιανὲ, παρὰ τίνι κεῖται; Καὶ ὃς ἔφη·

Ἀπολεῖς μ' ἐρωτῶν — (κατὰ τὸν καλὸν Ἀγάθωνα·)
— καὶ σὺ καὶ ὁ νέος τρόπος,
ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος.

ἐπεὶ δὲ πάντων ἡμᾶς εὐθύνας σοι διδόναι κέκριται, Ἀντιφάνης ἐν Λυδῷ εἴρηκεν·

1 συμμάχους edd. 2 Forſ. τῶν εὖ συντεθέντων, vel τῶν εὐσυνθέτων. 3 μεθ' ἑαυτοῦ edd. μεθ' αὐτοῦ ms. *A*.

celebrabat, Bacchico cultu incedens, & multos alens ſodales ſecum bacchantes: agmenque comeſſantium dies noctesque ducebat. Idem primus poëſin illam, quae fit aptâ verborum compoſitione, invenit; qua deinde *Aſopodorus* Phliaſius uſus eſt in Iambis proſaicis. Ille vero etiam comoedias compoſuit, & alia multa in eodem poëſeos genere, quae ſuis phallophoris praecinebat.

64. Quae quum audiviſſet Ulpianus: At vocabulum πάροινος, ait, dic mihi Pontiane, vir praeclare, apud quem reperitur. Et ille:

Occidis me interrogando, — (ut ait pulcher Agathon)
— *& tu, & mos novus;*
intempeſtivis me ſermonibus interpellans.

Sed quoniam decretum eſt, ut tibi omnium rerum rationem reddamus; ecce, Antiphanes in Lydo dixit:

Κολχὶς ἄνθρωπος πάροινος. —
σὺ δὲ παροινῶν καὶ μεθύων οὐδέπω κόρον ἔχεις· οὐδὲ
ἐπὶ νοῦν λαμβάνεις, ὅτι ὑπὸ μέθης ἀπέθανεν Εὐμένης
ὁ Περγαμηνὸς, ὁ Φιλεταίρου τοῦ Περγάμου βασι- d
λεύσαντος ἀδελφιδοῦς, ὡς ἱστορεῖ Κτησικλῆς ἐν τρί-
τῳ Χρόνων. ἀλλ' οὐ Περσεὺς ὁ ὑπὸ Ῥωμαίων καθαι-
ρεθείς· κατ' οὐδὲν γὰρ τὸν πατέρα Φίλιππον ἐμιμήσ-
ατο. οὔτε γὰρ περὶ γυναῖκας ἐσπουδάκει, οὔτε φί-
λοινος ἦν, ἀλλὰ καὶ οὐ μόνον αὐτὸς μέτριον ἔπινε δει-
πνῶν, ἀλλὰ καὶ οἱ συνόντες αὐτῷ φίλοι· ὡς ἱστορεῖ
Πολύβιος ἐν τῇ ἕκτῃ καὶ εἰκοστῇ. Σὺ δὲ, ὦ Οὐλπια-
νὲ, ἀῤῥυθμοπότης [1] μὲν εἶ, κατὰ τὸν Φλιάσιον Τίμω- Ἀῤῥυθμοπό-της.
να. οὕτως γὰρ ἐκεῖνος ὠνόμασε τοὺς τὸν πολὺν σπῶν-
τας οἶνον ἄκρατον, ἐν τῷ δευτέρῳ τῶν Σιλλῶν· [2] e

Ἠὲ βαρὺν βουπλῆγα, τομώτερον ἢ Λυκόοργος, [3]
ὅς ῥα Διωνύσου [4] ἀῤῥυθμοπότας ἐπέκοπτε,

1 ἀῤῥυθμοπάτης ms. *A.* 2 Σίλλων edd. 3 Λυκούργου forſ. 4 Διον-

Colchis, mulier πάροινος. (ex vino inſolens.)
Te vero inſolentiae temulentiaeque nondum ſatietas cepit: neque in animum tuum admittis cogitationem, ex ebrietate mortuum eſſe Eumenem Pergamenum, Phileteri regis Pergami ex fratre nepotem, ut narrat Cteſicles tertio libro Temporum: nec vero Perſeum, hunc qui a Romanis eſt ſublatus; nulla enim in re Philippum patrem hic imitatus erat, nec mulieribus ſtudens, nec vino deditus: & non modo ipſe modice bibebat in coena, ſed & qui cum eo eſſe conſueverant amici; ut Polybius tradit ſexto & viceſimo libro. At tu, Ulpiane, *immoderate-bibax* es; ἀῤῥυθμοπότης, ſecundum Timonem Phliaſium. Sic enim ille nominavit hos qui nimium vini meri hauriunt, ſecundo Sillorum:

Aut grave flagrum, acrius caedens quam Lycurgus,
qui Bacchi ἀῤῥυθμοπότας acriter repreſſit,

ἐκ δὲ ῥυτὰ ῥίπτασκεν, ἀπληστοίνους τ' ἀρυσάνας. [1] εὐ ποτικὸς δέ. ὠνόμασε δὲ ποτικὸν Ἀλκαῖος Γανυμήδει οὕτως. [2] Ὅτι δὲ τὸ μεθύειν καὶ τὰς ὄψεις ἡμῶν
f πλανᾷ, σαφῶς ἔδειξεν Ἀνάχαρσις δι' ὧν εἴρηκε, δηλώσας ὅτι ψευδεῖς δόξαι τοῖς μεθύουσι γίγνονται. συμπότης γάρ τις, ἰδὼν αὐτοῦ τὴν γυναῖκα ἐν τῷ συμποσίῳ, ἔφη· „ὦ Ἀνάχαρσι, γυναῖκα γεγάμηκας αἰσχράν.“ καὶ ὃς ἔφη· „πάνυ γε καίμοὶ δοκεῖ· ἀλλά μοι ἔγχεον, ὦ παῖ, ποτήριον ἀκρατέστερον, ὅπως αὐτὴν καλὴν ποιήσω.“ Anacharsidis dictum.

LXV. Πῖθι, *Bibe.*

Μετὰ ταῦτα ὁ Οὐλπιανὸς προπιών τινι τῶν ἑταίρων, ἔφη· Ἀλλὰ, κατὰ τὸν Ἀντιφάνην, ὦ Φιλότης, ὃς ἐν Ἀγροίκοις φησίν·

a Α. Ὅλην μύσας [3] ἔκπινε. Β. Μέγα τὸ Φορτίον.
Α. Οὐχ ὅστις αὐτῆς ἐστιν ἐμπείρως ἔχων.

νύσου edd. Διονύσου ms. *A.* 1 ἀρυταίνας h. l. editt. vett. cum ms. *A.* 2 Delectus nota hîc ponitur in ed. Baſ. & Caſ. 3 κάμμύσας edd.

disiecitque pocula, vinique inſatiabiles trullas. Non enim (ſimpliciter) ποτικὸν te eſſe dico: (*id eſt*, ad bibendum proclivem:) quo vocabulo Alcaeus uſus eſt in Ganymede. Ex ebrietate vero etiam oculos hominum decipi, perſpicue docuit Anacharſis dicto illo quo declaravit, falſa nobis viſa ex ebrietate adferri. Compotator aliquis, quum illius uxorem vidiſſet in convivio, dixerat: *O Anacharſis, uxorem duxiſti deformem.* Tum ille: *Sane etiam mihi*, inquit, *ita videtur: at mihi infunde, puer, poculum meracius, quo formoſam illam reddam.*

65. Poſthaec Ulpianus, quum propinaſſet alicui ſodalium, dixit: At, o amice, quod Antiphanes in Ruſticis ait:

A. *Totum clauſis oculis ebibe!* B. *Arduum negotium.*
A. *Non, ſi quis calicum peritiam habeat.*

Πῖθι οὖν, ὦ ἑταῖρε. καὶ
— A. Μὴ μεστὰς ἀεὶ
ἕλκωμεν· —
(ὁ αὐτὸς Φησιν Ἀντιφάνης ἐν τῷ Τραυματίᾳ·)
— ἀλλὰ καὶ λογισμὸς εἰς μέσον
παταξάτω τις, καί τι καὶ μελίσκιον,
στροφὴ παρελθέτω τις. ἡδύ τοι, λέγω, [1]
ἐστὶν μεταβολὴ παντὸς ἔργου, [2] πλὴν ἑνός.
B. Παραδίδου οὖν ἐξῆς ἐμοὶ [τὸν] οἶνον [δὴ] [3]
[τὸν] ἀρκεσίγυιον, ὡς ἔφασκ' Εὐριπίδης.
A. Εὐριπίδης γὰρ τοῦτ' ἔφασκεν; B. Ἀλλὰ τίς; b
A. Φιλόξενος δήπουθεν. B. Οὐδὲν διαφέρει,
ὦ τάν· ἐλέγχεις μ' ἕνεκα συλλαβῆς μιᾶς.
Καὶ ὅς· Τὸ δὲ πῖθι τίς εἴρηκεν; Ἀπεσκοτώθης, φίλτατε, ἔφη ὁ Οὐλπιανὸς, σπάσας οἴνου τοσοῦτον. παρὰ Κρατίνῳ ἔχεις ἐν Ὀδυσσεῦσι·

1 ἡ αὐτὴ λέγων vulgo. 2 ἔργα edd. 3 Vulgo, Παραδίδου δ' ἐξῆς ἐμοὶ οἶνον ἀρκεσίγυιον.

Bibe ergo, amice!
— A. *Nec vero plenos ſemper*
(ut ait idem Antiphanes in Saucio)
trahamus: ſed & diſſertatio in medium
prorumpat aliqua, & quaedam cantiuncula;
& chorus prodeat. Suavis enim, aio,
eſt viciſſitudo rebus in omnibus, praeter unam.
B. *Trade ergo mihi deinde vinum ſcilicet*
membra iuvans; ut dicebat Euripides.
A. *Hoccine Euripides dixerit?* B. *Quis ergo alius?*
A. *Philoxenus nempe.* B. *Nil intereſt,*
o homo: unius ſyllabae cauſſâ me redarguis.
Tum ille: Sed verbum πῖθι (*bibe!*) quis dixit? Et Ulpianus: Mens tibi caligat, inquit, cariſſime, ex quo tantum vini hauſiſti. Apud Cratinum habes, in Ulyſſibus:

— Τῇ νῦν τόδε,
πῖθι λαβὼν ἤδη, καὶ τοὔνομα μ' εὐθὺς [1] ἐρώτα.

καὶ Ἀντιφάνης, ἐν Μύστιδι·

c A. Σὺ δ' ἀλλὰ πῖθι. B. Τοῦτο μέν σοι πείσομαι. [2] Anus bibax.
καὶ γὰρ ἐπαγωγόν, ὦ θεοί, τὸ σχῆμά πως
τῆς κύλικός ἐστιν, ἄξιόν τε τοῦ κλέους
τοῦ τῆς ἑορτῆς. οὐ μέν, ἦ μήν, [3] ἄρτι γὰρ
ἐξ ὀξυβαφίων κεραμέων ἐπίνομεν;
Τούτῳ δὲ, τέκνον, πολλὰ κἀγάθ' [4] οἱ θεοὶ
τῷ δημιουργῷ δοῖεν, ὃς ἐποίησέ σε,
τῆς συμμετρίας καὶ τῆς ἀφελείας [5] οὕνεκα.

d καὶ Δίφιλος, ἐν Βαλανείῳ·

Ἔκχεον [6] μεστήν· τὸ θνητὸν περικάλυπτε τῷ θεῷ.
πῖθι. ταῦτα [7] γὰρ ἡμῶν Διὸς ἑταιρίου, πάτερ.

1 αὖθις forſ. 2 πίσομαι ms. *A.* quod diſerte probat Epitomator, *bibam* exponens. 3 οὔ μέμνημεν edd. οὐ μὲν ἦ μὲν Ms. Alibi οὐ μὲν οὐ μὲν Ms. & οὐ μὲν ἀρτίως γάρον edd. 4 πόλλ' ἀγαθὰ vulgo h. l. 5 καὶ τῆς ἀσφαλείας edd. Ubi corrigunt τῆς τ' ἀσφαλείας. 6 Ἔγχεον Grot. 7 τοῦτο corrigunt viri docti, & dein πατήρ.

— *Cape nunc hoc,*
bibe, (πῖθι,) *ſume iam: nomenque meum quaere poſt.*

Sic & Antiphanes, in Myſtide:

A. *Tu vero bibe!* (πῖθι.) B. *Hoc tibi parebo.*
Allicit enim, proh Dii, ipſa venuſta forma
calicis; quae ſane digna eſt horum feſtorum dierum
gloriâ. Nonne enim profecto adhuc modo
ex fictilibus bibebamus acetabulis?
Huic vero, o fili, multa Dii bona
artifici, qui te fecit, largiantur,
concinnitatis cauſſâ ſimplicitatisque. (ſive, *firmitatisque.*)

Et Diphilus, in Balneo:

Infunde plenum: mortale iſtud Deo hoc circumtege.
Bibe! haec enim noſtra, pater, a Deo Fidio dona ſunt.

Ἀμειψίας, Σφενδώνῃ· [1]

Λαγὸν [2] ταράξας, πῖθι, τὸν θαλάσσιον.

Μένανδρος, Αὐλητρίσι, [3]

Βάλλ' ἐς κόρον. ἤδη πώποτ' ἔπιες Σωσίλα;

πᾶσι [4] νῦν πῖθι· μένει [5] γὰρ κακῶς.

LXVI. Πίομαι δὲ ἄνευ τοῦ ῡ λεκτέον, ἐκτείνοντας δὲ τὸ ῐ. οὕτω γὰρ ἔχει καὶ τὸ Ὁμηρικόν·

Πίομαι. Πιόμεν' ἐκ βοτάνης. —

καὶ Ἀριστοφάνης, Ἱππεῦσι· „Κοὔποτ' ἐκ ταὐτοῦ e πίεται [6] ποτηρίου." καὶ ἐν ἄλλοις·

Πικρότατον οἶνον τήμερον πίει. — [7]

τάχα ὡς ἀπὸ τοῦ πιοῦμαι. Ἐνίοτε δὲ καὶ συστέλλουσι τὸ ῐ. ὡς Πλάτων, ἐν Ταῖς ἀΦ' Ἱερῶν·

Οὐδ' ὅστις αὐτῆς ἐκπίεται τὰ χρήματα.

1 Φείδωνι h. l. edd. Φενδωνι Ms. 2 Λαγὼν h. l. edd. 3 Forſ. Αὐλητρίδι. 4 Varias coniecturas tentarunt viri docti. 5 μαίνῃ corrigunt. Poterant & μαίνει corrigere. 6 Deeſt vulgo verbum. 7 πίῃ edd. πιῇ ms. *Ep.* πίει (ſic) ms. *A.*

Ameipſias, in Fundâ:

Leporem marinum quum turbaveris, bibe.

Menander, in Tibicinâ:

Abi in malam rem! iam umquam-ne bibiſti, Soſila? omnino nunc bibe. (πῖθι.) *furis enim male.*

66. Dicendum vero eſt πίομαι, (*bibam,*) absque *ypſilo;* ſed productâ vocali *iota.* Sic enim habet etiam Homericum illud:

Πιόμεν' ἐκ βοτάνης: (*oves*) *quum poſt paſtum potantur.*

Et Ariſtophanes in Equitibus ait:

Numquam ex eodem mecum potabit (πίεται) *poculo.*

& alibi:

Amariſſimum vinum hodie bibes. πίει.

Fortaſſe quaſi a πιοῦμαι. Nonnumquam vero etiam *iota* corripiunt Sic Plato, in Mulieribus a Sacris redeuntibus:

Non qui illius bona potando abligurierit. (ἐκπίεται.)

καὶ ἐν Σύρφακι·

— καὶ πίεσθ' ὕδωρ πολύ.

πῖε δὲ δισυλλάβως Μένανδρος, ἐν Ἐγχειριδίῳ·

— [A. Πῖε. B.] [1] Πιεῖν ἀναγκάσω

τὴν ἱερόσυλον πρῶτα. —

f καὶ „τῇ πίε" καὶ „πῖνε." Πῖνε [2] καὶ σὺ οὖν, ὦ ἑταῖρε, κατὰ [3] τὸν Ἄλεξιν, ὃς ἐν Διδύμοις φησί·

τούτῳ πρόπιθι, ἵνα καὶ αὐτὸς ἄλλῳ· —

καὶ γένηται ἡ παρ' Ἀνακρέοντι καλουμένη ἐπίστιος. Φησὶ γὰρ ὁ μελοποιός· Anacreontis calix ἐπίστιος.

a Μήθ' ὥστε κῦμα πόντιον
λάλαζε, τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ, καταχύδην [4]
πίνουσα τὴν ἐπίστιον."

τοῦτο δ' ἡμεῖς ἀνίσωνα Φαμέν.

1 Praecedentia ex coniecturâ adiecta. 2 Alterum ΠΙΝΕ ex *coniectura adiectum*. 3 Forſ. καὶ κατὰ τὸν Ἄλ. 4 καχχύδην corr. Barn.

Et, in Syrphace:

— *& biberitis aquam multam.*

Sed πῖε, duabus ſyllabis, Menander in Pugione:

— [A. *Bibe ergo!* πῖε. B.] *Bibere ego cogam primum ſacrilegam hanc.* —

Et notum illud, *τῇ πίε: cape, bibe.* Bibe igitur etiam tu, amice; &, quod Alexis ait in Gemellis,

propina huic, quo & ille rurſus poſſit alii;

ſitque quod apud Anacreontem vocatur *contubernale poculum.* Sic enim ait Lyricus:

Nec, fluctus ut marinus,
fremas, clamoſâ illâ
cum Gaſtrodorâ, affatim
bibens contubernale.

Hoc vero nos *aniſona* vocamus.

LXVII.

Vinum hordaceum, *Brytum*.

Σὺ δὲ πιὼν μὴ φοβηθῇς· σώσεις δὲ τοὐπίσω μελέων καταπεσεῖσθαι. τοῦτο γὰρ παθεῖν οὐ δύνανται οἱ τὸν κατὰ Σιμωνίδην πίνοντες

— οἶνον ἀμύντορα δυσφροσυνάων.

ἀλλ', ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Περὶ Μέθης, εἰς τὰ νῶτα καταπίπτουσιν οἱ τὸν κρίθινον πεπωκότες, ὃν πῖνον καλοῦσι, λέγων οὕτως· „Πλὴν ἴδιόν τι συμβαίνει περὶ τὰς [1] τῶν κριθῶν, τὸ καλούμενον πῖνον. b ὑπὸ μὲν γὰρ τῶν λοιπῶν τε καὶ μεθυστικῶν [2] οἱ μεθυσθέντες ἐπὶ πάντα τὰ μέρη πίπτουσι. καὶ γὰρ ἐπὶ τὰ ἀριστερὰ, καὶ δεξιὰ, καὶ πρηνεῖς, καὶ ὕπτιοι. μόνοι δὲ οἱ τῷ πίνῳ μεθυσθέντες εἰς τοὐπίσω καὶ ὕπτιοι κλίνονται." Τὸν δὲ κρίθινον οἶνον, καὶ βρύταν τινὲς καλοῦσιν. ὡς Σοφοκλῆς, ἐν Τριπτολέμῳ·

Βρύτον δὲ τὸν χερσαῖον οὐ δυεῖν. * [3]

1 περὶ τὰς ἐκ τῶν lege, aut περὶ τὰν ἐκ τῶν κρ. 2 τῶν λοιπῶν μεθυστ. ms. *Ep.* 3 οὐδιεῖν corr. Caſ. οὐ δύειν Villebr.

67. Tu vero bibiturus non eſt quod timeas: nec periculum erit, ut in poſteriores corporis partes cadas. Non enim his accidere id poteſt, qui bibunt, ſecundum Simonidem,

— *vinum propulſans ſollicitudines.*

Sed, ut ait Ariſtoteles in libro De Temulentia, in tergum recidunt qui hordaceum vinum biberunt, quem *pinum* vocant. Sic autem ille ſcribit: »Caeterum peculiare quid accidit circa vinum ex hordeo, quod *pinum* vocatur. Nam qui ab aliis potionum inebriantium generibus inebriati ſunt, in omnes partes prolabi poſſunt, cum ad dextram aut ad ſiniſtram, tum & proni & ſupini. At pino ebrii ſoli in poſteriora & ſupini cadunt.« Hordaceum vero vinum etiam *brytum* vocant nonnulli. Sic Sophocles, in Triptolemo:

Brytum vero terrenum non ingerere.

καὶ Ἀρχίλοχος·

— Ὥσπερ αὐλῷ βρύτον ἢ Θρᾷξ ἀνὴρ, [1]
ἢ Φρὺξ, ἔβρυζε· κύβδα δ' [2] ἦν πορνευμένη. [3]

c Μνημονεύει τοῦ πώματος [4] Αἰσχύλος, ἐν Λυκούργῳ·

Κἀκ τῶν δ' ἔπινες [5] βρύτον ἰσχναίνων χρόνῳ
καὶ σεμνοκόπτει ταῦτ' ἐν ἀνδρείᾳ στέγῃ.

Ἑλλάνικος δ', ἐν Κτίσεσι, καὶ ἐκ ῥιζῶν φησι κατασκευάζεσθαι τὸ βρύτον, γράφων ὧδε· „Πίνουσι δὲ βρύτον ἐκ τῶν ῥιζῶν, καθάπερ οἱ Θρᾷκες ἐκ τῶν κριθῶν.“ Ἑκαταῖος δὲ, ἐν δευτέρῳ Περιηγήσεως, εἰπὼν περὶ Αἰγυπτίων, ὡς ἀρτοφάγοι εἰσὶν, ἐπιφέρει· „τὰς κριθὰς εἰς τὸ πῶμα καταλέουσιν.“ [6] ἐν δὲ τῇ τῆς Εὐρώπης Περιόδῳ, Παίονας, φησὶ, πίνειν βρύτον ἀπὸ
d τῶν κριθῶν, καὶ παραβίην ἀπὸ κέγχρου καὶ κονύζης. [7]

1 Priorem verſum ſic corrigunt:
Ὥσπερ (vel Οὗπερ) πρὸς αὐλὸν βρύτον ἢ Θρηΐξ ἀνήρ.
2 κύβδ' ἦν vulgo. κύβδ' ἐῆν corrigunt. 3 πονευμένη vulgo. πωλευμένη corr. Toup. aliique. 4 τοῦ πόματος edd. δὲ τοῦ πωμ. καὶ Αἰσχ. malebam. 5 ἔπινεν legebam cum Dalec. 6 εἰς τὸ πόμα καταλεύουσιν edd. 7 κόνυζαν Ms.

Et Archilochus:

Sicut bryti torrentem Thrax quidam aut Phryx,
ſic illa vomebat (vinum,) *poſtquam conquiniſcens ſcortata eſt.*

Eiusdem potionis Aeſchylus meminit, in Lycurgo:

Inde bibebat brytum, attenuans longo tempore,
& eo ſe iactabat in forti domo.

Hellanicus vero, in Originibus, etiam e radicibus parari brytum ſcribit, his verbis: »Bibunt autem brytum ex radicibus, quemadmodum Thraces ex hordeo.« Hecataeus vero, ſecundo libro Deſcriptionis terrarum, poſtquam de Aegyptiis dixit, pane eos veſci, ſubiicit: »hordeum in potionis uſum molâ frangunt.« Idem, in Europae Periodo, Paeonas, ait, brytum bibere ex hordeo, & *parabiam* ex milio & conyza. (*ſive*, & co-

Oleum ex lacte.

„Ἀλείφονται δὲ, φησὶν, ἐλαίῳ ἀπὸ γάλακτος.“ καὶ ταῦτα μὲν ταύτῃ.

LXVIII.

Ionis elegia.

„Τῷ δ' ἡμετέρῳ χρόνῳ οἶνος φίλος ὢν θυρσοφόροις, [1] μέγα πρεσβεύων Διόνυσος, φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς Ἐλεγείοις·

αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων· [2]
αἵ τε Πανελλήνων ἀγοραὶ, θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη, θαλερῷ ἐπτύξατο [3] πήχει, e
αἰθέρος· [4] ὀφθαλμῶν δ' ἐξέθορον πυκινοὶ 6
παῖδες, φωνήεντες ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ·
πρὶν δὲ σιωπῶσι. παυσάμενοι δὲ βοῆς,
Νέκταρ ἀμέλγονται, μόνον [5] ὄλβιον ἀνθρώποισι,
ξυνὸν τοῦ χαίρειν Φάρμακον αὐτοφυές. 10

1 Θυρσοφόρος vulgo. Statuunt autem primum integrum versum talem:
(Οἶνος) Θυρσοφόροισι φίλος, μέγα πρεσβεύων Διόνυσος.
2 λόγων ms. *Ep.* 3 ἐπτήξατο edd. cum ms. *A.* ἐπήξατο ms. *Ep.* Forſ. προσεπτύξατο. 4 αἰγείρῳ vel αἰγείρου hariolabar. 5 πότον corr. Iacobs.

nyzam.) »Unguntur vero, ait, oleo ex lacte.« Et haec quidem huiusmodi.

68. *Noſtra vero aetate vinum, thyrſophoris amicum, praecipue in honore eſt Bacchus;* ut ait Ion Chius in Elegiis:

haec enim omnium praeclararum rerum occaſio:
& communes Graeciae celebritates, & regum exſtiterunt epulae,
ex quo ſurculum vitis uvifera
e terrâ emiſit, viridique brachio amplexa eſt
populum; & e gemmis proſiluere frequentes
filii, ſtrepentes quando ceciderunt alius ſuper alium,
antea taciti: ceſſante vero ſtrepitu,
expreſſum dant Nectar, unum abundans & commune hominibus ad laetitiam remedium, ipſum per ſufficiens.

τοῦ θαλίαι φίλα τέκνα, φιλοφροσύναι τε, χοροί τε·
f τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
Τοῦ σὺ, πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
χαῖρε. δίδου δ' αἰῶνα καλῶν, ἐπιήρανε, ἔργων·
πίνειν καὶ παίζειν, καὶ τὰ δίκαια φρονεῖν.

Ἄμφις δ', ἐν Φιλαδέλφοις, ἐπαινῶν τὸν τῶν φιλοποτῶν φησι βίον·[1]

a Κατὰ πόλλ' ἐπαινῶ μᾶλλον ἡμῶν τὸν βίον, Cunctabunda prudentia.
τὸν τῶν φιλοποτῶν,[2] ἢ περ ὑμῶν, τῶν μόνον
ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων.
Ἡ μὲν γὰρ ἐπὶ τοῦ συντετάχθαι διὰ τέλους
φρόνησις οὖσα, διὰ τὸ λεπτῶς καὶ πυκνῶς
πάντ' ἐξετάζειν, δέδιεν ἐπὶ τὰ πράγματα

1 ἐν Φιλαδ. παράγει φιλοπότην τινὰ λέγοντα· ed. Caſ. cum *Epit.*
2 πολυποτῶν edd.

Huius cari liberi ſunt epulae ſollennes, amicorumque convivia, & chori:
quorum bonorum naturam rex Bacchus monſtravit.
Quare tu, Liber pater, hominibus care
coronas-amantibus, laetorum praeſes conviviorum,
ſalve. Da nobis, dilecte, ut aevum bene recteque traducamus,
bibamus, ludamusque, & iuſta ſentiamus.

Amphis vero, in Philadelphis, laudans potatorum vitam, ait:

Mihi equidem multis partibus laudatior
merobibulorum vita, quam veſtrûm, quibus
ſapientia omnis fronte caperata ſedet.
Nam digerendis rebus quae prudentia
perpetuo invigilat, quia minutim atque anxie
momenta explorat, aggredi negotia

ὁρμᾶν προχείρως. ἡ δέ, διὰ τὸ μὴ σαφῶς
τί ποτ' ἀΦ' ἑκάστου πράγματος συμβήσεται
διαλελογίσθαι, θρᾷ τι καὶ νεανικὸν
καὶ θερμόν. b

LXIX. Μέλλοντος δέ τι τούτοις προστιθέναι τοῦ Οὐλπιανοῦ, ὁ Αἰμιλιανὸς ἔΦη· Ὥρα ἡμῖν, ἄνδρες Φίλοι,

GRIPHORUM septem species ex Clearcho. ζητεῖν τι καὶ περὶ ΓρίΦων, ἵνα κἂν βραχὺ διαστήσωμεν ἀπὸ τῶν ποτηρίων, οὐ [1] κατὰ τὴν Καλλίου τοῦ Ἀθηναίου ἐπιγραΦομένην Γραμματικὴν Τραγῳδίαν. ἀλλ' ἡμεῖς ζητήσωμεν πρότερον μὲν, τίς ὁ ὅρος τοῦ γρίΦου. τίνα δὲ Κλεοβουλίνη ἡ Λινδία προὔβαλλεν [2] ἐν τοῖς αἰνίγμασιν· *[3] ἱκανῶς γὰρ εἴρηκε περὶ αὐτῶν ὁ ἑταῖρος ἡμῶν Διότιμος ὁ Ὀλυμπηνός. ἀλλὰ πῶς οἱ c κωμῳδοποιοὶ αὐτῶν μέμνηνται, καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες. Καὶ ὁ Λαρήνσιος ἔΦη· Ὁ μὲν

1 οὐ perperam deeſt Caſ. 2. & 3. 2 προὔβαλεν edd. 3 οὐ ζητήσαμεν ſupplet Caſ. Neſcio an ſatis foret οὐ τίνα οἱ Κλεοβ.

cunctatur. Illa vero, quae non deputat tam penſiculate quid ſit conſectarium ad quamque rem, calidius & iuvenilius molitur aliquid.

69. His nonnihil adiecturus Ulpianus erat, quum Aemilianus ait: At tempus eſt, amiciſſimi viri, de *Griphis* etiam nonnihil quaerere, ut paululum ſaltem a poculis recedamus: non quidem ſecundum Calliae Athenienſis Grammaticam (ut fert titulus) Tragoediam. Sed nos quaeramus primo, quae ſit Griphi definitio. Quae vero Cleobulina Lindia in aenigmatibus propoſuit, omittamus: nam de his ſatis diſſeruit familiaris noſter Diotimus Olympenus. Deinde vero, quo pacto Comici poëtae griphorum fecerint mentionem; denique, quam mulctam ſubierint qui ſolvere eos non potuiſſent. Tum Larenſius dixit: Solenſis quidem Clear-

Σολεὺς Κλέαρχος οὕτως ὁρίζεται· „Γρῖφος,[1] πρόβλημα ἐπιπαιστικὸν,[2] προστακτικὸν τοῦ διὰ ζητήσεως εὑρεῖν τῇ διανοίᾳ τὸ προβληθὲν, τιμῆς ἢ ἐπιζημίου χάριν εἰρημένον.“ Ἐν δὲ τῷ Περὶ Γρίφων ὁ αὐτὸς Κλέαρχός φησιν „Ἑπτὰ εἴδη εἶναι γρίφων. Ἐν γράμματι μὲν, οἷον ἐροῦμεν ἀπὸ τοῦ ἄλφα ὡς[3] ὄνομά τι ἰχθύος ἢ φυτοῦ. ὁμοίως δὲ κἂν ἔχειν τι κε-d λεύῃ τῶν γραμμάτων, ἢ μὴ ἔχειν. καθάπερ οἱ ἄσιγμοι καλούμενοι τῶν γρίφων· ὅθεν καὶ Πίνδαρος πρὸς τὸ σ ἐποίησεν ᾠδήν, οἱονεὶ γρίφου τινὸς ἐν μελοποιΐᾳ προβληθέντος. Ἐν συλλαβῇ δὲ λέγονται γρῖφοι, οἷον ἐροῦμεν ἔμμετρον ὅ τι δή ποτε οὖ ἡγεῖται βα, οἷον βασιλεύς· ἢ ὧν ἔχει[4] τελευτὴν τὸ ναξ, ὡς Καλλιάναξ· ἢ ὧν τὸν λέοντα καθηγεῖσθαι,[5] οἷον Λεωνίδης· ἢ

1 γρίφος edd. & ms. *A.* 2 ἐστὶ παιστικ. edd. 3 Quidni ἀπὸ τοῦ ἄλφα ἀρχόμενον ὀνομά τι. In ms. *Ep.* sic: οἷον εἰ ἐροῦμεν ὀνομά τι ἰχθύος ἢ φυτοῦ ἀπὸ τοῦ β' ἀρχομένου. 4 ἢ ὁ ἔχει τελ. ms. *Ep.* 5 ὧν τὸ λέων καθηγεῖται ed. Caſ. ὧν ὁ λέων καθηγεῖται ms. *Ep.*

chus ita definit: *Griphus* eſt *problema illuſorium*, [ſive, *ludicrum*,] *quo iubemur quaerendo invenire mentis cogitatione id quod propoſitum eſt, quod honoris aut multae cauſſâ dicitur.* In tractatu vero de Griphis idem Clearchus ait, »Septem eſſe ſpecies Griphorum. *In Literâ:* quum dicendum eſt nomen, veluti piſcis aut plantae, a certâ literâ, verbi cauſſa ab *α*, incipiens. Similiter quum iubet (is qui griphum proponit) dicere quidpiam cui inſit aut non inſit certa quaedam litera. Tales ſunt quos *aſigmos* vocant griphos: unde & Pindarus in *σ* literam oden fecit, quaſi quodam gripho in lyrico carmine propoſito. *In ſyllabâ* vero dicuntur *griphi*, quum dicere iubemur verſum quempiam, a *βα* ſyllaba, velut a voce *βασιλεὺς*, incipientem: aut in *ναξ*, verbi cauſſâ in Καλλιάναξ, definentem: aut (verſus quosdam) quorum in fronte ſit *leo*, verbi cauſſa nomen *Leonidas*; aut quo-

ἔμπαλιν τελικὸν εἶναι, οἷον Θρασυλέων. Ἐν ὀνόματι δέ, ἐροῦμεν [1] ὀνόματα ἁπλᾶ ἢ σύνθετα δισύλλαβα, οὗ μορφή τις ἐμφαίνεται τραγικὴ, ἢ πάλιν ταπεινή· [2] ἢ ἄθεα ὀνόματα, οἷον Κλεώνυμος, ἢ θεοφόρα, οἷον Διονύσιος. καὶ τοῦτο εἴ τε ἐξ ἑνὸς θεοῦ, ἢ πλεόνων, οἷον Ἑρμαφρόδιτος· ἢ ἀπὸ Διὸς ἄρχεσθαι, Διοκλῆς· ἢ Ἑρμοῦ, Ἑρμόδωρος· ἢ λήγειν, εἰ τύχοι, εἰς νῖκος. [3] Οἱ δὲ μὴ εἰπόντες οἷς προσετάττετο, ἔπινον τὸ ποτήριον." Καὶ ὁ μὲν Κλέαρχος οὕτως ὡρίσατο· τί δὲ ἐστὶ τοῦτο τὸ ποτήριον, καλέ μου Οὐλπιανὲ, ζήτει. e

LXX. Griphi apud Antiphanem.

Περὶ δὲ τῶν γρίφων Ἀντιφάνης μὲν ἐν Κνοιθίδι, [4] ἢ Γάστρωνι φησίν·

Ἐγὼ πρότερον μὲν τοὺς κελεύοντας λέγειν f
γρίφους παρὰ πότον, ὠόμην ληρεῖν σαφῶς,
λέγοντας οὐδέν, ὁπότε τις προστάττεται

1 οἷον εἰ εἴπαμεν ὀνόματα ms. *Ep.* 2 ταπεινὰ ἢ ἄθεα vulgo. 3 Forte hîc excidit nomen Ἐπίνικος. 4 Alibi Κνοισθίδι.

rum in fine, ut *Thrasyleon. In nomine* vero, cum dicimus nomina simplicia aut composita dissyllaba, quibus significetur forma quaedam tragica, sive rursus humilis: aut nomina Deo carentia, verbi caussa *Cleonymus;* aut Deum habentia, ut *Dionysius:* & quidem sive unum tantummodo; sive plures, ut *Hermaphroditus:* aut quae incipiant a Iove, ut *Diocles;* aut a Mercurio, ut *Hermodorus;* aut quae desinant, verbi caussa, in victoriam. [ut *Epinicus.*] Quibus vero tale quid imperabatur, ii si dicere non poterant, propositum poculum ebibebant." Atque ita quidem definiit Clearchus. *Poculum* vero hoc quodnam fuerit, tu, mi praeclare Ulpiane, quaerito.

70. De Griphis vero Antiphanes in Cnoethide [*sive*, Cnoesthide] vel Ventroso ait:

[A.] *Ego antehac scirpos qui inter epulas solvere*
iubent, putabam nugas nugari meras,
& id loqui quod non est. Si quis ordine

εἰπεῖν ἐφεξῆς, ὅ τι φέρων τις μὴ φέρει.
ἐγέλων, νομίζων λῆρον οὐκ ἂν γενόμενον·
οὐδέποτέ γ' οἶμαι [1] πρᾶγμα παντελῶς λέγειν,
a ἐνέδρας δ' ἕνεκα. νυνὶ δὲ τοῦτ' ἔγνωχ' ὅτι
ἀληθὲς ἦν. φέρομεν γὰρ ἄνθρωποι δέκα [2]
ἔρανόν τιν'· οὐ φέρει δὲ τούτων τὴν φορὰν
οὐδὲ εἷς. σαφῶς οὖν, ὅ τι φέρων τις μὴ φέρει,
τοῦτ' ἔστιν· ἦν θ' ὁ γρῖφος ἐνταῦθα ῥέπων.
Καὶ τοῦτο μὲν δὴ κἄστι συγγνώμην ἔχον·
ἀλλ' οἷα [3] λογοποιοῦσιν ἐν τῷ πράγματι
οἱ ταργύριον μὴ κατατιθέντες, ὡς σΦόδρα
b Φίλιππος. ἆρ' ἦν εὐτυχής τις, [4] νὴ Δία.
Ἐν δὲ Ἀφροδισίῳ· [5]
Α. Πότερ', ὅταν [6] μέλλω λέγειν σοι τὴν χύτραν,
χύτραν [7] λέγω;

1 γ' ὔν τι corr. Caſ. γ' ὥμην Grot. 2 Vulgo ἔρανόν τινα, & vs. ſq. ἄνθρωποι δέκ'. 3 ἄλλοι δὲ legit Grot. 4 B. Ἆρ' ἦν εὐστοχός τις corr. Grot. εὑρεῖν εὐτυχής τις Iacobs. 5 Ἀφρεδίσιῳ vulgo. Ἀφροδισίοις corr. Grot. & Kopp. 6 Πότερον ὅταν vulgo. 7 Alterum χύτραν deeſt vulgo.

fari eſſet iuſſus, quid ferat quis, nec ferat,
ridebam, quippe credens eſſe inanias:
nec enim arbitrabar eos quod res eſt dicere,
ſed inſidiari. Sed nunc verum comperi
dictum illud: nam contulimus ad coenam decem
homines, nec quisquam quod collatum eſt contulit.
Hoc ergo illud eſt, quod quis fert, nec fert tamen:
perplexiloquii fuerat haec ſententia.
Verum his profecto aſtus condonabilis:
at alii rebus ipſis innectunt dolos,
pecuniam qui nullam numerant: quod ſolet
Philippus. [B.] *Hominem, pol, ſollertem* [felicem] *praedicas.*

Idem, in Aphrodiſio: [*vel*, Aphrodiſiis:]

A. *Ollam cupiens ſignificare, melius* — *ne* ollam *dixero,*

ἢ τροχοῦ ῥύμαισι τευκτὸν [1] κοιλοσώματον κύτος
πλαστὸν ἐκ γαίης, ἐν ἄλλῃ μητρὸς ὀπτηθὲν στέγῃ,
νεογενοῦς ποίμνης δ' ἐν αὐτῇ πνικτὰ γαλακτο-
θρέμμονα
τακεροχρῶτα δικτυοῦσαν; [2] Β. Ἡράκλεις, ἀποκτε-
νεῖς
ἆρα μ', εἰ μὴ γνωρίμως μοι πάνυ φράσεις, κρεῶν
χύτραν.

Α. Εὖ λέγεις. Ξουθῆς μελίσσης νάμασιν δὲ [3] συμ- c
μιγῆ [4]
μηκάδων αἰγῶν ἀπόῤῥουν θρόμβον, ἐγκαθήμενον
εἰς πλατὺ στέγαστρον ἀγνῆς παρθένου Δηοῦς κόρης
λεπτοσυνθέτοις τρυφῶντα [5] μυρίοις καλύμμασιν;
ἢ σαφῶς πλακοῦντα φράζω σοι; Β. Πλακοῦντα
βούλομαι.

Α. Βρομιάδος δ' ἱδρῶτα πηγῆς; Β. Οἶνον εἰπὲ συν-
τεμών.

1 τροχορυμασίτευκτον edd. 2 δικτύουσαν edd. δικτυῶσαν Koppiers. διαπίττουσαν Villebr. τακεροχρῶτι δηκτύουσαν Ms. 3 νάμασίν τε edd. 4 συμμιγὴς vulgo. 5 λεπτοσυνθέτους τρυφῶντας μυρ. vulgo.

an rotâ figuli fabrefactum concavicorpore vasculum,
factum ex terrâ, verum in aliâ matris percoctum domo;
quod gregis foetus novellos tenerulos lactaltiles
in se claudit irretitos? B. *Aedepol, plane me enecas,*
nisi simpliciter atque aperte dicas, ollam carnium.
A. *Recte ais. Flavae-ne apiculae latici mecantibus*
mixtum de capris fluentum, molliter quod insidet
latis genitae Cerere castae virginis segestribus,
atque innumeris luxuriatur tegumentis subtilibus:
an placentam *vis aperte dici?* B. *Hoc equidem ma-*
velim.
A. *Bacchici sudorem fontis?* B. Vinum *dic compendio.*

A. Λιβάδα νῦν φαιὰν δροσώδη; [1] B. Παραλιπὼν, ὕδωρ φάθι.

d A. Κασιόπνουν δ' αὖραν δι' αἴθρας; B. Σμύρναν εἰπέ. μὴ μακρὰν [2]
μοὶ τοιοῦτον ἄλλο μηδὲν, μηδὲ τοὔμπαλιν λέγων,
ὅτι δοκεῖ τοῦτ' ἔργον εἶναι μεῖζον, ὥς φασίν τινες, [3] 16
αὐτὸ μὲν μηδὲν, παρ' αὐτὸ δ' ἄλλα συστρέφειν πυκνά.

Καὶ Ἀλεξις δ' ἐν Ὑπνῳ τοιούτους γρίφους [4] προβάλλει. LXXI. Alexidis Somnus.

A. Οὐ θνητὸς, οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
σύγκρασιν, ὥστε μήτ' ἐν ἀνθρώπου μέρει,
μήτ' ἐν θεοῦ ζῆν, ἀλλὰ φύεσθαί τ' ἀεὶ
e καινῶς, φθίνειν τε τὴν παρουσίαν πάλιν·
ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν. 5
B. Αἰεὶ σὺ [5] χαίρεις, ὦ γύναι, γ' αἰνίγμασι. [6]

1 Legebatur λιβάδα δὲ φαίαν δρον ὧδὴ παράλιπον. 2 Vulgo εἰπέ μοι μακρὰν, μὴ δὲ τοιοῦτον. 3 Grotius legebat, τοῦτ' ἔργον εἶναι μαρὸν, ὡς φάναι τινάς. 4 τοιοῦτον γρῖφον malebam cum ms. *Ep.* 5 Παίζεις σὺ edd. Παίζουσα corr. Valck. 6 μ' αἰνίγμασι vulg.

A. *Fuscum roridum liquorem?* B. *Mitte vero, & dic* aquam.
A. *Cafiolentem aetherivolantem fumum?* B. Myrrham *dicito:*
nec mihi quidquam circuitu loquere, totque anfractibus.
Nam mihi labor videtur ſtultus, rem non dicere,
interim quae circa rem ſunt multa circumvolvere.

71. Porro etiam Alexis, in fabula Somno, griphum proponit huiusmodi.

A. *Nec immortalis, at nec mortalis tamen;*
ſed temperatus, ut nec vitam coelitum,
nec hominum vivat, ſed renaſcatur recens,
idemque rurſum pereat aeterna vice:
tam notus cunctis, quam conſpicuus nemini.
B. *Tune hic me griphis, mulier, ludificaberis?*

A. Καὶ μὴν ἁπλᾶ γε, καὶ σαφῆ λέγω μαθεῖν.
B. Τίς οὖν τοσαύτην παῖς ἔχων ἔσται φύσιν;
A. Ὕπνος, βροτείων, ὦ κόρη, παυστὴρ πόνων.

Griphi Eubuli comici.

Εὔβουλος δ' ἐν Σφιγγοκαρίωνι [1] τοιούτους γρίφους προβάλλει, αὐτὸς καὶ ἐπιλύων αὐτούς.

A. Ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄῤῥενι θῆλυς, [2]
εἰκείων ἀνέμων ταμίας· δασὺς, ἄλλοτε λεῖος·
ἀξύνετα ξυνετοῖσι [3] λέγων, νόμον ἐκ νόμου ἕλκων· f
ἓν δ' ἐστὶν καὶ πολλά· καὶ, ἂν τρώσῃ τις, ἄτρωτος.
B. Τί ἐστὶ τοῦτο; A. Τί; ἀπορεῖς, Καλλίστρατος;
πρωκτὸς μὲν οὖν οὗτος. B. Σὺ δὴ ληρεῖς ἔχων. 6
A. Οὗτος γὰρ αὐτός ἐστιν ἄγλωττος λάλος,
ἓν ὄνομα πολλοῖς, τρωτὸς ἄτρωτος, δασὺς,
λεῖος. τί βούλει; πνευμάτων πολλῶν φύλαξ.

1 Σφιγγοκαρίωνι h. l. ms. *A.* 2 ἀῤῥενοθῆλυς ed. Caf. 3 ἀξύιετ' ἀξυνέτοισι edd.

A. *Quin ego perſpicua ac liquida ſimpliciter loquor.*
B. *Quis ergo puer eſt tali ingenio praeditus?*
A. *Sopor, o puella, humanas qui aerumnas quiet.*

Eubulus vero in Sphingocarione huiusmodi griphos proponit, & ipſe quoque ſolvit:

A. *Loquitur elinguis; idem nomen mari & foeminae; propriorum ventorum promus; hirſutus nunc; nunc glaber; non intelligenda intelligentibus dicit; modulationem ex modulatione trahit:*
unum eſt & multa: &, ſi quis vulneraverit, invulnerabilis.
B. *Hoc quid eſt?* A. *Quid? dubitas, Calliſtrate? Anus eſt hic ſane.* B. *At tu nugas agis.*
A. *Immo vero eſt ille ſine linguâ loquax;*
unum nomen multis; vulneratus invulnerabilis; hirſutus,
glaber: quid vis amplius? multorum ventorum cuſtos.

a Ἀττελεβόφθαλμος μὲν,[1] πρόστομος, ἀμφικέφαλ-
λος,[2]
αἰχμητὴς παίδων ἀγόνων γόνον ἐξαφανίζων.
(Ἰχνεύμων Αἰγύπτιος.)[3]
Τῶν γὰρ κροκοδείλων οὗτος ὠὰ λαμβάνων,
πρὶν θηριοῦσθαι τὸν γόνον κατάγνυσιν,[4]
ἔπειτ' ἀφανίζει. διότι δὲ ἀμφίστομος,[5]
κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσι δάκνει.
Οἶδ' ἐγὼ ὃς[6] νέος ὢν ἐστὶν βαρὺς, ἂν δὲ γέρων ᾖ,
ἄπτερος ὢν καύφως[7] πέταται, καὶ γῆν ἀφανίζει.
b Πάππος ἀπ' ἀκάνθης· οὗτος γὰρ
νέος μὲν ὢν ἔστηκεν ἐν τῷ σπέρματι·[8]
ὅταν δ' ἀποβάλῃ τοῦτο, πέτεται κοῦφος ὤν,
δήπουθεν ὑπὸ τῶν παιδίων φυσώμενος.

1 μὴ πρόστομος vulgo. 2 ἀμφικνέφαλλος ed. Ven. ἀμφικνέφαλος ed. Baf. & Caf. ἀμφικέφαλος ms. *Ep.* 3 Ἔστι δὲ ἰχνεύμων Αἰγ. ms. *Ep.* 4 καταγνύει corr. vir doctus. 5 Corrigit Grotius: B. Διότι (Διατί malebam) δ' ἔστ' ἀμφίστομος; 6 ὡς νέος edd. cum ms. *A.* 7 κοῦφος ms. *Ep.* κοῦφος legebat Grot. 8 σπέρμαθ' ὅταν δ' ἀποβ. edd.

Oculis locuſtae ſimilibus, roſtro acuto, anceps, bellator perimens non natae ſemina prolis.

Ichneumon Aegyptius.

Namque ille crocodili ova arripiens, antequam ferinam in formam informe ſemen transeat, frangit comeditque. B. *At anceps quare dicitur?* A. *Quandoquidem inferne pungit, labiis mordicat.*

Novi ego qui iuvenis gravis eſt: mox ſerior aevi avolat implumis, terrarum plana relinquens.

Pappus cardui: etenim

Is prima aetate ſedem retinet ſeminis: at hac excuſſa levis huc atque illuc volat, quoquo puerorum velificatur ſpiritus.

Ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνὸς,
εἰς πόδας ἐκ κεφαλῆς τετρημένον, ὀξύ, διάτρις [1]
ἀνθρώπους τίκτον [2] κατὰ τὴν πυγὴν ἕν' ἕκαστον· [3]
ὧν οἱ μὲν μοίρας [4] ἔλαχον βίου, οἱ δὲ πλανῶνται.
αὐτὸ δ' ἕκαστος ἔχων αὐτὸν καλέω δὲ [5] φυλάττειν.
Ταῦτα δ' ὅτι κληρωτικὸν σημαίνει, ὑμεῖς [6] διακρίνατε, ἵνα μὴ πάντα παρὰ τοῦ Εὐβούλου λαμβάνωμεν.

LXXII. Obscuri griphi Antiphanis.

Ἀντιφάνης δ', ἐν τῷ Προβλήματι, φησίν·

Α. Ἰχθύσιν ἀμφίβληστρον ἀνὴρ πολλοῖς ἐπιβάλλων,
οἰηθεὶς, μεγάλῃ δαπάνῃ μίαν εἵλκυσε πέρκην·
καὶ ταύτην ψευσθεὶς ἄλλην κεστρεὺς ἴσον αὐτὴν [7]
ἦγεν. βουλομένη [8] δ' ἕπεται πέρκη μελανούρῳ.

Β. Κεστρεύς, ἀνὴρ, μελάνουρος, οὐκ εἶδ' ὅ τι λέγεις.
οὐδὲν λέγεις γάρ. Α. Ἀλλ' ἐγὼ σαφῶς φράσω.

1 διάτρις vel διατρὲς edd. διάτρητον mss. διαμπὲς dubitanter propofuerat Caſ. 2 τίκτειν vulgo. 3 ἓν ἕκαστον edd. 4 μοῖραν edd. 5 καλέουσι edd. 6 ἡμεῖς edd. 7 Conjectabant, καὶ ταύτης ψευσθέντ' ἄλλην κεστρεὺς ἴσην αὐτῇ. 8 βουλομένῳ edd.

Eſt ſtatua cuius baſis ſuperne, hiantia inferiora,
a capite in pedes perforata, acuta, trifariam
homines pariens per anum unumquemque:
& alii quidem ſortes ſortiuntur vitae, alii errant.
Unusquisque illam habet: ſed iubeo ipſum cavere.

Quo gripho ſignificari vas cui ſortes iniiciuntur, vos ipſi diiudicate: ne omnia ab Eubulo ſumamus.

72. Antiphanes vero in Problemate ait:

A. *Piſcibus homo multis rete ſuum iniecerat,*
& ſpe ſublatus, unam magnâ impenſâ ſuſtulit percam.
In qua fruſtrato mugil aliam illi parem
adduxit: volens enim ſequitur perca melanurum.

B. *Mugil, homo, melanurus: quid dicas neſcio;*
nihil quippe dicis. A. *At ego perſpicue dicam.*

d Ἔστι τις ὃς τὰ μὲν ὄντα διδοὺς, οὐκ οἶδε δεδωκὼς οἷσι δέδωκ', οὐδ' αὐτὸς ἔχων ὧν οὐδὲν ἐδεῖτο. [1]

Β. Διδούς τις οὐκ ἔδωκεν, οὐδ' ἔχων ἔχει; οὐκ οἶδα τούτων οὐδέν. Α. Οὐκοῦν ταῦτα καὶ ὁ γρῖφος ἔλεγεν. ὅσα γὰρ οἶσθ', οὐκ οἶσθα νῦν, οὐδ' ὅσα δέδωκας, οὐδ' ὅσ' ἀντ' αὐτῶν ἔχεις. Τοιοῦτο τοῦτ' ἦν. Β. Τοιγαροῦν κἀγώ τινα εἰπεῖν πρὸς ὑμᾶς βούλομαι γρῖφον. Α. Λέγε.

Β. Πίννη καὶ τρίγλη, φωνὰς ἰχθῦ δύ' [2] ἔχουσαι,
e πόλλ' ἐλάλουν. περὶ ὧν δὲ, πρὸς ὅν τ' ὤοντο λέγειν τι, οὐκ ἐλάλουν· οὐδὲν γὰρ ἐμάνθανεν, ὥς τε πρὸς ὃν μὲν ἦν αὐταῖς ὁ λόγος, [3] πρὸς δ' αὐτὰς πολλὰ λαλούσας αὐτὰς ἀμφοτέρας ἡ Δημήτηρ ἐπιτρέψει. [4]

Ἐν δὲ Σαπφοῖ ὁ Ἀντιφάνης αὐτὴν τὴν ποιήτριαν LXXIII.

1 ὧν αὐτὸς ἔδωκεν coni. Dalec. 2 ἰχθύδι' edd. 3 Intercidiſſe nonnihil videtur: niſi ſuperiori verſu cum Dalec. legas, οὐδεὶς γὰρ ἐμάνθανεν τῶν γε πρὸς οὓς μέν. 4 Forſ. ἐπιτρίψει vel ἐπέτριψε.

Quidam rem ſuam cum dederit, poſtquam dedit, neſcit quibus dederit, ne ipſe quidem habens quae non indigebat. [ſive, *quae ipſe dedit.*]

B. Qui dedit, non dedit; qui non habet, habet? Horum nihil percipio. A. Atqui id ipſum dicebat griphus. Quae enim noſti, non noſti nunc, nec quae dediſti, nec quae pro illis habes. Tale hoc erat. B. Proinde & ego quemdam proponere griphum vobis velim. A. Ede!

B. Pinna & mullus, duo piſces vocem habentes, multa loquebantur. Quibus vero de rebus, & cum quo loqui ſe putabant, non loquebantur: nihil enim percipiebat quisquam eorum quibuscum loquebantur. Igitur ſecum ipſas multa loquentes ambas Ceres perdidit.

73. In fabulâ Sappho vero ipſam poëtriam Antipha-

Aenigma de Epistola.

προβάλλουσαν ποιεῖ γρίφους τόνδε τὸν τρόπαν, ἀπαλυομένου τινὸς οὕτως. ἡ μὲν γὰρ φησίν·

Σ. Ἔστι φύσις θήλεια βρέφη σώζουσ' ὑπὸ κόλποις
αὐτῆς. ταῦτα δ' [1] ἄφωνα βοὴν ἵστησι γεγωνὸν, f
καὶ διὰ πόντιον οἶδμα, καὶ ἠπείρου διὰ πάσης,
οἷς ἐθέλει θνητῶν· τοῖς δ' οὐ παρέουσιν ἀκούειν
ἔξεστι· κωφὴν δ' ἀκοῆς αἴσθησιν ἔχουσιν.

Ταῦτα τὶς ἐπιλυόμενος φησίν·

Β. Ἡ μὲν φύσις γὰρ ἣν λέγεις, ἐστὶ πόλις·
βρέφη δ' ἐν αὐτῇ διατρέφει τοὺς ῥήτορας.
οὗτοι κεκραγότες δὲ τὰ διαπόντια
τἀκ τῆς Ἀσίας καὶ τ' ἀπὸ Θρᾴκης λήμματα
ἕλκουσι δεῦρο. νεμομένων δὲ πλησίον 10 a
αὐτῶν κάθηται, λοιδορουμένων τ' ἀεὶ,
ὁ δῆμος, οὐδὲν οὔτ' ἀκούων, οὔθ' ὁρῶν.

Σ. Πῶς γὰρ γένοιτ' ἂν, ὦ πάτερ, [πρὸς τῶν θεῶν] [2]

1 ἃ τά δ' ms. *A*. 2 Desunt vulgo verba uncis inclusa.

nes inducit griphos proponentem in hunc modum, quos aliquis sic solvit. Nempe illa dixerat:

S. *Foeminea est natura, sinu complexa puellos,*
qui muti claram non cessant edere vocem,
trans sola terrarum, trans salsi gurgitis undas,
ad quoscumque volunt. Datur hos audire remotis:
& tamen haud ullis contingunt pulsibus aures.

Quae soluturus aliquis, haec dicit:

B. *Natura, quam tu dicis, haec est civitas:*
ea oratores nutrit tamquam liberos.
Hi clamitantes, transmarina munera,
Asiaticos quaestus, itemque ex Thracia,
huc attrahunt. Atque illis interea assidet
pascentibus sese, & conviciantibus,
plebs misera, nil aspiciens, nil exaudiens.

S. *At mutus, o pater, qui fieret, [per Deos]*

ῥήτωρ ἄφωνος, ἢν μὴ ἀλῷ τρὶς παρανόμων;
B. Καὶ μὴν ἀκριβῶς ὠόμην,[1] [τέκνον φίλον,]
ἐγνωκέναι τὸ ῥηθέν. ἀλλὰ δὴ λέγε. 16
ἔπειτα ποιεῖ τὴν Σαπφὼ διαλυομένην τὸν γρῖφον οὕτως·
Σ. Θήλεια μὲν οὖν ἐστι φύσις, ἐπιστολή.
βρέφη δ' ἐν αὐτῇ περιφέρει τὰ γράμματα·
b ἄφωνα δ' ὄντα ταῦτα[2] τοῖς πόρρω λαλεῖ,
οἷς βούλεθ'· ἕτερος δ' ἂν τύχῃ τις πλησίον 20
ἐστὼς ἀναγινώσκοντος, οὐκ ἀκούσεται.

LXXIV. Griphi varii.

Δίφιλος δ', ἐν Θησεῖ, τρεῖς ποτε κόρας Σαμίας, φησὶν,[3] Ἀδωνίοισι γριφεύειν παρὰ πότον. προβαλεῖν δ' αὐταῖσι[4] τὸν γρῖφον·[5] „Τί πάντων ἰσχυρότατον;“ καὶ τὰν[6] μὲν εἰπεῖν, ὅτι σίδηρος, καὶ φέρειν τούτου λόγου τὰν ἀπόδειξιν, διότι τούτῳ πάντ'

1 ἄμην vulgo, & deſunt duo verba ſequentia. 2 Deeſt vulgo ταῦτα: ex ingenio adiecit Grotius. 3 φασὶν ms. *A*. 4 αὐταῖς edd. 5 τὴν γρίφον ed. Caſaub. 6 τὴν inter lineas in ms. *A*. & ſic mox iterum. Scribuntur autem haec in editis tamquam verſus, ſed plerique vel laceri vel abundantes vel miſere claudicantes.

orator, niſi ter iniuriarum convictus?
B. *Atqui ſatis curate tenere me equidem*
putabam quid diceretur. Ergo tu expedi.

Dein inducitur Sappho griphum ſolvens in hunc modum:

S. *Natura quam foemineam dixi, epiſtola eſt:*
proles, quam ſecum fert ſinu, ſunt literae;
quae fabulantur quamvis longe abſentibus
quibuslibet: alter vero, quamquam adſtans prope,
illas legentis nullos exaudit ſonos.

74. Diphilus vero, in Theſeo, tres aliquando, ait, puellas Samias feriis Adonidis in compotatione griphis ſolvendis ſeſe oblectaſſe. Quae cum ſibi invicem propoſuiſſent griphum, *Quid eſſet omnium validiſſimum?* unam ex illis dixiſſe, *ferrum;* ſuaeque ſententiae hanc adtuliſſe rationem, *quod huius ope omnia fodiant homines, &*

ὀρύσσουσίν τε [1] καὶ τέμνουσι, καὶ χρῶντ' εἰς ἅπαντα. [2] εὐδοκιμούσας δ' ἐπάγειν [3] τὰν δευτέραν, φάσκειν τε, τὸν χαλκέα πολὺ κρείττω Φέρειν ἰσχύν· ἐπεὶ c τοῦτον κατεργαζόμενον καὶ τὸν σίδηρον τὸν σΦοδρὸν κάμπτειν, μαλάσσειν, χ' ὥ τι [4] ἂν χρήζῃ ποιεῖν. [5] τὰν δὲ τρίταν ἀποΦῆναι πέος ἰσχυρότατον πάντων· διδάσκειν δ', ὅτι καὶ τὸν χαλκέα σθένοντα [6] πυγίζουσι τούτῳ. Ἀχαιὸς δὲ ὁ Ἐρετριεὺς, γλαΦυρὸς ὢν ποιητὴς περὶ [7] τὴν σύνθεσιν, ἔσθ' ὅτε [8] καὶ μελαίνει τὴν Φράσιν, καὶ πολλὰ αἰνιγματωδῶς ἐκΦέρει, ὥσπερ ἐν

Lithargyrea vasa. Ἰριδι Σατυρικῇ. λέγει γάρ· „Λιθάργυρος δ' ὅλπη παρῃωρεῖτο χρίσματος πλεκτὸν Σπαρτιάτην γραπτὸν d κύρβιν ἐν διπλῷ ξύλῳ.“ τὸν γὰρ λευκὸν ἱμάντα βουληθεὶς εἰπεῖν, ἐξ οὗ ἡ ἀργυρᾶ λήκυθος ἐξήρτητο, Σπαρτιάτην γραπτὸν ἔΦη κύρβιν, [9] ἀντὶ τοῦ, Σπαρτιᾶ-

1 ὀλύουσίν τε ed. Ven. & Baſ. ὀλλύουσίν τε ed. Caſ. 2 ἅπαντά γ'. edd. 3 εὐδοκιμοῦσαν δὲ τὰν δευτ. ed. Ven. & Baſ. εὐδοκιμοῦσαν δ' ἐπάγει τὰν δευτ. ed. Caſ. 4 ὅ τι mssti absque χ'. 5 ποεῖν ms. *Ep.* 6 στένοντα vulgo. 7 παρὰ τὴν συνθ. ms. *Ep.* & ad ſequentia refert. 8 ἔσθ' ὅταν edd. 9 Editis deerant novemdecim verba a priore κύρβιν ad poſterius. Sed in praecedentibus vix ſana oratio.

ſecent, denique ad omnia eo utantur. Quae cum plauſum tuliſſet; pergens altera dixit, *fabrum ferrarium multo eſſe validiorem; quoniam is validum adeo ferrum tractans flectat molliatque, & quidquid libuiſſet ex eo conficiat.* Tertia vero adfirmabat, *penem eſſe validiſſimum omnium; nam hoc robuſti fabri anum perforari.* Achaeus vero Eretrienſis, cum luculentus alioquin in ſtructura ſermonis ſit poëta, interdum tamen dictionem ſuam obſcurat, & multa aenigmatice profert. Verbi cauſſâ, in Iride fabulâ Satyricâ; ubi ait: *Lithargyrea ampulla olei ſuſpenſa erat ex Spartano ſcripto κύρβι, qui duplici ligno circumplicatur.* Cum enim *album lorum* vellet dicere, e quo ſuſpenſa eſſet argentea ampulla; *Spartanum ſcriptum κύρβιν* dixit, pro *Spar-*

τιν [1] σκυτάλην. ὅτι δὲ λευκῷ ἱμάντι περιειλοῦντες τὴν σκυτάλην οἱ Λάκωνες ἔγραφον ἃ ἠβούλοντο, εἴρηκεν ἱκανῶς Ἀπολλώνιος ὁ Ῥόδιος ἐν τῷ περὶ Ἀρχιλόχου. καὶ Στησίχορος δ', ἐν Ἑλένῃ, λιθαργύρεον ποδονιπτῆρα ἔφη. Ἴων δὲ, ἐν Φοίνικι ἢ Καινεῖ, δρυὸς ἱδρῶτα εἴρηκε τὸν ἰξὸν, ἐν τούτοις·

— [Μὲ] δρυὸς μὲν ἱδρὼς,
καὶ θαμνομήκης ῥάβδος, ἥ τ' Αἰγυπτίη
e βόσκει λίνουλκος χλαῖνα θήραγρος πέδη.

Θεοδέκτην δὲ τὸν Φασηλίτην, φησὶν Ἑρμιππος ἐν τοῖς περὶ τῶν Ἰσοκράτους Μαθητῶν, ἱκανώτατον γεγονέναι ἀνευρεῖν τὸν προβληθέντα γρῖφον, καὶ αὐτὸν προβαλεῖν ἑτέροις ἐπιδεξίως. εἶον τὸν περὶ τῆς σκιᾶς. ἔφη γὰρ, εἶναί τινα φύσιν ἡ περὶ τὴν γένεσιν καὶ φθίσιν ἐστὶ μεγίστη, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. λέγει δ' οὕτως·

LXXV. *Umbra:* griphus.

1 σπαρτιάτην edd.

tana ſcytala. Albo autem loro, quod ſcytalae circumplicabatur, inſcripſiſſe Spartanos quae vellent, abunde docuit Apollonius Rhodius, in libro DE Archilocho. Steſichorus vero, in Helenâ, *lithargyreum* etiam *pelluvium* dixit. Ion vero, in Phoenice ſive Caeneo, viſcum *quercus* dixit *ſudorem;* ubi ait:

— Me quidem ſudor quercuum,
& longa virga nutrit, & Aegyptia
e lino texta penula, capiendis feris pedica.

75. Theodectem Phaſelitam, ait Hermippus in libris DE Iſocratis diſcipulis, ad inveniendam ſolutionem propoſitorum griphorum fuiſſe ſolertiſſimum; atque ipſum etiam aliis griphos ingenioſe propoſuiſſe: velut illum de *umbra.* Dicebat enim, eſſe naturam quamdam, quae circa ortum ſuum interitumque ſit maxima; tempore vero ſummi vigoris, minima. Verba illius haec ſunt:

Τῆς φύσεως [1] ὅσα γαῖα φέρει τροφὸς, οὐδ' ὅσα πόντος,
οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν. f
ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη,
ἐν δὲ μέσαις ἀκμαῖς μικρὰ, γήρᾳ δὲ πρὸς αὐτῷ
μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

Nox & dies. Καὶν τῷ Οἰδίποδι δὲ τῇ τραγῳδίᾳ τὴν νύκτα καὶ τὴν ἡμέραν εἰρηκεν αἰνιττόμενος·

Εἰσὶ κασίγνηται διτταὶ, ὧν ἡ μία τίκτει
τὴν ἑτέραν, αὐτὴ δὲ τεκοῦσ' ὑπὸ τῆσδε τεκνοῦται. [2] a

Fames consecrata in templo Apollinis. Τοιοῦτόν τι καὶ Καλλισθένης ἐν ταῖς Ἑλληνικαῖς [3] φησιν, ὡς „Ἀρκάδων πολιορκούντων Κρῶμνον [4] (πολίχνιον δ' ἐστὶν ἱδρυμένον πλησίον Μεγάλης πόλεως) Ἱππόδαμος [5] ὁ Λάκων, εἷς ὢν τῶν πολιορκουμένων, διεκελεύετο τῷ παρὰ Λακεδαιμονίων πρὸς αὐτοὺς

1 οὔθ' inserit ms. *A*. 2 In editis scribitur τεκοῦσα πάλιν γ' ὑπὸ ταύτης Τεκνοῦται. 3 Immo ἐν τοῖς Ἑλληνικοῖς. 4 Κράμναν malles. 5 Ἱππόδαμας forsan.

In rerum natura, quotquot terra nutrix fert, quotquot mare, atque adeo nec inter homines aliquid est, quod membrorum habeat incrementum simile huic. Ortus namque principio maxima ea res est; medio vigore parva; senectute autem in ipsa, magnitudine ac specie maxima rursus.

Idem, in Oedipode tragoediâ, *diem & noctem* talis aenigmatis involucro significavit:

Sorores geminae, gignit quarum altera semper alteram, & inde parens fit filia nata vicissim.

Callisthenes, in Historiis Graecis, narrat: »Arcadibus Cromnum (*sive* Cromnam) obsidentibus, quod est oppidulum haud procul Megalopoli situm, Hippodamum (*sive* Hippodamantem) Lacedaemonium, unum ex his qui in oppido inclusi erant, praeconi qui ad illos a

ἥκοντι κήρυκι, δηλῶν ἐν αἰνιγμῷ τὴν περὶ αὐτοὺς κατάστασιν· „ἀπαγγελεῖν τῇ μητρὶ, λύεσθαι τὸ γύναιον δέχ' ἡμερῶν τὸ ἐν Ἀπολλωνίῳ δεδεμένον· ὡς οὐκ
b ἔτι λύσιμον ἐσόμενον, ἐὰν αὐτὰς [1] παρέλθωσι.“ καὶ διὰ ταύτης τῆς γνώμης ἐμήνυε σαφῶς τὸ μήνυμα. αὕτη γάρ ἐστιν ἐν τῷ Ἀπολλωνίῳ παρὰ τὸν τοῦ Ἀπόλλωνος θρόνον διὰ γραφῆς ἀπομεμιμημένος Λιμὸς, ἔχων γυναικὸς μορφήν. φανερὸν οὖν ἐγένετο πᾶσιν, ὅτι δέκα ἡμέρας ἔτι καρτερῆσαι δύνανται οἱ πολιορκούμενοι διὰ τὸν λιμόν. συνέντες οὖν οἱ Λάκωνες τὸ λεχθὲν, ἐβοήθησαν κατὰ τάχος [2] τοῖς ἐν τῇ Κρώμνῃ.“

LXXVI. *Cucurbitula*, griphus.

Πολλοὶ δὲ γρίφων καὶ τοιοῦτοί τινές εἰσιν, οἷον· Ἄνδρ' εἶδον πυρὶ χαλκὸν [3] ἐπ' ἀνέρι κολλήσαντα
c οὕτω συγκόλλως, ὥστε σύναιμα ποιεῖν.

τοῦτο δὲ σημαίνει σικύας προσβολήν. Καὶ τὸ Πανάρ-

1 ἐάν τι παρελθ. edd. 2 κατὰ κράτος edd. cum ms. *A*. 3 πυρίχαλκον vulgo unâ voce.

Lacedaemoniis venerat ſtatum in quo eſſent res oppidi aenigmate ſignificantem mandaſſe, nunciaret matri, ut *ſolveret intra decem dies mulierculam in Apollinis templo vinctam: nec enim amplius fieri poſſe ut ſolvatur, ſi illos praetermiſiſſent.* Quo dicto perſpicue declaravit id quod illis nunciari voluerat. Eſt enim muliercula illa *Fames*, cuius imago in Apollinis templo muliebri formâ picta iuxta Dei ſolium ſuſpenſa erat. Quare perſpicuum erat omnibus, per decem dies adhuc famem tolerare poſſe oppidanos. Quod quum Spartani intellexiſſent, auxilium ferre Cromniis feſtinarunt.«

76. Sunt vero multi etiam griphi ſimiles illi:

Virum vidi igne aes viro adglutinantem
ita tenaciter, ut fierent conſanguinei.

Quo ſignificatur admota *cucurbitula*. Tale etiam illud

κευς δέ ἐστι τοιοῦτον, ὡς φησι Κλέαρχος ἐν τῷ Περὶ
Eunuchus & veſpertilio. Γρίφων, ὅτι „βάλοι ξύλῳ τε καὶ οὐ ξύλῳ καθημένην
ὄρνιθα καὶ οὐκ ὄρνιθα ἀνήρ τε καὶ οὐκ ἀνὴρ λίθῳ τε [1]
καὶ οὐ λίθῳ.“ Τούτων γάρ ἐστι τὸ μὲν νάρθηξ, τὸ δὲ
νυκτερὶς, τὸ δὲ εὐνοῦχος, τὸ δὲ κίσσηρις. καὶ Πλάτων
δ' ἐν πέμπτῳ Νόμων [2] μνημονεύει· „τοὺς τῶν τεχνυ-
δρίων φιλοσόφους τοῖς ἐν ταῖς ἑστιάσεσιν, ἔφη, ἐπαμ-
φοτερίζουσιν ἐοικέναι, καὶ τῷ τῶν παίδων αἰνίγματι d
τῷ περὶ τοῦ εὐνούχου τῆς βολῆς, περὶ τῆς νυκτερίδος,
ᾧ [3] καὶ ἀφ' οὗ [4] αὐτὸν αὐτὴν αἰνίττονται βαλεῖν.“

LXXVII.

Καὶ τὰ Πυθαγόρου δὲ αἰνίγματα τοιαῦτά ἐστιν,
Pythagorae aenigmata. ὡς φησι Δημήτριος ὁ Βυζάντιος, ἐν τετάρτῳ Περὶ Ποιη-
τῶν. „Καρδίαν μὴ ἐσθίειν·“ ἀντὶ τοῦ, ἀλυπίαν ἀσ-
κεῖν. „Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν·“ ἀντὶ τοῦ, τεθυ-
μωμένον ἄνδρα μὴ ἐριδαίνειν. πῦρ γὰρ, ὁ θυμός· ἡ δὲ

1 Deeſt τε edd. 2 Immo Πολιτείας. Dein vero μνημονεύων malles. 3 ὡς apud Plat. 4 ἐφ' οὗ apud Plat. Forſan iungi utrumque debebat.

Panarcis eſt, ut ait Clearchus in libro de Griphis, nempe: *Feriit ligno nec ligno inſidentem avem nec avem vir nec vir lapide nec lapide.* Nam horum unum eſt ferula, alterum veſpertilio, tertium eunuchus, quartum pumex. Cuius griphi etiam Plato meminit quinto libro Legum, [*immo*, quinto de Republica] ubi ait, *philoſophos qui in minutis artibus verſantur, ſimiles eſſe eis qui in lautis conviviis quid potiſſimum ſequantur ambigunt, & illi puerorum aenigmati de iactu eunuchi, & de veſpertilione, quo etiam ſignificant quo inſtrumento, & ubi ſedentem illum ille ferierit.*

77. Talia ſunt etiam *Pythagorae aenigmata*, ut ait Demetrius Byzantius, quarto libro de Poëtis. *Cor non comedendum:* id eſt, animum curis non excruciandum. *Ignem gladio non fodiendum:* id eſt, iratum hominem non eſſe laceſſendum: ira enim, ignis eſt; rixa vero, gla-

ἔρις, μάχαιρα. „ Ζυγὸν μὴ ὑπερβαίνειν·“ ἀντὶ τοῦ, πᾶσαν πλεονεξίαν φεύγειν καὶ στυγεῖν, ζητεῖν δὲ τὸ
e ἴσον. „ Λεωφόρους ὁδοὺς μὴ στείχειν·“ ἀντὶ τοῦ, γνώμῃ πολλῶν [1] μὴ ἀκολουθεῖν· εἰκῇ γὰρ ἕκαστος ὅ τι ἂν δόξῃ ἀποκρίνεται. τὴν δ' εὐθεῖαν ἄγειν, ἡγεμόνι χρώμενον τῷ νῷ. „ Μὴ καθῆσθαι ἐπὶ χοίνικα·“ ἀντὶ τοῦ, μὴ σκοπεῖν τὰ ἐφ' ἡμέραν, ἀλλὰ τὴν ἐπιοῦσαν ἀεὶ προσδέχεσθαι. * * [2] ὅρια γὰρ καὶ πέρας ζωῆς ὁ θάνατος· τοῦτο [3] οὖν οὐκ ἐᾷ μετὰ λύπης καὶ φροντίδος προσίεσθαι.

LXXVIII. Varii griphorum auctores.

Τῷ δὲ Θεοδέκτει παραπλησίως ἔπαιζε [4] γρίφους
f καὶ Δρομέας ὁ Κῶος, ὥς φησι Κλέαρχος· καὶ Ἀριστώνυμος ὁ ψιλοκιθαριστής· ἔτι τε Κλεών, ὁ Μίμαυλος ἐπικαλούμενος, ὅσπερ καὶ τῶν Ἰταλικῶν μίμων

1 τῶν πολλῶν malebam. 2 Intercidit aenigma: Μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας: cum priori parte interpretationis. 3 Forſ. τοῦτον. 4 ἔπαιξε ed. Caſ. 2. & 3.

dius. *Trutinam non transgrediendam:* id eſt, fugiendum averſandumque omne cupiditatis & fraudis genus, colendamque aequitatem. *Publicâ viâ non incedendum:* id eſt, ſententiam multitudinis non ſequendam: temere enim quidquid cuique viſum eſt, id vel probat quisque vel improbat: ſed rectâ viâ incedendum, duce ratione. *Non ſedendum ſuper modio:* id eſt, non hodiernum ſolum diem ſpectandum, ſed & proſpiciendum craſtinum. [*Non revertendum poſtquam ad terminum pervenerimus:* id eſt, adventum mortis aequo animo ferendum;] nam vitae finis atque terminus mors eſt: hanc igitur nos vetat cum triſtitia & anxietate admittere.

78. Quemadmodum Theodectes, ſimiliter etiam griphis ludere Dromeas Cous ſolebat, ut ait Clearchus: item Ariſtonymus, qui pulſandâ nudâ citharâ nullo adhibito cantu excelluit: itemque Cleo is qui Mimaulus cognominatus eſt, Italicorum mimorum ſolertiſſimus hi-

ἄριστος γέγονεν αὐτοπρόσωπος ὑποκριτής. καὶ γὰρ Νυμφοδώρου περιῆν ἐν τῷ μνημονευομένῳ μίμῳ. τούτου δὲ καὶ Ἰσχόμαχος ὁ κῆρυξ ἐγένετο ζηλωτής, ὃς ἐν τοῖς κύκλοις ἐποιεῖτο τὰς μιμήσεις· ὡς δ' εὐδοκίμει, μεταβὰς ἐν τοῖς θαύμασιν ὑπεκρίνετο μίμους. Τοιοῦτοι δ' ἦσαν, οὓς ἐποίουν γρίφους. οἷον· Ἀγροίκου τινὸς a ὑπερπλησθέντος καὶ κακῶς ἔχοντος, ὡς ἠρώτα αὐτὸν ὁ ἰατρὸς, μὴ εἰς ἔμετον ἐθείπνησεν; οὐκ ἔγωγε, εἰπεῖν, ἀλλ' εἰς τὴν κοιλίαν. Καὶ πτωχῆς τινος τὴν γαστέρα πονούσης, ἐπεὶ ὁ ἰατρὸς ἐπυνθάνετο, μὴ ἐν γαστρὶ ἔχει; [1] πῶς γε; εἰπεῖν, τριταία μὴ βεβρωκυῖα; Τὰ τοῦ Ἀριστωνύμου δ' ἦν εὐπαρύφων λόγων [πλήρη.] [2] καὶ ὁ [3] Σωσιφάνης ὁ ποιητὴς εἰς Κηφισοκλέα τὸν ὑποκριτὴν εἶπεν, λοιδορῶν αὐτὸν ὡς εὐρύστομον· [4] „ἐνέβαλον γὰρ ἄν σου, φησὶν, εἰς τὰ ἰσχία λίθον, εἰ μὴ

1 ἔχῃ edd. Recte ἔχει mssti. 2 Vulgo τῶν ἀριστανύμων δ' ἦν εὐπ. λόγ. & *ignorant vocem* πλήρη. 3 Deest artic. edd. 4 εὐρύπρωκτον corrigunt viri docti. ὡς εἰς εὐρύστομον ms. *A.*

strio non personatus: nam & in praedicto mimo Nymphodorum quoque superavit. Huius vero aemulator Ischomachus praeco fuit, qui primum in hominum circulis mimos agere consueverat, & inde postquam inclaruit, in publico praestigiatorum theatro eamdem exercuit artem. Erant autem griphi ab his propositi huiusmodi. Verbi caussa: Rusticum quemdam, e nimio cibo male se habentem, interrogatum a medico, *an in vomitum coenasset!* respondisse, *minime vero, sed in ventrem.* Et pauperem quamdam mulierem, dolore ventris laborantem, sciscitante medico, *numquid in ventre haberet?* (i. e. *num gravida esset?*) respondisse: *quo vero pacto possem, quae tribus abhinc diebus cibum nullum ceperim?* Sunt autem Aristonymi dicta plena praetextatorum verborum. Item Sosiphanes poëta, Cephisocli histrioni illudens quod muliebria pateretur, dixit: *lapidem in lumbos tuos coniicerem,*

b καταῤῥαίνειν ἔμελλον τοὺς περιεστηκότας." Ἀρχαιότατος δ' ἐστὶ λογικὸς γρῖφος, καὶ τῆς τοῦ γριφεύειν φύσεως οἰκειότατος· „Τί πάντες οὐκ ἐπιστάμενοι διδάσκομεν;" καὶ „τί ταυτὸν οὐδαμοῦ καὶ πανταχοῦ;" καὶ πρὸς τούτοις „τί ταυτὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ ἐν θαλάττῃ;" Τοῦτο δ' ἐστὶν ὁμωνυμία· καὶ γὰρ ἄρκτος καὶ ὄφις καὶ ἀετὸς καὶ κύων ἐστὶν ἐν οὐρανῷ καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ. [1] τὸ δὲ, [2] χρόνον σημαίνει· ἅμα γὰρ παρὰ πᾶσιν ὁ αὐτὸς καὶ οὐδα-
c μοῦ, διὰ τὸ μὴ ἐν ἑνὶ τόπῳ τὴν φύσιν ἔχειν. τὸ δὲ προάγον, ἐστὶ ψυχὰς ἔχειν· τοῦτο γὰρ οὐθεὶς ἡμῶν ἐπιστάμενος διδάσκει τὸν πλησίον.

LXXIX. Callias drama, Ars grammatica.

Ὁ δὲ Ἀθηναῖος Καλλίας, (ἐζητοῦμεν γὰρ ἔτι πρότερον περὶ αὐτοῦ) μικρὸν ἔμπροσθεν γενόμενος τοῖς χρόνοις ΣτρατTιδος, ἐποίησε τὴν καλουμένην Γραμματικὴν Θεωρίαν, οὕτω διατάξας. Πρόλογος μὲν αὐτῆς

1 θαλάσσῃ h. l. ms. *A.* 2 τὸ δὲ οὐδαμοῦ καὶ πανταχοῦ ed. Cas.

ni vererer ne aſpergerem circumſtantes. Vetuſtiſſimus vero eſt logicus (*ſive*, rationalis) griphus, & rationi griphos proponendi maxime adcommodatus: *Quid cuncti neſcientes docemus alios?* &, *Quid idem nusquam & ubique?* praeterea, *Quid idem & in coelo & in terrâ & in mari?* Hoc vero in ambiguitate poſitum eſt: nam *urſa* & *ſerpens* & *aquila* & *canis*, & in coelo ſunt & in terrâ & in mari. Illud vero ſignificat *tempus:* nam ſimul idem eſt apud omnes, & nusquam; quandoquidem ſuâ naturâ non in uno loco exiſtat. Primum autem illud, eſt *animas* (ſive, *halitus*) *habere:* hoc enim cum nemo ſciat, docet adſtantem.

79. *Callias* vero Athenienſis, de quo etiam ante quaerebamus, qui aetate Strattidem paullo anteceſſit, drama compoſuit, quod *Ars Grammatica* (vel, *Artis Grammaticae praecepta*) inſcribitur, tali modo digeſtum. Pro-

ἐστιν ἐκ τῶν στοιχείων, ὃν χρὴ λέγειν ἐκ τῶν στοιχείων [1] διαιροῦντα κατὰ τὰς παραγραφὰς, [2] καὶ τὴν τελευτὴν καταστροφικῶς ποιουμένους [3] εἰς „τ' ἄλφα βῆτα γάμμα δέλτα ῆτα θῆτα· θεοῦ γὰρ ἔι γε· ἰῶτα κάππα λάμβδα [4] μῦ νῦ ξῦ τὸ οὖ πῖ [5] ῥῶ σῖγμα ταῦ ῡ παρὸν [6] φῖ χῖ τε τῷ ψῖ εἰς τὸ ὦ." Ὁ χορὸς δὲ γυναικῶν ἐκ τῶν σὺν δύο πεποιημένος αὐτῷ ἐστιν ἔμμετρος ἅμα καὶ μεμελοπεποιημένος, τόνδε τὸν τρόπον· „Βῆτα ἄλφα βα, βῆτα ἔι [7] βε, βῆτα ῆ βη, βῆτα ἰῶτα βι, βῆτα οὖ [8] βο, βῆτα ῡ βυ, βῆτα ὦ βω." καὶ πάλιν ἐν ἀντιστρόφῳ τοῦ μέλους καὶ τοῦ μέτρου· „Γάμμα ἄλφα, γάμμα ἔι, [9] γάμμα ῆ, γάμμα ἰῶτα, γάμμα ὄ, γάμμα ῡ, γάμμα ὦ." καὶ ἐπὶ τῶν λοιπῶν συλλαβῶν ὁμοίως ἑκάστων, [10] τό e

1 Nescio an temere repetita tria verba. 2 κατὰ τὰς πάσας γραφὰς vulgo h. l. Sed recte paulo inferius. 3 Forſ. ποιούμενος. 4 λάβδα ms. *A*. 5 πεῖ ms. *A*. Idemque deinde φεῖ & χεῖ. 6 παρὸν deeſt edd. 7 βῆτα ε̄ edd. 8 βῆτα ο̄ edd. 9 γάμμα ε̄ edd. 10 ἕκαστος edd. ἑκαστον ms. *A*.

logus conſtat ex ſcripturae elementis: quem oportet ita legere, ut (pro ſingulis elementis) distinguamus orationem ſecundum notas quibus quaeque diſtinctio indicatur. Tum in fine rurſus fit converſio in »*Alpha beeta gamma delta eeta theeta: Deo enim ſacra ei: iota cappa lambda my ny xy elementum ou pi rho ſigma tau y proximum literae phi & chi* (*proximum*) *tō pſi usque tò ō.*« Tum chorus mulierum, ex duobus elementis ſimul ſumtis compoſitus, carmine & cantu comprehenditur in hunc modum: »*Beeta alpha ba, beeta ei be, beta ee bee,* (nempe, *beeta n βη*) *beeta iota bi, beeta ou bo, beeta y by, beeta ō βō:* (id eſt, *beeta oo boo.*)« Rurſusque in antiſtropha cantilenae & carminis: »*Gamma alpha, gamma ei, gamma ee, gamma iota, gamma o, gamma y, gamma oo.*« Et ſimiliter in reliquis quibusque ſyllabis, carmen & can-

τε μέτρον καὶ τὸ μέλος ἐν ἀντιστρόφοις ἔχουσι πᾶσαι ταυτόν. ὥστε τὸν Εὐριπίδην μὴ μόνον ὑπονοεῖσθαι τὴν Μήδειαν ἐντεῦθεν πεποιηκέναι πᾶσαν, ἀλλὰ καὶ τὸ μέλος αὐτὸ μετενηνοχότα φανερὸν εἶναι. τὸν δὲ Σοφοκλέα διελεῖν φασιν ἀποτολμῆσαι τὸ ποίημα τῷ μέτρῳ, τοῦτ' ἀκούσαντα, καὶ ποιῆσαι ἐν τῷ Οἰδίποδι οὕτως· „Ἐγὼ οὔτ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ ταῦτ' ἐλεγχθείς." διόπερ οἱ λοιποὶ τὰς ἀντιστρόφους ἀπὸ τούτου παρεδέχοντο πάντες, ὡς ἔοικεν, εἰς τὰς τραγῳ-
f δίας. Καὶ μετὰ τὸν χορὸν εἰσάγει [1] πάλιν ἐκ τῶν φωνηέντων ῥῆσιν, οὕτως· (ἣν δεῖ κατὰ τὰς παραγραφὰς ὁμοίως τοῖς πρόσθεν λέγοντα διαιρεῖν, ἵνα ἡ τοῦ ποιήσαντος ὑπόκρισις σώζηται κατὰ τὴν δύναμιν·)

ΑΛΦΑ μόνον, ὦ γυναῖκες. ΕΙ τε δεύτερον
μόνον λέγειν χρή. καὶ τρίτον μόνον γ' ἐρεῖς

1 εἰσάγειν vulgo.

tum ſingulae in antiſtrophis eumdem habent. Quare Euripidem non modo ſuſpicantur hinc Medeam compoſuiſſe univerſam; ſed & manifeſtum eſt, ipſum cantum transtuliſſe. Sophoclem vero aiunt, poſtquam iſtud audiviſſet, etiam carmen dividere conatum eſſe reſpectu metri, & in Oedipode ſic feciſſe:

Ἐγὼ οὔτ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ ταῦτ' ἐλεγχθείς.
Ego nec me nec te dolore adficiam convictus.

Quapropter reliqui omnes ab hoc, ut videtur, antiſtrophas in tragoedias receperunt. Deinde poſt chorum rurſus inducit (Callias) *vocalium* ſermonem; quem, ſicut de ſuperioribus diximus, pronunciare ita oportet, ut ſecundum notas adpoſitas diſtinguatur oratio, quo ſervetur quoad fieri poſſit pronunciatio quam voluerat poëta; in hunc modum:

Alpha ſolum, o mulieres; & ει alterum ſolum dicere oportet: tum tertium dices ſolum

ΗΤ'. ἆρα [1] φήσω σοι [2] τὸ τέταρτόν τ' αὖ μόνον,
ΙΩΤΑ; πέμπτον ΟΥ' τό Θ' ἕκτον Υ μόνον
λέγε. λοίσθιον δὲ [μόνον ἀπο]φανῶ σοι [3] τὸ Ω
τῶν ἑπτὰ Φωνῶν· ἑπτὰ δ' ἐν μέτροις μόνον.
καὶ τοῦτο λέξας', εἶτα δὴ σαυτῇ λάλει. [4] a

LXXX. Literarum descriptiones.

Δεδήλωκε δὲ καὶ διὰ τῶν ἰαμβείων γράμμα πρῶτος οὗτος, ἀκολαστότερον μὲν κατὰ τὴν διάνοιαν, πεφρασμένον δὲ τὸν τρόπον τοῦτον·

Κύω γὰρ, ὦ γυναῖκες. ἀλλ' αἰδοῖ, φίλαι, [5]
ἐν γράμμασι σῴζων τοὔνομ' ἐξερῶ βρέφους.
Ὀρθὴ μακρὰ γράμμή 'στιν' [6] ἐκ ταύτης [7] μέσης
μικραὶ παρεστῶσ' ἑκατέρωθεν ὑπτίαι.
ἔπειτα κύκλος, πόδας ἔχων βραχεῖς δύο.
Ὄπισθεν ὕστερον, ὡς ὑπονοήσειέ τις, Μαιάνδριος μὲν ὁ συγγραφεὺς, μικρὸν διὰ τῆς ἑρμηνείας τῇ μιμήσει b

1 εἶτ' ἆρα edd. 2 Deeſt σοι vulgo. 3 δὲ φανῶ σοι vulgo & deeſt μόνον. δέ σοι μόνον φανῶ corrigebat Tyrwh. 4 δὶς αὐτὴ λαλεῖ edd. 5 φίλη edd. φίλαι ms. *A.* in contextu, & ſuperſcr. η. 6 γράμμ' ἐστὶν edd. 7 ἐκ δὲ ταύτης mssti.

e e t a. Num & quartum rurſus tibi ſolum dicam,
iota? quintum o u; & ſextum y ſolum
dic. Poſtremam ſolam tibi dicam oo
ſeptem vocalium; ſeptem quidem in verſibus tantum.
Hoc poſtquam dixeris, deinde tecum videlicet meditare.

80. Idem Callias primus elementorum ſcripturae ductus iambicis verſibus depinxit, procaciore quidem ſententiâ, caeterum hoc modo deſcriptos:

Gravida ſum, o mulieres: ſed prae pudore, amicae,
ſingulis literarum elementis nomen foetus vobis edicam.
Linea erecta longa eſt; cui in medio
parva utrimque reclinata adiacet.
Deinde circulus, pedes habens breves duo.

Cuius exemplum poſtea, ut ſuſpicetur aliquis, imitatus *Maeandrius*, profaicus ſcriptor, ſed nonnihil diver-

παρεγκλίνας, συνέγραψεν ἐν τῷ Παραγγέλματι Φορτικώτερον τοῦ ῥηθέντος. Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ἔοικε ποιῆσαι ῥῆσιν. Βοτὴρ δ' ἐστὶν ἀγράμματος αὐτόθι [1] δηλῶν τοὔνομα τοῦ Θησέως ἐπιγεγραμμένον οὕτως·

Nomen Theſei verſibus deſcriptum.

Ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,
μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.
Κύκλος τις, [2] ὡς τόρνοισιν ἐκμετρούμενος·
οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές. Θ
c τὸ δεύτερον δὲ, πρῶτα μὲν γραμμαὶ δύο,
ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία. Η
τρίτον δὲ βόστρυχός τις, ὡς εἰλιγμένος. [3] Σ
τὸ δ' αὖ τέταρτον, ἦν μὲν εἰς ὀρθὸν μία,
λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι Ε
εἰσίν. τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ Φράσαι·

1 αὐτῷ τι ed. Ven. & Baſ. cum Msto. 2 τίς ἐστιν ms. *Ep.* 3 εἰλιγμένος ms. *A.*

ſa in enunciando ratione uſus, ſcripſit ea quae apud ipſum in Mandato (*ſive*, in Praecepto) leguntur, craſſiore quidem ſtylo expreſſa quam a praedicto (Callia) factum. *Euripides* vero in Theſeo (eiusdem exemplum ſecutus) videtur verſus illos, quibus deſcribuntur ſcripturae elementa, compoſuiſſe. Eſt autem paſtor quidam illiteratus, qui declarat ibi inſcriptum *Theſei* nomen hoc modo:

Mihi literarum nulla notitia obtigit;
certis figuras ſed notis ediſſeram.
Velut arte torni ductus, aequali ambitu,
in parte mediâ circulus ſignum gerit.
Loco ſecundo lineae apparent duae,
quas limite una media diſpeſcit ſuo.
Criſpi capilli tertium effigiem gerit.
At quarta regio lineam rectam tenet,
quae tres ab una parte transverſas habet.
Sed quinta non eſt facilis explicitu nota:

γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο,
αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν. Υ
τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές. Σ

Τὸ δ' αὐτὸ πεποίηκε καὶ Ἀγαθων ὁ τραγῳδιοποιὸς ἐν d
τῷ Τηλέφῳ. ἀγράμματος γάρ τις καὶνταῦθα δηλοῖ
τὴν τοῦ Θησέως ἐπιγραφὴν οὕτως·

Γραφῆς ὁ πρῶτος ἦν μεσόμφαλος κύκλος·
ὀρθοί τε κανόνες ἐζυγωμένοι δύο,
Σκυθικῷ τε τόξῳ τὸ [1] τρίτον ἦν προσεμφερές.
ἔπειτα τριόδους πλάγιος ἦν προσκείμενος· [2]
ἐφ' ἑνὸς τε κανόνος ἦσαν ἐζυγωμένοι δύο.
ὅπερ δὲ [3] τρίτον ἦν καὶ τελευταῖον πάλιν.

Καὶ Θεοδέκτης δ' ὁ Φασηλίτης ἀγροικόν τινα ἀγράμ- e
ματον παράγει, καὶ τοῦτον τὸ τοῦ Θησέως ὄνομα δια-
σημαίνοντα·

Γραφῆς [4] ὁ πρῶτος ἦν μαλακόφθαλμος [5] κύκλος. [6]

1 Deeſt τὸ vulgo. 2 πλάγιον ἦν προκείμενος edd. 3 ὅπερ δὲ τὸ τρίταν mssti. 4 Perperam Γραμμῆς ms. *Ep.* 5 καλόφθαλμος corr. Scal. μελανόφθαλμος, *nigrocellus*, Grot. μεσόμφαλος Valck. 6 κύ-

quae namque ſuperam lineae findunt duae
coëunt, ut una reſtet in parte inferâ.
Quae claudit agmen, tertiâ diſtat nihil.

Idem fecit & *Agathon*, tragicus poëta, in Telepho: apud quem illiteratus quidam inſcriptionem *Theſei* ſic deſcribit:

Scripturae primordium, umbilicatus in medio circulus:
deinde erectae lineae duae coniugatae invicem.
Arcui Scythico ſimile elementum tertium:
poſt hoc, tridens in obliquum reiectus:
tum uni rectae ſuperne iunctae duae.
Ultimum vero ſimile fuit tertio.

Item *Theodectes* Phaſelita ruſticum quemdam illiteratum inducit, qui ſimiliter *Theſei* nomen deſignat:

Scripturae initium ſuaviocellus circulus,

ἔπειτα δισσοὶ [1] κανόνες ἰσόμετροι πάνυ,
τούτους δὲ πλάγιος διὰ μέσου [2] συνδεῖ κανών,
τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές. [3]
ἔπειτα τριόδους πλάγιος ὡς [4] ἐφαίνετο,
πέμπται [5] δ', ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο,
αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν.
ἕκτον δ', ὅπερ καὶ πρόσθεν εἶφ', ὁ βόστρυχος. [6]

Καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ Σατυρικῷ, τὰ γράμματα παράγων ὀρχούμενον.

LXXXI. Thrasimachus Sophista.

Νεοπτόλεμος δ' ὁ Παριανὸς, ἐν τῷ Περὶ Ἐπιγραμμάτων, ἐν Χαλκηδόνι φησὶν ἐπὶ τοῦ Θρασυμάχου τοῦ σοφιστοῦ μνήματος ἐπιγεγράφθαι τόδε τὸ ἐπίγραμμα·

χλῳ edd. cum ms. *A.* 1 δύο οἱ vulgo. 2 πλάγιος διαμέτρου mssti. 3 προσεμφερὴς mssti ambo; & initio τρίτος ms. *Ep.* 4 ὥστ' ms. *A.* ὡς ἐφαιν. ms. *Ep.* & Grot. ὡς δ' temere ed. Baſ. πλάγιος ἂν δ' ἐφαιν. ed. Caſ. 5 πέμπτον edd. πέμπτοι ms. *Ep.* 6 εἶ βοστρ. ed. Ven. & Baſ. εἴη βοστρ. Grot. εἶπον βοστρ. ed. Caſ. εἶπ' ὁ βοστρ. ms. *A.*

Poſt hunc ſequuntur regulae aequales duae,
quas una iungit media transverſum iacens.
Criſpi capilli tertium formam refert:
tridens deinde, ſed reclinis in latus:
quintum, ſupernae regulae aequales duae,
pars ima quarum ſibi propinquantum coit:
ſextum, capillus ante qualem dixeram.

Similiter huic etiam Sophocles fecit in Amphiarao Satyrico, ubi produxit aliquem elementa ſcripturae geſticulando ſaltandoque exprimentem.

81. Neoptolemus Parianus in libro de Epigrammatis tradit, Chalcedone in Thraſymachi Sophiſtae ſepulcro epigramma hoc eſſe inſcriptum:

Τοὔνομα, θῆτα. ῥῶ. ἀλφα. σᾶν. ῦ. μῦ. ἄλφα. χί. οὖ. σᾶν.
πατρὶς Χαλκηδών· ἡ δὲ τέχνη σοφίη.

Castorionis carmen in Panem.

Τὸ δὲ Καστορίωνος τοῦ Σολέως, ὡς ὁ Κλέαρχός φησιν, εἰς τὸν Πανα ποίημα τοιοῦτόν ἐστι· τῶν ποδῶν [1] ἕκαστος ὅλοις ὀνόμασι περιειλημμένος πάντας ὁμοίως a ἡγεμονικοὺς καὶ ἀκολουθητικοὺς ἔχει τοὺς πόδας, οἷον·

Σὲ, τὸν βολοις νιφοκτύποις δυσχείμερον
ναίουθ' ἕδος, [2] θηρονόμε Πὰν, χθόν' [3] Ἀρκάδων,
κλησω γραφῇ τῇδ' ἐν σοφῇ, [4] πάγκλειτ' ἔπη [5]
συνθεὶς, ἀναξ, δύσγνωστα μὴ σοφοῖς κλύειν, [6]
Μουσοπόλε θὴρ, κηρόχυτον ὃς [7] μείλιγμ' ἰεῖς. [8]

καὶ τὰ λοιπὰ τὸν αὐτὸν τρόπον. Τούτων δ' ἕκαστον

1 Rectius fuerit τῶν στίχων, & dein περιειλημμένους. 2 ὁδὸς vulgo: & νέουθ' ed. Ven. & Baf. cum Ms. 3 χθὰν editt. vett. cum Ms. 4 τῇδε σοφῇ vulgo. τηδὶ σοφῇ corrigit Caſaub. 5 πάγκλυτ' ἔπη ed. Caſ. πάγκλητ' ἔπη ed. Ven. & Baſ. cum Ms. 6 Forſ. λύειν. 7 κηροχίτωνος edd. κηροχυτ. Ms. 8 ἰεὶς edd.

Nomen, theta rho alpha ſan y my alpha chi ou ſan: patria, Chalcedon: profeſſio, ſapientia.

Caſtorionis vero Solenſis, ut memorat Clearchus, carmen in Panem huiusmodi eſt: ſinguli verſus iis pedibus conſtant, qui integris verbis comprehenduntur, & omnes perinde vel ante alios poni vel illis poſtponi poſſunt. Verbi gratia:

Σὲ, τὸν βόλοις νιφοκτύποις δυσχείμερον &c.

Id eſt:

Te, qui nivibus cum impetu cadentibus infeſtam habitas ſedem, ferarum altor, Pan, terram Arcadiam, invocabo ſcripto hocce ſapiente, inclytos verſus componens, difficiles intellectu parum eruditis:
o Fere, Muſarum ſodalis, qui ceratâ tibiâ mollia carmina fundis.

& ad hunc modum reliqua. Horum pedum unumquem-

τῶν ποδῶν ὡς ἂν τῇ τάξει θῇς, τὸ αὐτὸ μέτρον ἀποδώσει. οὕτως·

Σὲ τὸν βόλοις νιφοκτύποις δυσχείμερον.

Νιφοκτύποις [1] σὲ τὸν βόλοις δυσχείμερον.

b καὶ ὅτι τῶν ποδῶν ἕκαστός ἐστι δεκαγράμματος. [2] Ἔστι δὲ καὶ μὴ τοῦτον τὸν τρόπον, ἀλλ' ἑτέρως ποιῆσαι, ὥστε πλείω πρὸς τὴν χρῆσιν ἐκ τοῦ ἑνὸς [3] ἔχειν, οὕτω [4] λέγοντας·

Μέτρον φράσον μοι, τῶν ποδῶν μέτρον λαβών. [5]

Λαβὼν μέτρόν μοι τῶν ποδῶν, μέτρον φράσον.

Οὐ βούλομαι γὰρ τῶν ποδῶν μέτρον λαβεῖν.

Λαβεῖν μέτρον γὰρ τῶν ποδῶν οὐ βούλομαι.

Πίνδαρος δὲ πρὸς [6] τὴν ἀσιγμοποιηθεῖσαν ᾠδήν, LXXXII.

c ὡς ὁ αὐτός φησι Κλέαρχος, οἱονεὶ γρίφου τινὸς ἐν μελοποιΐᾳ προβληθέντος, ὡς πολλῶν τούτῳ [7] προσκρουόν- Lasi carmen asigmon.

1 Deſunt duo verba edd. 2 Immo ἑνδεκαγράμματος. 3 Suſpecta oratio. 4 Forſ. οἷον οὕτω. 5 Deſunt vulgo duo verba. 6 ποιήσας pro πρὸς ſcribi voluerat Caſ. 7 τούτων edd.

que quocumque loco ponas, idem metrum ille reddet. Veluti:

Σὲ τὸν βόλοις νιφοκτύποις δυσχείμερον.

Νιφοκτύποις σὲ τὸν βόλοις δυσχείμερον. [&c.]

Notandumque etiam, ſingulos pedes decem [*immo*, undecim] literis conſtare. Licet vero etiam non eâdem, ſed diverſâ ratione facere, ut plura ad hunc uſum ex uno habeamus. (Veluti) ſi ita dicimus:

Menſuram dicito mihi, pedum menſuram capiens.

Capiens menſuram mihi pedum, menſuram dicito.

Nolo enim pedum menſuram capere.

Capere menſuram enim pedum nolo.

82. Pindarus in oden absque literâ *ſigma* compoſitam, ut idem ait Clearchus, quaſi griphus quidam fuiſſet propoſitus in lyrico carmine exſequendus, quum multi

των διὰ τὸ ἀδύνατον [1] εἶναι ἀποσχέσθαι τοῦ σίγμα, καὶ διὰ τὸ μὴ δοκιμάζειν, ἐποίησε· „Πρὶν μὲν εἶρπε [2] σχοινοτενία τ' ἀοιδὰς [3] καὶ τὸ σὰν κίβδηλον ἀνθρώποις [4] [ἀπὸ στομάτων.]“ Ταῦτα σημειώσαιτ' ἄν τις πρὸς τοὺς νοθεύοντας Λάσου τοῦ Ἑρμιονέως τὴν ἄσιγμον ᾠδὴν, ἥτις ἐπιγράφεται Κένταυροι. καὶ ὁ εἰς τὴν Δήμητρα δὲ τὴν ἐν [5] Ἑρμιόνῃ ποιηθεὶς τῷ Λάσῳ ὕμνος, ἄσιγμός ἐστιν, ὡς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τρίτῳ Περὶ Μουσικῆς. οὗ ἐστιν ἀρχή· d

Δάματρα [6] μέλπω κόραν τε Κλυμένοιο [7] ἄλοχον.

LXXXIII. Ἔστιν εὐπορῆσαι δὲ καὶ ἄλλων γρίφων.

Variorum griphorum copia.

Ἐν φανερᾷ [8] γενόμαν· πάτραν δέ μου [9] ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει. μήτηρ δ' ἔστ' ἀριθμοῖο πάϊς.
Φανερᾷ μὲν οὖν λέγει τῇ Δήλῳ, ἥτις ὑπὸ θαλάσσης

1 τὸ δυνατὸν vulgo. 2 εἶρπε vulgo h. l. Alibi ἦρπε. 3 τὰ οἶδα vulgo. 4 ἄνθρωποι edd. & deſunt vulgo duo verba ſequentia. 5 Deeſt ἐν edd. 6 Δήμητρα edd. 7 Κλυομένοιο h. l. ed. Ven. & Baſ. Κλυομενοιο ed. Caſ. 8 φανερῷ edd. 9 πάτρη δέ μοι vulgo.

hoc eſſent offenſi, quoniam fieri non poſſet ut literâ ſigma abstineretur, & quum id genus non probarent, fecit illud: *Priusquam prodiret prolixitas carminis & ſan reprobum ex ore hominum.* Quod notandum contra eos qui pro ſpuriâ habent *Laſi* Hermionenſis aſigmon oden, quae inſcribitur Centauri. Atque etiam Hymnus in Cererem, quae Hermionae eſt, ab eodem Laſo compoſitus, literâ ſigma caret, ut ait Heraclides Ponticus tertio libro De Muſicâ. Cuius hymni hoc eſt initium:

Cererem cano, virginemque Plutonis coniugem.

83. Sed & aliorum griphorum copia ſuppetit. (Verbi cauſſa:)

In clarâ genitus ſum: patriam meam ſalſum aequor circumfluit: mater vero eſt numeri filia.

Claram dicit Delum: (δῆλος, *clarus.*) quae mari circum-

περιέχεται. μήτηρ δ' ἡ Λητὼ, ἥτις Κοίου ἐστὶν θυγάτηρ. Μακεδόνες δὲ τὸν ἀριθμὸν κοῖον προσαγορεύουσι. Καὶ ἐπὶ τῆς πτισάνης·

Κριθῆς ἀθλοίου χυλὸν ὀργάσας πίε.

πεποίηται δὲ τῆς πτισάνης τοὔνομα ἀπὸ τοῦ πτίσσειν καὶ ἀνεῖν. Καὶ ἐπὶ τοῦ κοχλίου. Φέρεται δὲ τοῦτο καὶ ἐν τοῖς Τεύκρου Ὁρισμοῖς· Cochlea.

Ζῶον ἄπουν ἀνάκανθον ἀνόστεον ὀστρακόνωτον·
ὄμματά τ' ἐκκύπτοντα προμήκεα κεἰσκύπτοντα.

Ἀντιφάνης δ', ἐν Αὐτοῦ ἐρῶντι, φησί·

f — Τροθαλίδας τε λινοσάρκους. μανθάνεις;
τυρὸν λέγω. —

Ἀναξανδρίδης δὲ, Αἰσχρᾷ·

Ἀρτίως διηρτάμηκεν, καὶ τὰ μὲν διανεκῆ [1]
σώματος μέρη δαμάζετ' [2] ἐν πυρικτύποισι γᾶς·

1 διηνεκῆ edd. & verſ. ſeq. γῆς iidem. 2 δαμάζατα ed. Ven. δαμάζεται ed. Baſ. & Caſ. δαμάζετε ms. *A*.

datur. Mater vero Latona eſt, Coei filia. Macedones autem *numerum*, *coeum* (κοῖον) vocant. Eſt alius in *ptiſanam*,

Hordei decorticati ſuccum (aquâ) *temperatum bibe.*

Compoſitum eſt autem nomen *ptiſana* e verbis πτίσσειν (*pinſere*) & ἀνεῖν. (*tundere.*) Item in *cochleam*; qui legitur griphus in Teucri Definitionibus:

Animal ſine pedibus, ſine ſpinis, ſine oſſibus, teſtaceo tergo: praelongis oculis, qui extrorſum exſeruntur, & introrſum recedunt.

Antiphanes vero, in Sui-amante, ait:

Coagulatum lac linteo-carneum: intelligis? caſeum dico.

Anaxandrides, in Foedâ: (*ſive*, Deformi muliere:)

Modo in fruſta conciderat, tum » continuas quidem » corporis partes compeſcite in vaſis ex terrâ ad ignem ſtrepentibus «

Τιμόθεος ἔφη ποτ', ἄνδρες, τὴν χύτραν εἶναι λέγων.
Τιμοκλῆς δ', ἐν Ἡρωσιν·

— A. Ὡς δ' ἦν ἠρμένη
βίου τιθήνη, πολεμία λιμοῦ, φύλαξ
φιλίας, ἰατρὸς ἐκκλύτου βουλιμίας,
τραπεζα. B. Περιέργως γε, [1] νὴ τὸν οὐρανόν· a
ἐξὸν φράσαι [σοὶ την] [2] τράπεζαν συντόμως.

Πλάτων δ', ἐν τῷ Ἀδώνιδι, χρησμὸν δοθῆναι λέγων
Κινύρᾳ ὑπὲρ Ἀδώνιδος τοῦ υἱοῦ, φησίν·

[3] Ὦ Κινύρα, βασιλεῦ Κυπρίων ἀνδρῶν δασυπρώκτων,
παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε
πάντων ἀνθρώπων, δύο δ' αὐτὸν δαίμον' ἔχητον· [3]
ἡ μὲν, ἐλαυνομένη λαθρίοις ἐρετμοῖς· ὁ δ' ἐλαύνων.

λέγει δὲ Ἀφροδίτην καὶ Διόνυσον· ἀμφότεροι γὰρ b
ἤρων τοῦ Ἀδώνιδος. Καὶ τὸ τῆς Σφιγγὸς δὲ αἴνιγμα

1 Deeſt γε edd. 2 Deſunt vulgo duo verba. Caſ. corrigebat, ἐξὸν γὰρ ἦν φράσαι τραπ. 3 ἔχετον ms. *Ep.* ἔχειτον ms. *A*.

dicebat aliquando Timotheus; o viri, ollam dicens.
Timocles vero, in Heroibus:

— A. *Sublata ut fuit*
vitae alma nutrix, hoſtis eſuriginis,
praeſes amicitiae, medica defectae famis,
menſa. B. *Ut tibi ſumtus hic ſupervacuo eſt labor!*
nam menſam licuit uno verbo dicere.

Plato vero, in Adonide, oraculum ait Cinyrae de filio Adonide editum eſſe his verbis:

O Cinyra, Cypriorum rex hominum hirſutorum,
puer tibi natus eſt formoſiſſimus laudatiſſimusque
omnium hominum. Sed duo eum numina tenebunt:
altera, agitata furtivis remigiis; agitans alter.

Dicit autem Venerem & Bacchum: ambo enim amarunt Adonidem. Porro Sphingis aenigma tale fuiſſe ait

Ἀσκληπιάδης, ἐν τοῖς Τραγῳδουμένοις, τοιοῦτον εἶναι φησίν·

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία Φωνὴ, καὶ τρίπον, ἀλλάσσει δὲ Φύσιν [1] μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἕρπετὰ γείνονται καὶ ἀν' αἰθέρα [2] καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος [3] γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ. Sphingis aenigma.

c Γριφώδη δ' ἐστὶ καὶ Σιμωνίδη ταῦτα πεποιημένα, ὡς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ Περὶ Σιμωνίδου· LXXXIV. Simonidis aenigmata.

Μιξοῖόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθῦς
πλησίον ἠρείσαντο [5] καρήατα· παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

Φασὶ δ' οἱ μὲν, ἐπί τινος τῶν ἀρχαίων ἀναθημάτων

1 Alii φυὴν, & sic ms. *Ep.* inter lineas. 2 κινεῖται ἀνά τ' αἰθέρα ed. Baſ. & Caſ. γίνονται καὶ ἀν' αἰθ. ed. Ven. γίνονται ἀνά τ' αἰθ. ms. *Ep.* 3 Alii μένος. 4 πατὴρ τ' ἐρίφου edd. 5 ἠρίσαντο edd.

Aſclepiades in Tragoediarum argumentis:

Unum nomen habens quadrupesque bipesque tripesque
naturam pariter mutato tempore mutat
de maris & terrae coelique animantibus unum:
mirarique licet, pedibus cum pluribus inſtat,
tum magis atque magis eclerandi amittere vires.

84. De griphorum genere ſunt etiam nonnulla quorum auctor eſt *Simonides*, ut Chamelaeo refert in libro de Simonide:

Promiſcui pabuli pater hoedi, & miſer piſcis,
capita invicem obnixa habebant: cumque filium noctis
palpebris receperint, Bacchi regis miniſtrum
bovis interfectorem nutricari nolunt.

Dicunt igitur alii, inſcriptos fuiſſe iſtos verſus Chalci-

ἐν Χαλκίδι τοῦτ' ἐπιγεγράφθαι, πεποιῆσθαι δ' ἐν αὐτῷ τράγον καὶ δελφῖνα, περὶ ὧν εἶναι τὸν λόγον τοῦτον. οἱ δὲ, εἰς ἐπιτόνιον [1] ψαλτήριον [2] δελφῖνα καὶ d τράγον εἰργασμένον εἰρῆσθαι· καὶ εἶναι τὸν βουφόνον καὶ τὸν Διονύσου θεράποντα, τὸν διθύραμβον. οἱ δὲ φασὶν, ἐν Ἰουλίδι τὸν τῷ Διονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει. πλησίον δὲ τῆς ἑορτῆς οὔσης, εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν· τὸν οὖν Σιμωνίδη, ἔτι νέον ὄντα, βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν. ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον, καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῇ κείμενον, καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα e εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα. τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα, τὸν ἀσκὸν εἶναι· σχέτλιον δὲ ἰχθῦν, τὸν καρκῖνον· νυκτὸς δὲ παῖδα, τὸν

1 εἰς τὸ ἐπιτόνιον ms. *Ep.* 2 An ψαλτηρίου? ψαλτέρας videtur esse in ms. *Ep.*

de in antiquo aliquo donario, in quo fuissent figurae hirci & delphini, de quibus hîc agatur. Alii aiunt, delphinum & hircum dici caelatos in ea parte psalterii qua tenduntur chordae: bovis autem interfectorem & Bacchi ministrum, esse dithyrambum. Alii vero dicunt, in Iulide oppido bovem Baccho immolandum ab uno ex adolescentibus feriri solitum securi. Instante igitur festo die, in fabri aerarii officinam missam fuisse securim: & Simonidem, adhuc tum iuvenem, ad fabrum iviſſe, ut referret securim. Qui quum fabrum vidisset dormientem, & follem & forcipem (qui Graece καρκῖνος vocatur, quasi *cancrum* dicas) temere iacentes, anterioribus eorum partibus sibi invicem obversis, ita cum rediret proposuisse fertur sodalibus illud problema. Hoedi patrem hi aiunt esse follem; miserum piscem vero, cancrum, id est, forcipem; noctis filium,

ὕπνον· βουφόνον δὲ καὶ Διονύσου θεράποντα, τὸν πέλεκυν. Πεποίηκε δὲ καὶ ἕτερον ἐπίγραμμα ὁ Σιμωνίδης ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν.

Φημὶ, τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

f Λέγεται δὲ ἐν τῇ Καρθέᾳ [1] διατρίβοντα αὐτὸν, διδάσκειν τοὺς χορούς. εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῷ, μακρὰν τῆς θαλάσσης. ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ τὸν Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη. ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειὸν, διὰ τὸ μυθολογεῖσθαι, τοῦτο δρᾶν ἐκεῖνον, καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδρο-
a φορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορος φησίν· „Ὤικτειρε γὰρ αὐτὸν ὕδωρ ἀεὶ φορέοντα Διὸς κούρα [2] βα-

Epeus aquam baiulans.

1 Rectius Καρθαίᾳ. 2 κούροις Euſtath.

ſomnum; bovis occiſorem vero & Bacchi miniſtrum, ſecurim. Fecit vero idem Simonides aliud etiam epigramma, quod ignaris hiſtoriae adfert dubitationem.

Dico, eum qui non vult certaminis praemium ferre cicadae, luculentam coenam praebiturum Panopeiadae Epeo.

Narrant autem, cum Cartheae verſaretur Simonides, docuiſſe eum choros: fuiſſeque locum ubi inſtituebatur chorus, in ſuperiore oppidi parte, prope Apollinis templum, procul a mari. Aquam igitur petiiſſe & alios & Simonidem ex inferiore oppidi regione, ubi fons erat: advehebat autem illis aquam aſinus, quem *Epeum* vocabant, quoniam fabulae tradunt eo miniſterio olim functum eſſe Epeum, & depicta etiam erat in Apollinis templo Troiana fabula, in qua Epeus aquam baiulat Atridis; quemadmodum etiam Steſichorus ait: *Miſerabatur enim eum aquam ſemper ferentem Iovis filia* [ſive, *Io-*

σιλεῦσιν." ὑπαρχόντων οὖν τούτων, ταχθῆναί φασι τῷ μὴ παραγενομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν, παρέχειν τῷ ὄνῳ χοίνικα κριθῶν. τοῦτο οὖν κἂν τῷ [1] ποιητῇ λέγεσθαι· καὶ εἶναι τὸν μὲν οὐ φέροντα τὸ τοῦ τέττιγος [2] ἄεθλον, τὸν οὐκ ἐθέλοντα ᾄδειν· Πανοπηϊάδην δὲ, τὸν ὄνον· μέγα δεῖπνον, τὴν χοίνικα τῶν κριθῶν.

LXXXV. Τοιοῦτόν ἐστι καὶ τὸ Θεόγνιδος τοῦ ποιητοῦ·

Theognidis griphus, cum aliis.

Ἤδη γάρ με κέκληκε θαλάσσιος οἰκαδε νεκρὸς, b
τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

σημαίνει γὰρ κόχλον. Τοιοῦτον δ' ἐστὶ καὶ τὸ ῥήματα λέγειν, ἀνθρώπων ὀνόμασιν ὅμοια. οἷον·

Λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος.

καὶ τὸ περιφερόμενον·

Πέντ' ἄνδρες δέκα ναυσὶ κατέδραμον εἰς ἕνα χῶρον,

1 καὶ τῷ malebam. 2 φερ. τοῦτο τέττιγος edd. cum ms. *A.*

vis filiis] *regibus.* Quae quum ita essent, constitutum fuisse aiunt, ut quicumque de chori cantoribus ad definitam horam non adesset, is asino semimodium hordei praeberet. Id igitur ipsum dixisse poëtam: esseque *non ferentem certaminis cicadae praemium*, eum qui canere noluisset: *Panopeiadem* vero, asinum: *luculentam coenam*, semimodium hordei.

85. Eiusdem generis est illud *Theognidis* poëtae:

Iam enim me domum vocavit marinus mortuus,
post mortem qui vivo resonat ore.

Significat enim strombum, conchamm marinam. Eodem referri potest, cum verbis utimur, quae propriis hominum nominibus similia sunt. Veluti,

Obtinuit in pugna victoriam ἀριστόνικον.

(id est, *dignam viro fortissimo.*) Item illud quod vulgo circumfertur:

Quinque viri decem navibus concurrerunt;

ἐν δὲ λίθοις ἐμάχοντο, λίθον δ' οὐκ ἦν ἀνελέσθαι·
c δίψῃ δ' ἐξώλλυντο, ὕδωρ δ' ὑπερεῖχε γενείου.

LXXXVI. Honesta oblectatio, griphos invicem proponere.

Τίνα δὲ κόλασιν ὑπέμενον Ἀθήνησιν οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον, εἴ γε ἔπινον φιάλην κεκερασμένην, ὡς καὶ ὁ Κλέαρχος προεῖπεν ἐν τῷ Ὁρῳ; καὶν τῷ πρώτῳ Περὶ Παροιμιῶν γράφει οὕτως· „Τῶν γρίφων ἡ ζήτησις οὐκ ἀλλοτρία Φιλοσοφίας ἐστί. καὶ εἰ παλαιοὶ τὴν τῆς παιδείας ἀπόδειξιν ἐν τούτοις ἐποιοῦν-
d το. προέβαλλον γὰρ παρὰ τοὺς πότους, οὐχ ὥσπερ οἱ νῦν ἐρωτῶντες ἀλλήλους, τίς τῶν Ἀφροδισιαστικῶν συνδυασμῶν, ἢ τίς ἢ ποῖος ἰχθὺς ἡδιστος, ἢ τίς ἀκμαιότατος· ἔτι δε, τίς μετ' Ἀρκτοῦρον ἢ μετὰ Πλειάδα, ἢ τίς μετὰ Κύνα μάλιστα βρωτός. καὶ ἐπὶ τούτοις ἆθλα μὲν τοῖς νικῶσι φιλήματα, μίσους ἄξια τοῖς ἐλευθέραν αἴτησιν ἔχουσι, ζημίαν δὲ τοῖς ἡττη-

lapidibus pugnabant, lapidem vero tollere non licuit: siti peribant, aqua vero superabat mentum.

86. Quasnam vero poenas dabant Athenis hi qui propositum griphum solvere non possent, si quidem *phialam mixtam biberunt*, ut ait Clearchus in Definitione? Idem vero etiam primo libro De Adagiis sic scribit: » Griphorum propositio solutioque non est aliena a Philosophia: & in his veteres specimen edebant eruditionis. Quas enim in conviviis quaestiones proponebant, non erant illae similes his quae nostris temporibus agitari solent, cum quaerunt invicem, quodnam genus venerei concubitus sit iucundissimum, aut quis qualisve piscis sit suavissimus, aut quis maxime in praesens vigeat? tum quis post Arcturi aut Pleiadum ortum, aut post Caniculam maxime edendo sit? Et super his praemia vincentibus statuunt oscula, odiosa hominibus ingenuum sensum habentibus; poenam vero victis, bi-

θεῖσι τάττουσιν ἄκρατον πιεῖν, ὃν ἥδιον τῆς ὑγιείας πίνουσιν. κομιδῇ γάρ ἐστι ταῦτά γε τινὸς τοῖς Φιλαινίδος καὶ τοῖς Ἀρχεστράτου συγγράμμασιν ἐνωκηκό- e τος, ἔτι δὲ περὶ τὰς καλουμένας Γαστρολογίας ἐσπουδακότος. Ἀλλὰ μᾶλλον τὰς τοιαύτας, τῷ πρώτῳ ἔπος [ἰαμβεῖον][1] εἰπόντι τὸ ἐχόμενον ἕκαστον λέγειν, καὶ τῷ κεφάλαιον εἰπόντι[2] ἀντειπεῖν τὸ [3] ἑτέρου ποιητοῦ τινος, εἰ [4] τὴν αὐτὴν εἶπε γνώμην· ἔτι δὲ, λέγειν ἕκαστον ἰαμβεῖον. πρός τε τούτοις, ἕκαστον εἰπεῖν ὅσων ἂν προσταχθῇ συλλαβῶν [5] ἔμμετρον· καὶ ὅσα ἀπὸ τῆς τῶν γραμμάτων καὶ συλλαβῶν ἔχεται θεωρίας. ὁμοίως δὲ τοῖς εἰρημένοις, ἡγεμόνος ἑκάστου λέγειν ὄνομα τῶν ἐπὶ Τροίαν ἢ τῶν Τρώων· καὶ πόλεως ὄνομα τῶν ἐν τῇ Ἀσίῃ λέγειν ἀπὸ τοῦ δοθέντος γράμ- f

1 *Delendum* videtur nomen ἰαμβεῖον. 2 Desunt editis octo verba. 3 ἀντειπόντος vulgo. 4 ὃν εἰς τὴν αὐτ. Cas. 5 ὅσων ἂν προταχθῇ edd. & carent συλλαβῶν.

bere merum, quod libentius bibunt quam sanitatis poculum. Sunt sane haec prorsus talia, ut iis conveniant hominibus, qui Philaenidis & Archestrati scriptis innutriti sunt, & omnino Gastrologiis (id est, iis doctrinis quae ventrem curare docent) dant operam. Sed tales potius quaestiones olim proponebant. Postquam primus versum aliquem dixisset, tenebatur quisque dicere versum sequentem; aut si quis primus aliquem locum communem (e poëta quodam) protulisset, singuli dicebant alterius cuiusdam poëtae locum, si quis eamdem sententiam enunciasset. Ac deinde singuli iambum etiam recitare tenebantur. Ad haec recitare iubebantur versum quemcumque tot syllabarum quot esset praescriptum: item quaecumque pertinent ad literarum aut syllabarum notitiam. Similiter iubebantur nomina dicere uniuscuiusque e ducibus Graecorum ad Troiam, vel e ducibus Troianorum; aut edere nomen civitatis Asiae

ματος, τὸν δ' ἐχόμενον τῶν ἐν τῇ Εὐρώπῃ, καὶ τοὺς λοιποὺς ἐναλλάξαι, ἄν τε Ἑλληνίδος, ἄν τε βαρβάρου τάξῃ τις. ὥστε τὴν παιδιὰν, [1] μὴ ἄσκεπτον οὖσαν, μηνύματα [2] γίνεσθαι τῆς ἑκάστου πρὸς παιδείαν οἰκειότητος. ἐφ' οἷς ἆθλον ἐτίθεσαν στέφανον καὶ εὐφημίαν, οἷς μάλιστα γλυκαίνεται τὸ Φιλεῖν ἀλλήλους."

LXXXVII. Varia problemata poëtica.

a Ταῦτα μὲν οὖν Κλέαρχος εἴρηκε. Καὶ ἃ προβάλλειν [3] δεῖ, τοιαῦτά τινα εἶναι ἡγοῦμαι. στίχον εἰπεῖν Ὁμηρικὸν, ἀπὸ τοῦ ἄλφα ἀρχόμενον, καὶ εἰς τὸ αὐτὸ στοιχεῖον καταλήγοντα.

Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.
Ἀλλ' ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα.
Ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.

καὶ πάλιν ὁμοίως ἰαμβεῖα·

Ἀγαθὸς ἀνὴρ λέγοιτ' ἂν, ὁ Φέρων τἀγαθά.

1 παιδείαν vulgo. 2 μήνυμα aut μήνυμά τι corrigunt viri docti. 3 Temere προσβάλλειν ed. Baſ. & Caſ.

a data quadam litera incipiens, tum proximus nominare debebat Europae urbem, & reliqui per vices pergere, ſive Graecae civitatis ſive barbaricae nomen fuiſſet quaeſitum. Itaque luſus ille, cum non inconſultus eſſet, occaſionem praebebat unicuique eruditionis ſuae ſpecimina edendi. Et praemium propoſitum erat corona & plauſus: quibus rebus maxime dulceſcit mutua amicitia. «

87. Haec igitur Clearchus ſcripſit. Quae autem ait in medium proponi debere, ea arbitror eſſe huiusmodi. (Verbi cauſſa:) verſum dicere Homericum ab alpha incipientem, & in idem elementum deſinentem.

Ἀγχοῦ δ' ἱσταμένη &c. [*Iliad.* δ'. 92.]
Ἀλλ' ἄγε νῦν &c. [*Iliad.* ε'. 226.]
Ἀσπίδας εὐκύκλους &c. [*Il.* ε'. 453.]

Rurſus ad eumdem modum verſus iambicos:

Adpella bonum virum hunc, qui adfert bona.

Ἀγαθὸς ἂν εἴη καὶ ὁ Φέρων καλῶς κακά.

Ὁμηρικοὶ ἀπὸ τοῦ ε̄ ἐπὶ τὸ ε̄· b

Εὖρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε.

Ἐν πόλει ὑμετέρῃ, [1] ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε.

ὁμοίως καὶ ἰαμβεῖα·

Εὐκαταφρόνητός ἐστι πενία, Δέρκυλε.

Ἐπὶ τοῖς παροῦσι τὸν βίον διάπλεκε.

Ὁμήρου ἀπὸ η̄ ἐπὶ τὸ η̄·

Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη.

Ἡ δ' ἐν γούνασι πίπτε Διώνης δῖ' Ἀφροδίτη. c

Ἰαμβοι·

Ἡ τῶν φίλων σοι πίστις ἔστω κεκριμένη.

Ἀπὸ τοῦ ῑ̄ ἐπὶ τὸ ῑ̄ Ὁμήρου·

Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι.

Ἱππόλοχος δέ μ' ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέσθαι.

ἀπὸ τοῦ σ̄ εἰς τὸ σ̄·

1 ἡμετέρῃ edd.

Adverſa qui aequo animo tolerat, hunc bonum puta.

Homerici verſus ab ε incipientes, & in ε definentes:

Εὖρε Λυκάονος &c. [*Iliad.* δ'. 89.]

Ἐν πόλει ὑμετέρῃ &c. [*Il.* ε'. 686.]

Similiter etiam iambi:

Eſt deſpicabilis res inopia, Dercyle.

Ex his quae adſunt vitae telam pertexe.

Homerici verſus ab η incipientes, & in η definentes:

Ἡ μὲν ἄρ' ὣς &c. [*Iliad.* ε'. 133.]

Ἡ δ' ἐν γούνασι &c. [*Il.* ε'. 370.]

Iambi:

Eſſe certus ſatage de amicorum fide.

Ab ι incipientes, & in ι definentes, Homeri:

Ἰλίου ἐξαπολοίατ' &c. [*Iliad.* ζ'. 60.]

Ἱππόλοχος &c. [*Iliad.* ζ'. 206.]

A ſigma, in ſigma:

Συμπάντων Δαναῶν, οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς.
Σοφός ἐστιν ὁ φέρων τἀπὸ τύχης καλῶς.

d ἀπὸ τοῦ ω εἰς τὸ ω.

Ὡς δ' ὅτ' ἀπ' οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω.
Ὠρθωμέην πρὸς ἅπαντα τὴν ψυχὴν ἔχω.

προβάλλειν δὲ δεῖ καὶ στίχους ἀστίγμους, οἷον·

Πάντ' ἐθέλω δόμεναι, καὶ ἔτ' οἰκόθεν ἄλλ' ἐπιθεῖναι.

καὶ πάλιν στίχους Ὁμηρικοὺς ἀπὸ τῆς πρώτης συλλαβῆς καὶ τῆς ἐσχάτης δηλοῦντας ὄνομα. οἷον·

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δύο καὶ δέκα νῆας.

e Φυλείδης ὃν τίκτε Διῒ Φίλος ἵππότα Φυλεύς.

Ἰητὴρ δ' ἀγαθὸς Ποδαλείριος, ἠδὲ Μαχάων.

Εἰσὶ καὶ ἄλλοι στίχοι Ὁμηρικοὶ δηλοῦντες σκευῶν ὀνόματα, ἀπὸ τῆς πρώτης καὶ ἐσχάτης συλλαβῆς, οἷον·

Συμπάντων Δαναῶν &c. [*Il. α'.* 90.]
Sapiens eris, si fortuita modeste fers.

Ab ω, in ω.

Ὡς δ' ὅτ' ἀπ' &c. [*Il. π'.* 364.]
Ὠρθωμένην &c. [Id est: *Erectum habeo ad omnia animum.*]

Proponendi etiam versus absque figma; velut:

Πάντ' ἐθέλω &c. [*Iliad. ν'.* 364.]

Rursus versus Homerici, quorum prima syllaba cum postremâ ostendit aliquod nomen. Verbi caussa:

Αἴας δ' ἐκ - - - νῆΑΣ. [*Iliad. β'.* 557.]
ΦΥλείδης - - - ΦΥΛΕΥΣ. [*Il. β'.* 628.]
Ἰητὴρ δ' ἀγαθὸς - - ΜαχάΩΝ. [*Il. β'.* 732.]

Sunt item alii Homerici versus, quorum prima syllaba postremae iuncta nomen vasis vel instrumenti alicuius ostendit, velut:

Ὀλλυμένων Δαναῶν ὁλοΦύρεται ἐν φρεσὶ θυμός.

Ὄλμος.

Μυθεῖται κατὰ μοῖραν ἄπερ κ' οἴοιτο καὶ ἄλλος.

Μύλος.

Λυγρὸς ἐὼν μή που τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.

Λύρη.

ἄλλοι στίχοι δηλοῦντες ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ τέλους τῶν ἐδωδίμων τί·

Ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος.

Ἄρτος.

Μήτι σὺ ταῦτα ἕκαστα διείρεο, μὴ δὲ μετάλλα.

Μῆλα.

LXXXVIII. Ἐπεὶ δὲ ἱκανὴν παράβασιν πεποιήμεθα περὶ τῶν γρίφων, λεκτέον ἤδη, καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον. ἔπινον οὗτοι ἄλμην παραμισγομένην τῷ αὐτῶν ποτῷ, καὶ ἔδει προσενέγκασθαι τὸ ποτήριον ἀπνευστὶ, ὡς Ἀντιφάνης δηλοῖ ἐν Γανυμήδει, διὰ τούτων·

Poena eorum qui griphum non poſſent ſolvere.

Ὀλλυμένων - - θυμός. [*Iliad.* θ'. 202.] Ὄλμος, *mortarium.*

Μυθεῖται - - ἄλλος. [*Od.* ρ'. 580.] Μύλος, *mola.*

Λυγρὸς - - ἐπαύρῃ. [Od. σ'. 106.] Λύρη, *lyra.*

Alii ab initio & fine esculentum aliquid declarant:

Ἀργυρόπεζα - - γέροντος. [*Il.* α'. 538.] Ἄρτος, *panis.*

Μήτι σὺ ταῦτα - - μετάλλα. [*Il.* α'. 550.] Μῆλα, *poma.*

88. Poſtquam vero ſatis longam de Griphis digreſſionem fecimus, nunc quoque dicendum eſt quam *poenam* ſubierint hi qui propoſitum griphum ſolvere non potuiſſent. Nempe *muriam* hi bibere tenebantur *potui ipſorum admixtam:* & uno ſpiritu hauriendum erat poculum; quod Antiphanes declarat in Ganymede, his verbis:

A. Οἴμοι περιπλοκὰς [λέγεις, ὦ δέσποτα,] [1] λίαν τ' ἐρωτᾶς. [2] Β. Ἀλλ' ἐγὼ σαφῶς φράτω· τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοισθά τι, ταχέως λέγειν χρὴ, πρὶν κρεμᾶσθαι. Α. Πότερά μοι γρῖφον προβάλλεις [3] τοῦτον, εἰπεῖν, δέσποτα, τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοιδά τι. τί δῆ [4] δύναται τὸ ῥηθέν; Β. Ἔξω τις δότω ἰμάντα ταχέως. [5] Α. Οἷον; Β. Οὐκ ἔγνως [6] ἴσως; Α. Ἔπειτα τοῦτο [7] ζημιοῖς με; μηδαμῶς· b ἄλμης δ' ἐχρῆν τι παραφέρειν [8] ποτήριον. Β. Οἶσθ' οὖν ὅπως δεῖ τοῦτο σ' ἐκπιεῖν; [9] Α. Ἐγὼ, κομιδῆ γε. Β. Πῶς; Α. Ἐνέχυρον [10] ἀποφέροντα σοί.

1 Tria verba e coniect. adiecta. 2 λίαν ἐρωτᾶς vulgo. λίαν μ' ἐρωτᾶς corr. Casaub. 3 προβαλεῖς Ms. 4 Desunt duae voces τί δῆ edd. & δὴ etiam ignorat Ms. 5 Temere ταχέως ed. Cas. 1. & 2. 6 ἔγνων vulgo. 7 τούτῳ corrigunt nonnulli. 8 περιφέρειν vulgo. 9 ὅπως γε δεῖ σε τοῦτ' ἐκπιεῖν edd. 10 ἐνέχειρον edd.

A. *Heu mihi! perplexa* [*loqueris, here:*] *& nimium me interrogas.* B. *At ego nunc perſpicue dicam: de raptu pueri ſi compertum quid habes, protinus dicere oportet, priusquam ſuſpendaris.* A. *Tune mihi griphum hunc proponis, here, ut dicam de raptu pueri ſi quid compertum habeo? Quid valet hoc dictum?* B. *Promat aliquis lorum ocyus!* A. *Quale.* B. *Quaſi tu non noſſes.* A. *Dein ſic tu me punies? Neutiquam vero: ſed muriae aliquod poculum adponendum erat.* B. *Noſtin' igitur quo pacto ſit hoc ebibendum?* A. *Ego? novi ſane.* B. *Quo modo?* A. *Ita ut vadimonium imponam tibi.*

B. Οὔκ· ἀλλ' ὀπίσω τὼ χεῖρε ποιήσαντα, δεῖ ἕλκειν ἀπνευστί. —

LXXXIX. Epilogus libri.

Τοσαῦτα καὶ περὶ τῶν γρίφων εἰπόντων τῶν δειπνοσοφιστῶν,[1] ἐπειδὴ καὶ ἡμᾶς ἑσπέρα καταλαμβάνει ἀναπεμπαζομένους τὰ εἰρημένα, τὸν περὶ τῶν ἐκπωμάτων λόγον εἰς αὔριον ἀναβαλώμεθα. κατὰ γὰρ τὸν Μεταγένους Φιλοθύτην „κατ' ἐπεισόδιον[2] μεταβαλῶ[3] τὸν λόγον, ὡς ἂν καιναῖς[4] παροψίσι καὶ πολλαῖς εὐωχήσω τὸ θέατρον," περὶ τῶν ἐκπωμάτων τὸν λόγον ἑξῆς ποιούμενος.

1 Intercideruntfortaſſe nonnulla. 2 κατεπεισοδ. unâ voce, edd. 3 μεταβάλλω ms. *Ep.* 4 Forſ. καιναῖς ἀεί.

B. *Non: ſed ut reductis in tergum manibus trahas uno ſpiritu. —*

89. Haec *de Griphis* quoque poſtquam disputata ſunt a Deipnoſophiſtis, quoniam nos quae dicta ſunt in memoriam revocantes occupavit veſpera, ſermonem *de Poculis* in craſtinum differamus. Quem ſermonem hisce disputationibus proxime ſubiungens, fecero quod ait Metagenes in Philothyte: (i. e. Sacrificiorum ſtudioſo) *Per epiſodium variegabo ſermonem, ut novis ſemper patinis, iisque multis, tamquam lauto epulo, excipiam ſpectatores.*

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

I.

Sedentes olim cibum capiebant.

p. 459 a

Ἄγε δή, τίς ἀρχὴ τῶν λόγων γενήσεται; κατὰ τὸν κωμῳδιοποιὸν [2] Κηφισόδωρον, ἑταῖρε Τιμόκρατες. Συναχθέντων γὰρ ἡμῶν καθ' ὥραν μετὰ σπουδῆς, διὰ τὰ ἐπιπώματα, ὁ Οὐλπιανὸς, ἔτι καθημένων ἁπάντων, πρὶν καί τινα λεχθῆναι, ἔφη· Παρὰ μὲν τῷ Ἀδράστῳ, ἄνδρες φίλοι, καθίσαντες οἱ ἀριστεῖς δειπνοῦσιν. ὁ δὲ Πολύειδος, [3] ἱερὰ θύων ἐν ὁδῷ

1 ΝΑΥΚΡΑΤΙΤΟΥ adiicit ms. *A*. 2 κωμῳδεποιὸν edd. 3 Πολυΐδος ms. *A*.

ATHENAEI
DEIPNOSOPHISTARUM
LIBER UNDECIMUS.

Age vero, sermonis exordium quale fuerit? ut cum Cephisodoro comico loquar, amice Timocrates. Postquam convenissemus mature promteque poculorum caussâ; sedentibus adhuc cunctis, priusquam sermonis (de Poculis) fieret initium, Ulpianus sic est exorsus: Apud Adrastum quidem, amicissimi viri, sedentes optimates coenant. Polyidus vero, cum in viâ pu-

παραπορευόμενον τὸν Πετεῶ κατέσχεν, καὶ κατακλίνας ἐν τῇ πόᾳ, θαλλίαν τε κατακλάσας ἀντὶ τραπέζης, παρέθηκε τῶν τυθέντων. Καὶ τῷ Αὐτολύκῳ ἐλθόντι Ἰθάκης ἐς πίονα δῆμον ἡ τροφὸς, καθημένῳ δηλονότι, (οὕτως γὰρ ἐδείπνουν οἱ τότε) τὸν Ὀδυσσέα, φησὶν ὁ ποιητὴς,

παῖδα νέον γεγαῶτα (κιχήσατο [1] θυγατέρος ἧς, τὸν ῥά οἱ Εὐρύκλεια) φίλοις ἐπὶ γούνασι θῆκε παυομένῳ δόρποιο. —

ἐκάθισεν ἐπὶ τῶν γονάτων, καὶ οὐχὶ παρὰ τοῖς γόνασιν ἔστησεν. [2] Ἡμεῖς οὖν μὴ διατρίβωμεν, ἀλλ' ἤδη κατακλινώμεθα, ἵν' ἡμῖν ὁ Πλούταρχος περὶ ὧν ἐπαγγέλλεται ποτηρίων ἀποδοὺς τὸν λόγον, καὶ τὰς κύλικας πλήρεις ἅπασι προπίῃ.

II.

Ποτήριον: *poculum.*

ΠΟΤΗΡΙΑ δὲ πρῶτον οἶδα ὀνομάσαντα τὸν Ἀμόργιον ποιητὴν Σιμωνίδην ἐν Ἰάμβοις οὕτως·

1 Rectius abeſſent haec uncis incluſa. 2 Intercidiſſe nonnulla diceres.

blicâ ſacra faceret, iter illuc facientem Peteum inhibuit, & recumbere iuſſo in herba, frondes defractas menſae loco ſubſternens, partem victimae adpoſuit. Et *Autolyco, cum ad opulentum Ithacae veniſſet populum, Euryclea* nutrix ſedenti (nam adſediſſe menſae illis temporibus coenantes ſatis conſtat) *Ulyſſem*, ut ait Homerus, *puerum recens natum ſuper genua poſuit, cum coenare deſiiſſet.* Poſuit, inquit, ſuper genua: non iuxta genua locavit. Nos igitur ne moram faciamus, ſed iam decumbamus, ut nobis Plutarchus promiſſum *de Poculis* ſermonem exſequatur, & calices plenos nobis omnibus propinet.

2. Ποτήρια, *pocula, potoria vaſa*, primum memini nominaſſe Amorgium poëtam Simonidem in Iambis, ubi ait:

Ἀπὸ τραπεζᾶν [1] εἶλέ νιν ποτήρια.

καὶ ὁ τὴν Ἀλκμαιωνίδα δὲ ποιήτας φησίν·

— — Νέκυς δὲ χαμαιστρώτους ἐπὶ θινὸς [2]
εὐρείης στιβάδος προέβηκ'. αὐτοῖσι θαλείαν
δαῖτα, [3] ποτήριά τε, στεφάνους τ' ἐπὶ κρασὶν ἔθηκεν.

Ἄπερ ὠνομάσθη ἀπὸ τῆς πόσεως, ὡς τὸ ἔκπωμα οἱ Ἀττικοί· ἐπεὶ [4] ὑδροποτεῖν καὶ οἰνοποτεῖν [5] λέγουσιν. c Ἀριστοφάνης, ἐν Ἱππεῦσιν·

Γαμφηλαῖσι δράκοντα κοάλεμον αἱματοπώτην.

Καὶ ἐν τῷ αὐτῷ δὲ ἔφη·

Πολλῷ γ' ὁ Βάκις διεχρῆτο [6] τῷ ποτηρίῳ.

καὶ Φερεκράτης, ἐν Τυραννίδι·

Κρειττων [7] μί' ἐστὶ χιλίων ποτηρίων.

Ὁ δὲ Ἀνακρέων ἔφη·

1 Vulgo ἀπετράπεζαν εἶλε. 2 ἐπί τινος vulgo. 3 θαλείαν τε τὰ edd. θαλείαν δὲ τὰ Ms. 4 ἐπὶ edd. 5 ὑδροποτεῖν καὶ οἰνοποτεῖν edd. 6 ἐχρῆτο corr. Casaub. 7 Κρεῖττον edd.

A menſis eum abſtulerunt pocula. (ποτήρια.)

& auctor Alcmaeonidis:

— — *Cadavera humi ſuper lato*
ſtramenti cumulo expoſuit. Ipſis lautum
adpoſuit epulum & pocula, coronasque capitibus impoſuit.

Nominata ſunt autem potoria vaſa (ποτήρια) a potando: qua ratione etiam Attici ἔκπωμα nominant (*per ω longum*,) quoniam etiam ὑδροποτεῖν & οἰνοποτεῖν (*per ω longum*) dicunt. Sic Ariſtophanes, in Equitibus:

Maxillis draconem ſtolidum ſanguinis potorem. (αἱματοπώτην.)

Idem vero etiam in eadem fabula:

Multo ſane Bacis utebatur poculo. (ποτηρίῳ.)

& Pherecrates, in Tyrannide:

Praeſtat unus calix mille poculis. (ποτηρίων.)

Anacreon vero dixit:

Οἰνοπότης δὲ πεποίημαι.

ἔστι δὲ τὸ ῥῆμα καὶ παρὰ τῷ ποιητῇ· οἰναποτάζων γὰρ εἴρηκε. καὶ Σαπφὼ δ' ἐν τῷ δευτέρῳ ἔφη· d

Πολλὰ δ' ἀνάριθμα ποτήρια, καλὰ Ἴφις, [1]

καὶ Ἀλκαῖος·

Ἐκ δὲ ποτηρίων πώνης [2] δινημένη [3] παρίσδων. [4]

Τιμᾶται δὲ καὶ ἐν Ἀχαίᾳ Δημήτηρ ποτηριοφόρος, κατὰ τὴν Ἀνθέων χώραν, ὡς Αὐτοκράτης ἱστορεῖ ἐν δευτέρῳ Ἀχαϊκῶν.

III. Κυλικεῖον: *Abacus, poculorum armarium.*

Ἄξιον δὲ εἶναι νομίζω ζητῆσαι ὑμᾶς, πρὸ τοῦ καταλόγου τῶν ποτηρίων, ὧν πλῆρές ἐστι τὸ κυλικεῖον τοδί — (Εἴρηται γὰρ οὕτως, ἡ τῶν ποτηρίων σκευοθήκη. παρὰ Ἀριστοφάνει μὲν, ἐν Γεωργοῖς·

Ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται. e

1 καλαίφις vulgo. καλὰ ἔφη corr. Caſ. καλ' ἴφια Fior. 2 Varie tentarunt, nullâ certâ ratione. 3 Corrigunt δινομένη, aut Δεινομένει. 4 Temere παρίσδον ed. Baſ. & Caſ. παρισδωνι ms. *A*. Quod valere poſſit παρίσδω νίν.

Vini potor factus ſum. (Οἰνοπότης, *o brevi.*)

Reperitur vero etiam verbum apud eumdem poëtam: nam οἰνοποτάζων dixit. (*vinum-potans.*) Et Sappho, ſecundo libro, ait:

Multa vero, innumerabilia, pocula: (ποτήρια) *pulcra Iphis.*

& Alcaeus:

A poculis vero πώνης Dinomeni adſidens.

Colitur vero in Achaia etiam Ceres pocula geſtans, (ποτηριοφόρος) in Anthenſium finibus, ut tradit Autocrates ſecundo libro Achaicorum.

3. Quaerendum autem vobis cenſeo, priusquam recenſum faciamus poculorum, quibus refertus eſt *abacus* hicce, τὸ κυλικεῖον τοδί: — (Sic enim nominatur potorium vaſorum armarium. Velut apud Ariſtophanem, in Agricolis:

Tamquam velum armario poculorum obductum.

Ἐστὶ καὶ [1] παρὰ Ἀναξανδρίδῃ, [2] ἐν Μελιλώτῳ. Εὔβουλος δ', ἐν Λήδᾳ·

— Ὥσπερ [3] σπονδὴν διδοὺς
ἐν τῷ κυλικείῳ συντέτριφεν τὰ ποτήρια.

Καὶ ἐν Ψαλτρίᾳ δέ ἔφη· „Τὰ κυλικεῖα δ' ἐξεῦρεν ἡμῖν.“ ἐν δὲ Σεμέλῃ ἢ Διονύσῳ·

Ἑρμῆς ὁ Μαίας λίθινος, ὃν [4] πρὸς εὔγμασιν
ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον.

f Κρατῖνος δ' ὁ νεώτερος, ἐν Χείρωνι· [5]

— Πολλοστῷ δ' ἔτει
ἐκ τῶν πολεμίων οἴκαδ' ἥκω, συγγενεῖς
καὶ φράτερας [6] καὶ δημότας εὑρὼν μόλις,
εἰς τὸ κυλικεῖον ἐγράφην. Ζεὺς ἐστί μοι
ἑρκεῖος, [7] ἔστι φρατόριος· τὰ τέλη τελῶ.)

1 Ἔστι δὲ καὶ malebam. 2 Ἀλεξανδρίδῃ edd. 3 Ὥσπερεὶ forsan. 4 ἂν edd. 5 Alibi ἐν Χείρωσι. 6 φράτορας edd. 7 ἔτι μοι ἑρκεῖος edd.

Eſtque idem vocabulum apud Anaxandridem, in Meliloto. Eubulus vero, in Leda, ait:

— *Quaſi libationem dans*
in abaco (κυλικείῳ) *confregit pocula.*

Idem in Pſaltriâ dixit: *Abacos* (ſive, *armaria condendis poculis*, τὰ κυλικεῖα) *ille nobis invenit.* In Semele vero vel Baccho:

Hermes, Maiae filius, quem precum cauſſa (ſive, *oſtentationis cauſſa*)
in armario ſplendidum bene terſum . . .

Cratinus iunior, in Chirone:

— *Poſt multos demum annos*
ab hoſtibus domum venio; ubi cognatos
& curiales & populares vix inveniens,
in κυλικεῖον (poculorum ſocietatem) *adſcriptus ſum.*
Eſt mihi adhuc Iupiter
domeſticus, eſt curialis: tributa ego pendo.)

IV. Maiora pocula.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ οἱ ἀρχαῖοι μεγάλοις ἔπινον ποτηρίοις. Δικαίαρχος μὲν γὰρ ὁ Μεσσήνιος, ὁ Ἀριστοτέλους μαθητὴς, ἐν τῷ Περὶ Ἀλκαίου, μι- a κροῖς φησιν αὐτοὺς ἐκπώμασι κεχρῆσθαι, καὶ ὑδαρέστερον πεπωκέναι. Χαμαιλέων δὲ ὁ Ἡρακλεώτης, ἐν τῷ περὶ Μέθης (εἴ γε τῆς φωνῆς μνημονεύω) φησίν· „Εἰ δὲ οἱ ταῖς ἐξουσίαις χρώμενοι, καὶ τῷ πλουτεῖν, προτιμῶσι τὴν μέθην ταύτην, οὐδὲν θαυμαστόν. [1] οὐκ ἔχοντες γὰρ ἑτέραν ἡδονὴν ταύτης καλλίω, οὐδὲ μᾶλλον εὐχερῆ, καταφεύγουσιν εἰκότως ἐπὶ τὸν οἶνον. ὅθεν δὴ καὶ τὰ μεγάλα τῶν ἐκπωμάτων ἐπιχώρια γέγονε τοῖς δυνάσταις. οὐδὲ γὰρ παλαιὸν, οὐδὲ τοῦτο b γέ ἐστι παρὰ τοῖς Ἕλλησιν· ἀλλὰ νεωστὶ εὑρέθη, πεμφθὲν ἐκ τῶν βαρβάρων. ἐκεῖνοι γὰρ ἀπεστερημένοι τῆς παιδείας, ὁρμῶσιν ἐπὶ τὸν πολὺν οἶνον, καὶ πορίζονται τροφὰς περιέργους καὶ παντοίας. ἐν δὲ τοῖς

1 οὐδὲν καινόν. *Epit.*

4. Quaerendum, inquam, an *maioribus e poculis* biberint priſci. Nam Dicaearchus quidem Meſſenius, Ariſtotelis diſcipulus, in libro DE Alcaeo, *parvis* ait *poculis eos uſos eſſe, dilutiusque bibiſſe.* Chamaeleon vero Heracleota, in libro DE Temulentiâ (ſi modo verborum recte memini) ſcribit: »Si hi, qui potentiâ & opibus valent, temulentiam hanc omnibus aliis praeponunt voluptatibus, nil mirum eſt. Cum enim nullam aliam habeant voluptatem hac honeſtiorem aut magis expeditam, ad vinum merito confugiunt. Quapropter etiam maiora pocula apud exteros dynaſtas potiſſimum reperiuntur. Nam apud Graecos ne hic quidem mos antiquus eſt; ſed recens inventus, & a barbaris adſcitus. Illi quippe, liberaliori inſtitutione carentes, ad multum vini uſum ruunt, & curioſos ſibi variosque cibos

περὶ τὴν Ἑλλάδα τόποις οὔτ' ἐν γραφαῖς οὔτ' [1] ἐπὶ
τῶν πρότερον εὑρήσομεν ποτήριον εὐμέγεθες εἰργασμέ-
νον, πλὴν τῶν ἐπὶ τοῖς ἡρωϊκοῖς. τὸ γὰρ ῥυτὸν ὀνομα-
ζόμενον μόνοις τοῖς ἥρωσιν ἀπεδίδοσαν. ὃ καὶ δόξει τι-
σὶν ἔχειν ἀπορίαν· εἰ μή τις ἄρα φήσειεν, διὰ τὴν ὀξύ-
c τητα τῆς ἐπιφανείας τῶν δαιμόνων καταδειχθῆναι τοῦ-
το. χαλεπτοὺς γὰρ καὶ πλήκτας τοὺς ἥρωας νομίζου-
σι, καὶ μᾶλλον νύκτωρ ἢ μεθ' ἡμέραν. ὅπως οὖν μὴ
διὰ τὸν τρόπον, ἀλλὰ διὰ τὴν μέθην φαίνωνται τοιοῦ-
τοι, δημιουργοῦσιν αὐτοὺς πίνοντας ἐκπώμασι μεγά-
λοις. καί μοι δοκοῦσι λέγειν οὐ κακῶς οἱ φάσκοντες
τὸ μέγα ποτήριον φρέαρ ἀργυροῦν εἶναι." Ἐν τούτοις
ἀγνοεῖν ἔοικεν ὁ Χαμαιλέων, ὅτι οὐκ ἔστι μικρὸν τὸ παρ'
Ὁμήρῳ διδόμενον τῷ Κύκλωπι ὑπ' Ὀδύσσεως κισσύ-
d βιον. οὐ γὰρ ἂν τρὶς πιών, οὕτως κατηνέχθη ὑπὸ μέθης,

1 Deeſſe nonnihil videtur.

quaerunt. In Graeciae vero tractibus neque in picturis, [nec in poëmatibus] inveniemus olim poculum insignis cuiusdam magnitudinis confectum, niſi heroicis temporibus. Nam *rhytum* quod vocatur, ſolis heroibus tribuerunt. Quod ipſum quidem dubitationem movere nonnullis poſſit: niſi quis fortaſſe dixerit, ea cauſſa id eſſe inſtitutum, quia tam praecipites ad iram ſaepe comparent illi ſemidei. Nam feroces & ad inſligenda verbera praecipites heroas perhibent, & magis noctu quam interdiu. Ut igitur non tam ſuopte ingenio, quam per temulentiam tales eſſe videantur, faciunt illos maioribus bibentes poculis. Ac mihi haud male videntur dicere, qui *magnum poculum* dicunt eſſe *puteum argenteum.* a Quo loco oblitus videtur Chamaeleon, non eſſe parvum poculum ciſſybium, quod apud Homerum Cyclopi ab Ulyſſe porrigitur. Quod ſi enim exiguum fuiſſet, non, poſtquam ter exhauſit, ita prae temulentia proſtratus

τηλικοῦτος ὤν. ἦν οὖν καὶ τότε μεγάλα ποτήρια· εἰ μὴ αἰτιάσεταί τις τὴν δύναμιν τοῦ οἴνου, ἣν αὐτὸς Ὅμηρος ἐξηγήσατο, ἢ τὸ ἄηθες τῆς πόσεως τοῦ Κύκλωπος, ἐπεὶ τὰ πολλὰ ἐγαλακτοπώτει.[1] ἢ τάχα καὶ βαρβαρικὸν ἦν τὸ ἔκπωμα,[2] εἴπερ μέγα ἦν, ἐκ τῆς Κικόνων εἰλημμένον λείας. Τί οὖν ἔχομεν λέγειν περὶ τοῦ Νέστορος ποτηρίου, ὃ μόλις ἂν νέος βαστάσαι ἴσχυσεν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρε· περὶ οὗ καὶ αὐτοῦ διδάξει τι ἡμᾶς ὁ Πλούταρχος. Ὥρα οὖν κατακλίνεσθαι. e

V.

Καὶ κατακλιθέντων· Ἀλλὰ μήν, ὁ Πλούταρχος ἔφη, κατὰ τὸν Φλιάσιον ποιητὴν Πρατίναν „οὐ γᾶν αὐλακισμένην ἀρῶν,[3] ἀλλὰ σκύφον μαστεύων,[4] κυλικηγορήσων ἔρχομαι· οὐ τῶν Κυλικράνων εἷς ὑπάρχων, οὓς χλευάζων Ἕρμιππος ὁ κωμῳδιοποιὸς ἐν τοῖς Ἰάμβοις φησίν·

Κύλιξ: *Calyx.*

1 ἐγαλάκτοπότει edd. cum ms. *Ep.* 2 ποτήριον edd. 3 ἀνδρῶν edd. cum ms. *A.* Deeſt ea vox *Epit.* 4 ματεύων forſ.

fuiſſet, qui tantae fuit ſtaturae. Erant igitur etiam tum magna pocula: niſi quis vini illius vim cauſſetur, quam Homerus etiam expoſuit; aut quod ei potui adſuetus non fuerit Cyclops, nonniſi lac fere bibere ſolitus. Aut fortaſſe etiam barbaricum fuit illud poculum, cum magnum eſſet, e Ciconum praeda acceptum. Quid vero dicemus de Neſtoris poculo, quod vel iuvenis aliquis aegre tollere potuiſſet, ſenex autem Neſtor nullo labore tollebat? de quo ipſo etiam nonnihil nos Plutarchus docebit. Sed nunc, agite, tandem diſcumbamus.

5. Qui quum accubuiſſent, Plutarchus ſic eſt exorſus: At ego, quod ait Phliaſius poëta Pratinas, *non ſulcatum reportaturus agrum, ſed ſcyphum mihi diri cupiens, accedo ſuper poculis diſputaturus.* (κυλικηγορήσων.) Nec vero unus ex illis *Cylicranibus* ſum equidem, quos irridens Hermippus comicus in Iambis ait:

Εἰς τὸ Κυλικράνων βαδίζων σπηλιόπεδον ἀφικόμην· εἶδον οὖν τὴν Ἡράκλειαν, καὶ μάλ' ὡραίαν πόλιν. Cylicranes.

Ἡρακλεῶται δ' εἰσὶν οὗτοι, οἱ ὑπὸ τῇ Οἴτῃ κατοι-
f κοῦντες, ὥς φησι Νίκανδρος ὁ Θυατειρηνός· ὀνομασθῆ-
ναι φάσκων αὐτοὺς ἀπό τινος Κύλικος, γένος Λυδοῦ, [1]
ἑνὸς τῶν Ἡρακλεῖ συστρατευσαμένων. Μνημονεύει δὲ
αὐτῶν καὶ Σκυθινὸς [2] ὁ Τήϊος ἐν τῇ ἐπιγραφομένῃ
Ἱστορίᾳ, λέγων οὕτως· „Ἡρακλῆς, λαβὼν Εὔρυτον καὶ
τὸν υἱὸν, ἔκτεινε, φόρους πρήσσοντας παρ' Εὐβοέων.
Κυλικράνας ἐξεπόρθησε, ληϊζομένους· καὶ αὐτόθι πό-
a λιν ἐδείματο Ἡράκλειαν τὴν Τραχινίαν [3] καλεομένην.“
Πολέμων δὲ, ἐν τῷ πρώτῳ τῶν ἐς Ἀδαῖον καὶ Ἀντί-
γονον, φησὶν οὕτως· „Τῆς δὲ Ἡρακλείας, τῆς ὑπὸ
τὴν Οἴτην καὶ Τραχῖνα, τῶν οἰκητόρων μὲν Ἡρακλέους
τινὲς ἀφικόμενοι ἐκ Λυδίας Κυλικράνες, οἱ δ' Ἀθα-
μᾶνες, ἀφ' ὧν οἱ τόποι [4] διαμένουσιν· οἷς οὐδὲ τῆς πο-

1 Αυσοῦ edd. & γένους Αυσοῦ ed. Baf. & Caf. 2 Σκυθῖνος ms. *Ep.*
3 Τραχινίαν edd. 4 Haud fatis integra videtur oratio.

In Cylicranum taeniae-fimilem agrum iter faciens perveni: vidi igitur Heracleam, pulcrum valde oppidum.

Sunt autem hi Heracleotae, qui fub Oeta monte habitant, ut ait Nicander Thyatirenus: nomen illos inveniſſe dicens a Cylice quodam, e Lydia oriundo, uno ex Herculis commilitonibus. Meminit eorumdem Scythinus Teius in opere, quod Hiſtoria inſcribitur, ubi ait: »Hercules, Eurytum eiusque filium captos occidit, quod tributa exegiſſent ab Euboeenſibus. Cylicranas devaſtavit, rapinâ viventes: ibique urbem condidit Heracleam, quae Trachinia adpellatur.« Polemon vero, primo libro ad Adaeum & Antigonum, ita ſcribit: »Heracleae incolae, quae ſub Oeta & Trachine eſt, partim Cylicranes ſunt quidam, qui cum Hercule ex Lydia advenerant, alii Athamanes, a quibus (habitata)

λιτείας μετέδοσαν οἱ Ἡρακλεῶται, συνοίκους ἀλλοΣύλους ὑπολαβόντες. κυλικράνες δὲ λέγονται, ὅτι τοὺς ὤμους κεχαραγμένοι [1] κύλικας ἦσαν."

VI.

Numidarum mapalia.

Οἶδα δὲ καὶ Ἑλλάνικον ἐν Ἐθνῶν Ὀνομασίαις λέγοντα, ὅτι „Λιβύων τῶν Νομάδων τινὲς οὐδὲν ἄλλο κέκτηνται, ἢ κύλικα καὶ μάχαιραν καὶ ὑδρίαν· [2] καὶ ὅτι σκίας ἔχουσιν ἐξ ἀνθερίκου πεποιημένας μικρὰς, ὅσον σκιᾶς ἕνεκα, ὰς καὶ περιφέρουσιν, ὅπου ἂν πορεύωνται." Πολλοῖς δὲ καὶ ὁ ἐν Ἰλλυριοῖς [3] τόπος διαβόητός ἐστιν, ὁ καλούμενος Κύλικες· παρ' ᾧ ἐστι τὸ Κάδμου καὶ Ἁρμονίας μνημεῖον, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν. καὶ Πολέμων δὲ, ἐν τῷ Περὶ τοῦ Μορύχου, ἐν Συρακούσαις φησὶν ἐπ' ἄκρᾳ τῇ Νήσῳ, πρὸς τῷ τῆς Ὀλυμπίας ἱερῷ ἐκτὸς τοῦ τείχους, ἑσχάραν τινὰ εἶναι, ἀφ' c

Cadmi & Harmoniae tumulus.

1 κεχαραγμένοι edd. κεχρισμένοι Ms. 2 Temere ὑδρείαν ed. Cas. 3 Ἰλλυρίοις edd.

b

superſunt loca: cum quibus ius adminiſtrandae civitatis non communicarunt Heracleotae, pro peregrinis habentes qui cum ipſis habitarent. *Cylicranes* autem dicuntur, quod calicis formam humeris inuſtam habent. «

6. Memini etiam Hellanicum, in Gentium Nominibus, tradere »Numidarum Libyae nonnullos nihil aliud in bonis habere, niſi calicem, & gladium, & hydriam: uti autem domunculis ex albuco (*anthericon* Graeci vocant) confectis exiguis, umbrae tantum captandae gratia; quas quocumque proficiſcuntur circumferunt.« Eſt etiam a multis celebratus in Illyriorum finibus locus, cui *Cylices* (id eſt, *Calices*) nomen: apud quem eſt Cadmi & Harmoniae ſepulcrum, ut Phylarchus tradit ſecundo & viceſimo Hiſtoriarum. Polemo vero in libro De Morycho ſcribit, Syracuſis in extrema Inſula, ad Olympiae templum extra murum, focum quemdam (*ſi-*

ἧς φησι τὴν κύλικα [1] ναυστολοῦσιν ἀναπλέοντες, μέχρι τοῦ γενέσθαι τὴν ἐπὶ τοῦ νεὼ τῆς Ἀθηνᾶς ἀόρατον ἀσπίδα· καὶ οὕτως ἀφιᾶσιν ἐς τὴν θάλασσαν, κεραμέαν κύλικα, καθέντες εἰς αὐτὴν ἄνθεα καὶ κηρία καὶ λιβανωτὸν ἄτμητον, καὶ ἄλλα ἄττα μετὰ τούτων ἀρώματα.

VII. Xenophanis convivium.

Ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνη, πλῆρες ὂν πάσης θυμηδίας·

Νῦν γὰρ δὴ ξάπεδον [2] καθαρὸν, καὶ χεῖρες ἁπάντων,
καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτίθεις στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρατὴρ δ' ἕστηκεν μεστὸς εὐφροσύνης·
ἄλλος [3] δ' οἶνος ἕτοιμος, ὃς οὔ ποτε φησὶ προδώσειν,

d

1 τὸν Κύλικα edd. 2 δάπεδον edd. 3 ἀλλῳ edd.

ve aram) esse, unde calicem navi deducunt in altum proficiscentes, usque dum clypeus templo Minervae impositus non amplius cerni potest: ibi tum in mare illum dimittunt, fictilem (dico) calicem, floribus & favis & thuris granis integris aliisque quibusdam aromatibus repletum.

7. Quum vero vestrum videam convivium, prorsus ut illud apud Xenophanem Colophonium, omnis laetitiae plenum:

Iam enim pavimentum mundum, puraeque manus omnium,
itemque calices: est qui plexas convivis imponit coronas;
alius suaveolentum unguentum in phialâ porrigit:
statque cratera hilaritatis plena:
aliud autem vinum paratum, quod numquam nos desertum se profitetur,

μείλιχος, ἐν κεράμοις, ἄνθεος ὀσδόμενος·
ἐν δὲ μέσοις ἀγνὴν ὀδμὴν λιβανωτὸς ἵησι·
ψυχρὸν δ' ἐστὶν ὕδωρ, καὶ γλυκὺ, καὶ καθαρόν.
πάρκεινται δ' ἄρτοι ξανθοὶ, γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἄνθεσιν αὐτὸ μέσον πάντη πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
Χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν [1] εὐφρονας ἄνδρας,
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις,
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
πρήσσειν· ταῦτα γὰρ ὧν ἐστι προχειρότερον.
Οὐχ ὕβρις πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο
οἰκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος.
ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὡς ἡ [2] μνημοσύνη· καὶ τὸν, ὃς ἀμφ' ἀρετῆς·

1 ὑμνεῖν corr. Casaub. 2 ὥς οἱ corr. Coray.

dulce, in doliis, redolens flores:
inque vestrûm medio thus castum spirat odorem;
estque aqua gelida, & dulcis, & pura:
adpositique panes flavi; & honorabilis mensa
caseo & melle pingui onusta,
& ara media floribus usquequaque operta est,
totamque domum cantus tenet & laetitia.
Primum igitur Deum celebrare bonos viros oportet
faustis hymnis, puroque sermone:
eique libare, & precari ut facere quae iusta sunt
possint: sic enim illa faciliora.
Nec vero flagitium est, tantum bibere vini, quantum si habeas, possis
domum redire sine comite, nisi senex admodum.
Virum vero laudare oportet illum, qui, postquam bibit,
bona & utilia loquitur,
quae ei memoria suggerit; & hunc qui de virtute differit,

οὔτι μάχας διέπει [1] Τιτήνων, οὐδὲ γιγάντων,
οὐδέ τε κενταύρων, πλάσματα τῶν προτέρων, [2]
ἀσπασίας φλεδόνας, [3] τοῖς [4] οὐδὲν χρηστὸν ἔνεστι.
a Θεῶν δὲ [5] προμηθείην αἰὲν ἔχειν ἀγαθήν.

VIII.

Anacreontis & Ionis elegi.

Καὶ ὁ χαρίεις δ' Ἀνακρέων φησίν·
Οὐ φιλέω, ὃς [6] κρητῆρι [7] παρὰ πλέῳ οἰνοποτάζων,
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει.
ἀλλ' ὅστις Μουσέων τε καὶ ἁγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων, ἐρατῆς μνήσεται εὐφροσύνης.

Καὶ Ἴων δ' ὁ Χῖος φησίν·
b Χαιρέτω ἡμέτερος βασιλεὺς, σωτήρ τε πατήρ τε.
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες
κιρνάντων προχύταισιν ἐν ἀργυρέοις· [8] ὁ δὲ χρυσὸς [9]
οἶνον ἔχων χειρῶν νιζέτω [10] εἰς ἔδαφος.

1 διέπειν edd. 2 ἢ στάσιας προτέρων edd. πλασμάτων προτέρων mssti. 3 † φενδόνας edd. ἢ στάσιας φενδόνας Ms. 4 Forſ. τεῖς. 5 Deeſt δὲ vulgo. 6 Οὐ φίλος ὃς edd. Οὐ φιλεος ms. *A.* Οὐ φιλέω ὃς ms. *Ep.* Οὐ φιλῶ ὃς malles. 7 κρατῆρι edd. 8 Vulgo h. l. προχοαῖσιν ἐν ἀργυρέαις. 9 ὁ δ' ἕκαστος corr. Bentl. & vſ. ſq. ἰζέτω. ὁ δὲ Χρύσης Toup. 10 εἰβέτω corr. Weſt.

non pugnas commemorat Titanum, neque gigantum,
aut Centaurorum, figmenta veterum,
delectabiles nugas, quibus frugi nihil ineſt.
Sed Deorum ſemper recta cura habenda.

8. Similiter venuſtus Anacreon ait:

Non placet ille mihi, plena inter pocula quisquis
diſſidia & Martis bella cruenta refert:
ſed qui Muſarum Veneriſque illuſtria dona
commiſcet, lepidis ſeque dat usque iocis.

Ion vero Chius ait:

Salve rex noſter, ſervatorque, paterque.
Nobis vero crateram pincernae famuli
miſceant gutturniis argenteis: & aurum
vino plenum manibus effundatur in terram.

Σπένδοντες δ' ἀγνῶς Ἡρακλεῖ τ', Ἀλκμήνῃ τε, 5
Προκλεῖ, Περσείδαις τ', ἐκ Διὸς ἀρχόμενοι,
πίνωμεν, παίζωμεν, ἴτω διὰ νυκτὸς ἀοιδή, c
ὀρχείσθω τίς. ἐκὼν δ' ἄρχε Φιλοφροσύνης.
ὄντινα δ' [1] εὐειδὴς μίμνει θήλεια πάρευνος,
κεῖνος τῶν ἄλλων κυδρότερον πίεται. 10

Ἐποιοῦντο δὲ καὶ οἱ ἑπτὰ καλούμενοι σοφοὶ συμποτικὰς ὁμιλίας. „Παραμυθεῖται γὰρ ὁ οἶνος καὶ τὴν τοῦ γήρως δυσθυμίαν" φησὶ Θεόφραστος [2] ἐν τῷ Περὶ Μέθης.

IX.

Innoxia hilaritas.

Διὸ συνιοῦσιν ἡμῖν ἐπὶ τὰς Διονυσιακὰς ταύτας λαλιὰς „οὐδεὶς ἂν [3] εὐλόγως φθονήσαι νοῦν ἔχων, κατὰ τοὺς Ἀλέξιδος Ταραντίνους,

— οἳ τῶν πέλας
οὐδὲν ἀδικοῦμεν οὐδέν'. οὐκ ἄρ' [4] οἶσθ', ὅτι d

1 Abeſt δ' ed. Baſ. & Caſ. 2 φησὶν ὁ Θεοφρ. edd. 3 Deeſt ἂν edd. 4 οὐδὲν ἄρ' edd. οὐδένα. ἄρ' mssti, & carent οὐκ.

Libantes vero caſte Herculi, & Alcmenae,
Proclei, & Perſidis, a Iove auſpicati,
bibamus, ludamus, noctem transigamus canendo
ſaltandoque. Lubens vero praeſide amicorum hilaritati!
Quem enim formoſa manet mulier coniux,
is caeteris auguſtius bibito.

Inſtituebant vero etiam ſeptem Sapientes, qui vocantur, convivalia colloquia. »Solatur enim vinum etiam ſenectutis moroſitatem:« ait Theophraſtus in libro de Temulentia.

9. Quare quum nos ad has Baccho ſacras convenerimus confabulationes:

— *Nulli datur,*

quod Alexis in Tarentinis ait,

cauſſa invidendi nobis, qui in nullum ſumus

τὸ καλούμενον ζῆν τοῦτο διατριβῆς χάριν
ὄνομ' ἐστὶ ὑποκόρισμα τῆς ἀνθρωπίνης
μοίρας. ἐγὼ γὰρ, εἰ μὲν εὖ τις ἢ κακῶς
φησειέ με κρίνειν, [1] οὐκ ἔχοιμ' ἀντιφράσαι· [2]
ἔγνωκα γοῦν οὕτως, ἐπισκοπούμενος,
εἶναι μανιώδη πάντα τ' ἀνθρώπων ὅλως·
ἀποδημίας δὲ τυγχάνειν ἡμᾶς ἀεὶ
τοὺς ζῶντας, ὥσπερ εἰς παννύχιόν τινα
ἀφειμένους, [3] ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους,
εἰς τὴν διατριβὴν, εἰς τὸ φῶς τε τοῦθ', ὃ δὴ
ὁρῶμεν. ὃς δ' ἂν πλεῖστα γελάσῃ καὶ πίῃ,
καὶ τῆς Ἀφροδίτης ἀντιλάβηται τὸν χρόνον
τοῦτον ὃν ἀφεῖται, καὶ τύχῃ τ' [4] ἐράνου τινὸς,
παννυχίσας, ἥδιστ' [5] ἀπῆλθεν οἴκαδε.

Καὶ, κατὰ τὴν καλὴν οὖν Σαπφώ·

1 Temere κρινεῖν ed. Caſ. 2 ἔχοιμ' ἂν φράσαι mssti. 3 ἀφιγμένους edd. 4 τύχῃ γ' edd. 5 παννυχίσας ἥδιστ', iungit Grot.

iniurioſi. Neſcius – ne es, vivere
blandum eſſe nomen aevi quod nos degimus,
humana quo ſors vocis mollitur ſono?
Ego, alius recte me ſecus – ne exiſtimet
ſentire, verbum nunquam commutaverim:
ſed hoc me longa docuit obſervatio,
plenas furoris eſſe res mortalium.
Revera peregrinamur quotquot vivimus:
& tamquam ad ludos celebres qui inſtituunt iter,
ita nos tenebricâ mortis egreſſi plagâ
venimus in aevum hoc, atque in hanc quam cernimus
lucem. Qui vero Venere, potu, riſibus,
tempus, quod ſinitur, maxime transegerit,
praeſertim in ſibi par ſi ſodalitium incidit,
ſuaviſſime actis ludis ſe referet domum.

Igitur, quod pulcra Sappho ait:

„Ἔλθε, Κύπρι, χρυσείαισιν
ἐν κυλίκεσσιν ἁβροῖς
συμμεμιγμένον θαλίαισι
νέκταρ οἰνοχοοῦσα
τούτοισι τοῖς ἑταίροις,
ἐμοῖς γε [1] καὶ σοῖς.“

X. Dextrorsum bibere.

Πρὸς οὓς [2] λεκτέον, ὅτι τρόποι εἰσὶ πόσεων κατὰ πόλεις ἴδιοι, ὡς Κριτίας παρίστησιν ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ διὰ τούτων· „Ὁ μὲν Χῖος καὶ ὁ Θάσιος ἐκ μεγάλων κυλίκων ἐπιδέξια· ὁ δ' Ἀττικὸς, ἐκ μικρῶν ἐπιδέξια· ὁ δὲ Θετταλικὸς, ἐκπώματα προπίνει ὅτῳ ἂν βούλωνται μεγάλα. Λακεδαιμόνιοι [3] δὲ, τὴν παρ' αὐτῷ ἕκαστος πίνει, ὁ δὲ παῖς ὁ οἰνοχόος, [4] ὅσον ἂν ἀποπίῃ.“ Τοῦ δ' ἐπιδέξια πίνειν μνημονεύει καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις, οὕτως·

1 ἐμοῖς τε malebam. 2 Πρὸς οἷς legebam cum Caſ. 3 Λακεδαιμονίοις ed. Caſ. 4 ὁ δὲ παῖς ὁ οἰνοχοεῖ edd.

Ades, Cypri! aureis
calicibus nectar
epulis mixtum
infunde elegantibus
hisce ſodalibus
meisque tuisque.

10. Praeterea vero dicendum, diverſum eſſe diverſis civitatibus in bibendo morem, ut Critias docet in Lacedaemoniorum Republica, dicens: » Chius quidem & Thaſius maioribus poculis ad dextram: Atticus vero minoribus ad dextram: Theſſalus pocula magna propinat cuicumque libuerit. Apud Lacedaemonios vero quisque bibit poculum ſibi adpoſitum; & quantum quisque ebibit, tantum rurſus infundit famulus. Moris vero *ad dextram bibendi* meminit etiam Anaxandrides in Ruſticis, ubi ait:

a Α. Τίνα δὴ παρεσκευασμένοι πίνειν τρόπον
ἐστὲ νυνί; [1] λέγετε. Β. Τίνα τρόπον πίνειν [2]
ἡμεῖς; τοιοῦτον οἷον ἂν καὶ σοὶ δοκῇ.
Α. Βούλεσθε δῆπου τὸν ἐπιδέξια, πάτερ,
λέγειν ἐπὶ τῷ πίνοντι; Β. Τὸν ἐπιδέξια
λέγειν; Ἄπολλον, ὥσπερεὶ [3] τεθνηκότι.

XI. Fictilia pocula.

Παραιτητέον δ' ἡμῖν τὰ κεράμεα [4] ποτήρια. καὶ γὰρ Κτησίας „παρὰ Πέρσαις, φησὶν, ὃν ἂν βασιλεὺς ἀτιμάσῃ, κεραμέοις [5] χρῆται.“ Χοιρίλος δὲ ὁ ἐποποιὸς φησίν·

b Χερσὶν ἄνολβον ἔχω [6] κύλικος τρύφος ἀμφὶς ἐαγὸς,
ἀνδρῶν δαιτυμόνων ναυάγιον· οἷά τε πολλὰ
πνεῦμα Διωνύσοιο πρὸς ὕβριος [7] ἔκβαλεν ἀκτάς. [8]

Conticta fictilia.

Ἐγὼ δὲ εὖ οἶδα, ὅτι ἥδιστα πολλάκις ἐστὶ τὰ κερά-

1 Forſ. ἐστὲ δὲ νυνί; 2 Forſ. πιεῖν. 3 Forſ. ὥσπερ ἐπὶ τεθν. 4 κεράμια edd. 5 κεραμείοις ed. Baſ. & Caſ. 6 ὄλβον ἔχω vulgo. ἔχων κολοβὸν corr. Valck. 7 Ὕβρεως edd. Ὕβρεως mssti. 8 ἔκβαλ' ἄνακτος vulgo.

Α. *Quonam igitur maxime modo bibituri*
nunc eſtis? dicite. Β. *Quonam modo bibituri*
ſumus? quo tibi modo placuerit?
Α. *Vultis igitur illum ad dextram, pater,*
dicere ſuper bibente? Β. *Modum ad dextram*
dicere? ſancte Apollo! velut ſuper mortuo.

11. Sunt autem nobis procul amandanda fictilia pocula. Etenim Cteſias ait: » Apud Perſas, ſi quem rex ignominia adfecit, is fictilibus utitur. « Choerilus vero epicus poëta ait:

Manibus inutilem teneo calicis teſtam undique fractam,
hominum epulantium naufragium: qualia multa
ventus Bacchi in petulantiae eiicit litora.

Nec vero me latet, iucundiſſima nonnumquam eſſe fi-

μεα ἐκτώματα, ὡς καὶ τὰ παρ' ἡμῖν ἐκ τῆς Κόπτου καταγόμενα· μετὰ γὰρ ἀρωμάτων συμφυραθείσης τῆς γῆς ὀπτᾶται. καὶ Ἀριστοτέλης δὲ ἐν τῷ Περὶ Μέ-
Rhodiacae ollulae. θης „Αἱ Ῥοδιακαὶ, φησὶ, προσαγορευόμεναι χυτρί- c
δες, διά τε τὴν ἡδονὴν εἰς τὰς μέθας παρεισφέρονται, καὶ διὰ τὸ θερμαινομένας τὸν οἶνον ἧττον ποιεῖν μεθύσκειν. σμύρνης γὰρ καὶ σχοίνου [1] καὶ τῶν τοιούτων ἑτέρων [2] εἰς τὸ ὕδωρ ἐμβληθέντων ἕψονται· καὶ παραχεόντων εἰς τὸν οἶνον, ἧττον μεθύσκουσιν." καὶν ἄλλῳ δέ μέρει φησίν· „Αἱ Ῥοδιακαὶ χυτρίδες γίνονται, σμύρνης, σχοίνου ἄνθους, κρόκου, βαλσάμου, ἀμώμου, κινναμώμου, συνεψηθέντων· ἀφ' ὧν τὸ πινόμενον τῷ οἴνῳ παραχυθὲν οὕτω μέθας ἵστησιν, ὥστε καὶ τῶν d
ἀφροδισίων παραλύειν, τὰ πνεύματα πέττον."

XII. Οὐ δεῖ οὖν ἡμᾶς ἐκμανῶς πίνειν, ἀποβλέποντας εἰς τὸ πλῆθος τῶν καλῶν τούτων καὶ παντοδαπῶν κατὰ

1 σχίνου edd. & ms. *Ep.* & sic iterum paullo post. 2 Deest ἑτέρων edd.

ctilia pocula; velut apud nos quae ex Copto oppido advehuntur: coquuntur enim ex terra, cuius massa cum aromatibus subacta est. Et Aristoteles in libro De Temulentia ait: »*Rhodiacae* quae vocantur *ollulae*, cum voluptatis caussa in compotationes adhibentur, tum quod, quando calidae sunt, efficiunt ut vinum minus inebriet. Nam myrrham & iuncum odoratum & alia talia in aquam iniecta decoquuntur: quod decoctum si adfunditur vino, minus illud inebriat.« Aliâque eiusdem operis parte scribit: »*Rhodiacae ollulae* fiunt, myrrhâ, squinantho, (sive iunco adorato,) croco, balsamo, amomo, cinnamomo unà decoctis: qua de potione nonnihil vino adfusum ira prohibet ebrietatem, ut etiam Veneris vim enervet, spiritus vitales cohibens.«

12. Caveamus igitur, ne pulcrorum horum poculorum, & multifario artificio fabricatorum, multitudinem

τὰς τέχνας ἐκπωμάτων. Τὴν δὲ μανίαν τοὺς πολλοὺς, Οἰνομανία, δοξομανία, & alia talia vocab.
Ϛητὶν ὁ Χρύσιππος ἐν τῇ Εἰσαγωγῇ τῇ Περὶ Ἀγαθῶν καὶ Κακῶν πραγματείας, τοῖς πλείστοις προσάπτεσθαι. καλεῖσθαι γοῦν τὴν μὲν γυναικομανίαν, τὴν δὲ ὀρτυγομανίαν. τινὲς δὲ καὶ δοξομανεῖς καλοῦσι τοὺς Φιλοδόξους· καθάπερ τοὺς Φιλογύνους, γυναικομανεῖς· e καὶ τοὺς Φιλόρνιθας, ὀρνιθομανεῖς· τὸ αὐτὸ σημαινόντων τῶν ὀνομάτων τούτων. ὥστε καὶ τὰ λοιπὰ μὴ ἀλλοτρίως καλεῖσθαι τὸν τρόπον τοῦτον. καὶ γὰρ ὁ Φίλοψος καὶ ὁ ὀψοφάγος οἷον ὀψομανής ἐστιν· καὶ ὁ Φίλοινος, οἰνομανής· καὶ ὡσαύτως ἐπὶ τῶν ὁμοίων· οὐκ ἀλλοτρίως τῆς μανίας κειμένης ἐν αὐτοῖς, ὡς ἁμαρτάνουσι μανικῶς, καὶ τῆς ἀληθείας ἐπιτλεῖον ἀπαρτωμένους. [1]

XIII. Ἡμεῖς οὖν, ὡς καὶ παρ' Ἀθηναίοις ἐγίνετο, ἅμα

1 ἀπαρτάμενοι vulgo.

conſpicientes, *inſano* quodam *ſtudio* (ἐκμανῶς) ad bibendum feramur. Ἐκμανῶς dico: nam »vocabulum μανία, ut ait Chryſippus in Iſagoge quae de Bonis & Malis tractat, (*ſive*, in Introductione ad tractationem de Bonis & Malis) plurimis rebus vulgo iungitur. Sic, verbi gratiâ, aliud inſani ſtudii genus γυναικομανίαν vocamus, aliud ὀρτυγομανίαν: quorum illud in *mulieres*, hoc in *coturnices* fertur. Sunt etiam qui δοξομανεῖς dicant hos *qui gloriae ſtudent*; quemadmodum γυναικομανεῖς, *qui mulieribus*; & ὀρνιθομανεῖς, qui *avibus*: nam omnibus iſtis vocabulis eadem notio (*inſani ſtudii*) ſubiecta eſt. Quare nec eſt alienum, alia etiam omnia ſimiliter nominari. Nam & φίλοψος & ὀψοφάγος, id eſt, *obſoniorum ſtudioſus*, eſt quodammodo ὀψομανής: & *vini ſtudioſus*, οἰνομανής: & ſic de caeteris. Nec enim abſurde μανία, id eſt, *inſania*, his tribuitur; quippe qui inſaniâ quadam ac furore peccantes, ab eo quod verum eſt longius aberrant.«

13. Nos igitur, quemadmodum apud Athenienſes mo-

In ſpectaculis olim potabant Attici.

ἀκροώμενοι τῶν γελωτοποιῶν τούτων καὶ μίμων, ἔτι δὲ τῶν ἄλλων τεχνιτῶν, ὑποπίνωμεν.[1] λέγει δὲ περὶ f τούτων ὁ Φιλόχορος οὑτωσί· „Ἀθηναῖοι τοῖς Διονυσιακοῖς ἀγῶσι, τὸ μὲν πρῶτον ἠριστηκότες καὶ πεπωκότες ἐβάδιζον ἐπὶ τὴν θέαν, καὶ ἐστεφανωμένοι ἐθεώρευν· παρὰ δὲ τὸν ἀγῶνα πάντα οἶνος αὐτοῖς ὠνοχοεῖτο, καὶ τραγήματα παρεφέρετο, καὶ τοῖς χοροῖς εἰσιοῦσιν ἐνέχεον πίνειν, καὶ διηγωνισμένοις ὅτ' ἐξεπορεύοντο ἐνέχεον πάλιν· μαρτυρεῖν δὲ τούτοις καὶ Φερεκράτη τὸν κωμικὸν, ὅτι μέχρι τῆς καθ' ἑαυτὸν ἡλικίας οὐκ ἀσίτους εἶναι τοὺς θεωροῦντας." Φανόδημος[2] δὲ „πρὸς τῷ ἱερῷ, φησὶ, τοῦ ἐν Λίμναις Διονύσου, τὸ a γλεῦκος φέροντας τοὺς Ἀθηναίους, ἐκ τῶν πίθων τῷ θεῷ κιρνάναι, εἶτ' αὐτοὺς[3] προσφέρεσθαι· ὅθεν καὶ Limnaeus Bacchus. Λιμναῖον κληθῆναι τὸν Διόνυσον, ὅτι μιχθὲν τὸ γλεῦκος τῷ ὕδατι τότε πρῶτον ἐπόθη κεκραμένον. διόπερ

1 Temere ὑποπίνομεν ed. Caſ. 2 Φανέδημος edd. 3 αὐτοῖς edd.

ris fuit, ſimul audiamus feſtiva haec acromata & mimos aliosque artifices, ſimulque bibamus. Verba facit autem de his Philochorus, in hunc modum: »Athenienſes, ludis Bacchicis, prius quidem pranſi potique ad ſpectacula ſe conferebant, & coronati ſpectabant: toto vero tempore quo agebantur ludi, vinum eis infundebatur, adponebanturque bellaria; atque etiam choris ingredientibus vinum infundebant, & finito ſpectaculo discedentibus rurſus infundebant. Et confirmari etiam, ait, Pherecratis teſtimonio, ad ipſius usque aetatem comediſſe ſpectantes.« Phanodemus vero ait »ad aedem Bacchi qui in Limnis eſt muſtum ferentes Athenienſes, e doliis Deo miſcere, deinde ipſos bibere: unde etiam *Limnaeum* nominatum Bacchum, quia mixtum aquâ muſtum tunc primum biberunt temperatum: eâ-

Nymphae Bacchi nutrices.

ὀνομασθῆναι τὰς πηγὰς Νύμφας καὶ τιθήνας τοῦ Διονύσου, ὅτι τὸν οἶνον αὐξάνει τὸ ὕδωρ κιρνάμενον. ἡσθέντες οὖν τῇ κράσει, ἐν ᾠδαῖς ἔμελπον τὸν Διόνυσον, χορεύοντες, καὶ ἀνακαλοῦντες Εὐανθῆ, [1] καὶ Διθύραμ-
b βον, καὶ Βακχευτὰν, καὶ Βρόμιον." καὶ Θεόφραστος δ' ἐν τῷ Περὶ Μέθης φησὶν, ὅτι „τοῦ Διονύσου τροφοὶ αἱ Νύμφαι κατ' ἀλήθειαν. αἱ γὰρ ἄμπελοι πλεῖστον ὑγρὸν χέουσι τεμνόμεναι, καὶ κατὰ φύσιν δακρύουσι." Διόπερ καὶ Εὐριπίδης „ἕνα τῶν τοῦ Ἡλίου ἵππων, φησὶν, εἶναι

— Βακχίου φιλανθέος
Αἴθοπα, πεπαίοντ' ὀρχάτους ὀπωρινούς·
ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.

Καὶ Ὀδυσσεὺς ὥπασε

— μελιηδέα οἶνον ἐρυθρόν·
c ἓν δέπας ἐμπλήσας, ὕδατος δ' ἀνὰ εἴκοσι μέτρα

1 Εὐάν τι coniectabam, aut Εὔαντα, *Evantem.*

que cauſſâ fontes nominatos eſſe Nymphas & Bacchi nutrices, quoniam vinum augetur aquâ mixtum. Igitur laeti illâ temperatione, carminibus celebrabant Bacchum, ſaltantes, & invocantes Euanthen, (*i. e.* Floridum,) & Dithyrambum, & Bacchantem, & Bromium.« Theophraſtus vero etiam, in libro DE Temulentia: »Bacchi nutrices, inquit, revera Nymphae ſunt. Plurimum enim humoris effundunt vites cum putantur, & ſuâ naturâ lacrymantur.« Quare etiam Euripides, *Unum e Solis equis*, ait, *eſſe*

— *Aethopa, qui floridi*
Bacchi vineas autumnales maturat,
unde homines vinum Aethopa vocant.

Et Ulyſſes dedit

— *dulce vinum rubrum:*
unum poculum qui impleverat, is aquae viginti menſuras

χεῦ'. [1] ὀδμὴ δ' ἡδεῖ' [2] ἀπὸ κρητῆρος [3] ὀδώδει.
Τιμόθεος δ' ἐν Κύκλωπι· „Ἔχευε δὲ ἐν μὲν δέπας κίσσινον μελαίνας σταγόνος ἀμβρότας, ἀφρῷ βρυάζον· εἴκοσι δὲ μέτρ' ἀνέχευεν, ἔμισγε δ' αἷμα [4] Βακχίου νεορρύτοις δακρύοισι Νυμφᾶν." [5]

XIV. Poculorum oſtentatio.

Οἶδα δέ τινας, ἄνδρες θιασῶται, καὶ μεγὰ φρονήσαντας οὐχ οὕτως ἐπὶ πλούτῳ, ὡς ἐπὶ τῷ κεκτῆσθαι πολλὰ ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ. ὧν εἷς ἐστι καὶ Πυθέας ὁ Ἀπὰς ἐκ Φιγαλίας, ὃς καὶ ἀποθνήσκων οὐκ ὤκνησεν ἐπιβέσθαι τοῖς οἰκείοις, ἐπιγράψαι αὐτοῦ τῷ μνήματι τάδε· d

Πυθέα μνῆμα τόδ' ἔστ', ἀγαθοῦ καὶ σώφρονος ἀνδρὸς,
ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον,

1 χεῦεν Ms. 2 ἡδεῖα Homeri editt. recent. 3 κρατῆρος vulgo. 4 δ' ἅμα edd. cum ms. *Ep.* δισμα ms. *A.* 5 νεορρύτῳ δακρύουσι νύμφαν edd. Verſus autem ſic videntur refingendi:

-- -- Ἔχευε δ' ἐν μὲν κίσσινον
δέπας μελαίνας σταγόνος ἀμβρότας, ἀφρῷ
βρυάζον, εἴκοσιν δὲ μέτρα νᾱχύτου· (vel, νηχύτου·)
ἔμισγε δ' αἷμα Βακχίου νεορρύτοις
δακρύοισι Νυμφᾶν. --

adfundebat: ſuavis autem odor a cratere ſpirabat.
Timotheus vero, in Cyclope, ait:

— *Infudit unum hederaceum*
poculum nigrae guttae ambroſiae, ſpumâ
luxurians, viginti vero menſuras liquidi:
miſcuitque ſanguinem Bacchi cum recens profuſis
lacrymis Nympharum.

14. Scio vero etiam, amici epulones, fuiſſe homines, qui non tam divitiis gloriarentur, quam quod magnam poſſediſſent poculorum argenteorum aureorumque copiam. Quorum unus eſt Pytheas ex Phigalia Arcadiae: qui etiam vitâ exceſſurus non dubitavit iniungere ſuis, ut ſepulcro ſuo haecce inſcriberent:

Pytheae hoc monumentum eſt, boni viri probique
cui calicum copia infinita fuit

ἀργυρέων, χρυσοῦ τε, καὶ ἠλέκτροιο φαεινοῦ.
τῶν προτέρων πάντων πλείονα πασάμενος.[1]

Τοῦτο δ' ἱστορεῖ Ἁρμόδιος ὁ Λεπρεάτης, ἐν τῷ Περὶ
e τῶν κατὰ Φιγαλίαν Νομίμων. Ξενοφῶν δ' ἐν ὀγ-
δόῳ Παιδείας, περὶ Περσῶν λέγων, γράφει καὶ ταῦ-
τα· „Καὶ μὴν ἐκπώματα ἢν μὲν ὡς πλεῖστα ἔχωσι,
τούτῳ καλλωπίζονται· ἢν δ' ἐξ ἀδίκων φανερῶς ἢ με-
μηχανημένα, οὐδὲν αἰσχύνονται. πολὺ γὰρ ἥῤῥηται ἐν
αὐτοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια." Ὁ δὲ Οἰδί-
πους δι' ἐκπώματα τοῖς υἱοῖς κατηράσατο, ὡς ὁ τὴν
κυκλικὴν Θηβαΐδα πεποιηκὼς φησὶν, ὅτι αὐτῷ παρέ-
θηκαν ἔκπωμα ὃ[2] ἀπηγορεύκει, λέγων οὕτως·

f Αὐτὰρ ὁ διογενὴς ἥρως ξανθὸς Πολυνείκης
πρῶτα μὲν Οἰδίποδι καλὴν παρέθηκε τράπεζαν
ἀργυρέην, Κάδμοιο θεόφρονος· αὐτὰρ ἔπειτα
χρύσεον ἔμπλησεν καλὸν δέπας ἡδέος οἴνου.

1 πασσάμενος vulgo. 2 ἐκπώματα ἃ edd.

ex argento & auro ſplendenteque electro.
Superioribus cunctis plura poſſederat.

Narrat hoc Harmodius Lepreata in libro de Phigalenſium Inſtitutis. Xenophon vero, octavo Inſtitutionis, de Perſis loquens, cum alia tum haec ſcribit: »Porro poculorum ſi quam maximam multitudinem habent, in hoc gloriantur: etiamque ſi iniquis artibus ea ſibi paraverint, nullo pudore tanguntur. Admodum enim apud eos invaluit iniuſtitia & turpis quaeſtus. « Oedipus vero propter pocula filios ſuos exſecratus eſt, ut ait Cyclicae Thebaidos auctor, quoniam ei poculum adpoſuerunt, quod ſibi adponi vetuerat. Poëtae verba haec ſunt:

At nobilis heros flavus Polynices
primum quidem Oedipo pulcram adpoſuit menſam
argenteam Cadmi divina ſapientis: tum deinde
aureum pulcrum poculum ſuavi vino replevit.

αὐτὰρ ὅ γ' ὡς Φράσθη παρακείμενα πατρὸς ἑοῖο
τιμήεντα γέρα, μέγα οἱ κακὸν ἔμπεσε θυμῷ,
αἶψα δὲ παισὶν ἑοῖσι μετ' ἀμφοτέροισιν ἐπ' ἀρὰς a
ἀργαλέας ἠρᾶτο· (θεὸν δ' οὐ λάνθαν' Ἐρινῦν·) [1]
ὡς οὐχὶ τὰ πατρῷά γ' ἐνὶ [2] φιλότητι δάσαιντο,
εἴη δ' ἀμφοτέροισιν ἀεὶ [3] πόλεμοί τε μάχαι τε.

XV. Agathocles ex figulo rex.

Καικίλιος δ' ὁ ῥήτωρ ὁ ἀπὸ Καλῆς ἀκτῆς, ἐν τῷ περὶ Ἱστορίας, Ἀγαθοκλέα, φησὶ, τὸν τύραννον ἐκπώματα χρυσᾶ ἐπιδεικνύντα τοῖς ἑταίροις, φάσκειν „ἐξ ὧν ἐκεράμευσε κατεσκευακέναι [4] ταῦτα." Ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισσαίοις Ἀκρίσιος, καὶ αὐτὸς ἐκπώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ τραγικός· b

Πολὺν δ' ἀγῶνα πανξένοις [5] κηρύσσεται,
χαλκηλάτους λέβητας ἐκτιθεὶς θέρειν,

1 Ἐρινὺς corr. Valck. 2 Vulgo ἃς οὔ οἱ πατρῴαν εἴη. 3 Vulgo ἀμφοτέροισι δ' ἀεὶ, & deeſt εἴη. 4 κατεσκευασμένα edd. 5 πάνξενα vulgo. Forſ. πάνξενον.

At ille ut animadvertit adpoſita ſui patris
pretioſa dona, magnam concepit animo iram,
ſtatimque filiis ſuis ambobus imprecationes
funeſtas imprecatus eſt: (nec latuit Deam Erinnyn:)
patria ut bona non illis liceat amice dividere,
ſed ſint perpetua ambobus bella pugnaeque.

15. Caecilius vero orator Calactinus, in libro de Hiſtoria, Agathoclem regem, ſcribit, pocula aurea oſtendentem ſodalibus, dicere ſolitum, *ex eis quae olim fictilia finxiſſet, ſe haec fabricaſſi.* Porro etiam apud Sophoclem, in Lariſſaeis, Acriſius quam plurima pocula habuit, ut ait tragicus:

Magnum vero certamen hoſpitibus cunctis per praeconem
denunciat,
aeneos lebetes praemio futuros proponens,

καὶ κοῖλα χρυσόκολλα, καὶ πανάργυρα
ἑκπώματ', εἰς ἀριθμὸν ἑξήκοντα δίς.

Lysimachus Babylonius.

Ποσειδώνιος δ', ἐν τῇ εἰκοστῇ ἕκτῃ τῶν Ἱστοριῶν, Λυσίμαχόν Φησι τὸν Βαβυλώνιον, καλέσαντα ἐπὶ δεῖπνον Ἵμερον, τὸν τυραννήσαντα οὐ μόνον Βαβυλωνίων, ἀλλὰ καὶ Σελευκέων, μετὰ τριακοσίων, μετὰ τὸ τὰς τρα-
c πέζας ἀρθῆναι, τετράμνουν ἑκάστῳ τῶν τριακοσίων ἔκπωμα δοῦναι ἀργυροῦν· καὶ σπονδοποιησάμενον, προπιεῖν ἅμα πᾶσιν, καὶ ἀποφέρεσθαι ἔδωκεν τὰ ποτήρια. Ἀντικλείδης δ' ὁ Ἀθηναῖος, ἐν τῷ ἑκκαιδεκάτῳ Νόστων, περὶ Γρᾶ διηγούμενος, τοῦ τὴν ἀποικίαν εἰς Λέσβον στείλαντος σὺν ἄλλοις βασιλεῦσι, καὶ ὅτι χρησμὸς ἦν αὐτοῖς, δηλώσας καταθεῖναι [1] διαπλέοντας τῷ Ποσειδῶνι εἰς τὸ πέλαγος παρθένον, γράφει καὶ ταῦτα· „Μυθολογοῦσι δὲ περὶ τῶν ἐν Μεθύμνῃ τινὲς περὶ τῆς ἀφεθείσης εἰς τὴν θάλασσαν παρθένου,

Gras, dux coloniae in Lesbum.

1 καθεῖναι videtur utique legendum.

& vaſa deaurata, & ex argento ſolido
pocula, numero bis ſexaginta.

Poſidonius vero, viceſimo ſexto Hiſtoriarum refert, Lyſimachum Babylonium, quum Himerum, qui non modo Babyloniorum, ſed & Seleucienſium fuerat tyrannus, ad coenam vocaſſet cum trecentis, ſublatis menſis unicuique trecentorum poculum argenteum quatuor minarum pondo dediſſe: factâque libatione ſimul omnibus propinaſſe, & quemque ſuum poculum ſecum auferre iuſſiſſe. Anticlides vero Athenienſis, decimo ſexto Reverſionum, ubi de Gra loquitur, qui cum aliis regibus in Lesbum inſulam coloniam duxit, quibus oraculo mandatum fuerat, ut inter navigandum Neptuno virginem in mare proiicerent, poſt alia haec ſcribit: »Nonnulli vero priſcas de rebus Methymnenſium & de proiecta in mare virgine fabulas referentes, aiunt, unum

καί φασιν, ἐρασθέντα αὐτῆς τῶν ἡγεμόνων τινὰ, ᾧ ἦν d
Enalus. τοὔνομα Ἔναλος, [1] ἐκκλυμβῆσαι, βουλόμενον ἀνασῶσαι τὴν παιδίσκην. τότε μὲν οὖν ὑπὸ κύματος αὐτοὺς ἀμφοτέρους κρυφθέντας, ἀφανεῖς γενέσθαι· χρόνῳ δ' ὕστερον, ἤδη τῆς Μεθύμνης οἰκουμένης, παραγενέσθαι τὸν Ἔναλον, καὶ διηγεῖσθαι τὸν τρόπον, καὶ ὅτι ἡ μὲν παρθένος παρὰ ταῖς Νηρηίσι διέτριβεν, αὐτὸς δὲ τὰς τοῦ Ποσειδῶνος ἔβοσκεν ἵππους· καί ποτε An. Caſ. p. καὶ κύματος [2] ἐπιφερομένου μεγάλου [3] συγκολυμ- 781 c βήσαντα αὐτὸν ἐκβῆναι, ἔχοντα κύπελλον χρυσοῦ οὕτω θαυμασίου, ὡς τὸν παρ' αὐτοῖς, αὐτῷ παραβαλλόμενον, οὐδὲν διάφορον εἶναι χαλκοῦ."

XVI.

Pocula in pretio habita.

Τιμιώτατον δ' ἦν πάλαι τὸ τῶν ἐκπωμάτων κτῆμα. Ἀχιλλεὺς οὖν ὡς ἐξαίρετόν τι εἶχεν ἀνάθημα

1 Ἔναλλος edd. & dein Ἔναλλον. 2 Poſt iſta verba evulſa e codice *A.* aliquot folia *ingentem lacunam* in libros omnes invexerunt, prava ratione diſſimulatam & imperite incruſtatam in editionibus omnibus. Nos *Supplementum*, *ex Epitoma* a Caſ. in Animadv. editum, hîc inſeruimus. 3 Deeſt vox ed. Caſ.

e ducibus, nomine Enalum, virginis amore captum, in mare profiluiſſe ſervaturum puellam: at tunc quidem undarum fluctibus opertos ambos evanuiſſe; aliquanto poſt vero, quum iam colonis frequentata Methymna eſſet, comparuiſſe Enalum, &, quid interim accidiſſet, quove pacto, narraſſe; dicentem, apud Nereidas verſari virginem, ipſum vero Neptuni equos paviſſe; fluctu autem aliquando ingenti concitato, cum eo enatantem ipſum mari egreſſum eſſe, manu tenentem poculum ex auro tam admirabili, ut, quod apud Methymnaeos reperitur, cum illo collatum, nihil ab aere differret. «

16. In maximo vero pretio olim habebatur poculorum poſſeſſio. Achilles quidem tamquam eximium ali-

„δέπας· οὐ δέ τις ἄλλος οὔτ' ἀνδρῶν [1] πίνεσκεν ἀπ' αὐτοῦ, οὔτε τέῳ σπένδεσκε θεῶν, ὅτι μὴ Διί." Καὶ ὁ Πρίαμος δὲ τὸν υἱὸν λυτρούμενος τοῖς ἐπισημοτάτοις κειμηλίοις, καὶ δέπας δίδωσι περικαλλές. Αὐτός γε μὴν ὁ Ζεὺς τῆς Ἡρακλέους γενέσεως ἄξιον ἡγεῖται δῶρον Ἀλκμήνῃ δοθῆναι [2] ποτήριον, ὅπερ Ἀμφιτρύωνι εἰκασθεὶς δίδωσιν·

d Ἃ δ' ὑποδεξαμένα θαήσατο χρύσεον αἶψα ποτήριον. Τὸν δὲ Ἥλιον ὁ Στησίχορος ποτηρίῳ διαπλεῖν φησι τὸν ὠκεανόν· ᾧ καὶ τὸν Ἡρακλέα περαιωθῆναι, ἐπὶ τὰς Γηρυόνου βόας ὁρμῶντα. Οἴδαμεν δὲ καὶ τὸ Βαθυκλέους τοῦ Ἀρκάδος ποτήριον, ὃ σοφίας ἆθλον ὁ Βαθυκλῆς τῷ κληθέντι ἀρίστῳ τῶν καλουμένων σοφῶν ἀπέλιπε. Τὸ δὲ Νέστορος ποτήριον πολλοὶ κεραμεύουσι. πλεῖστοι γὰρ περὶ αὐτοῦ συνεγράψαντο. Καὶ Θεόφιλες δὲ τὸ ποτήριον· „Χρυσέοις γοῦν δε-

1 οὔτε θεῶν vulgo, & dein omittunt θεῶν. 2 Deeſt verbum ed. Caſ.

quod cimelium habebat *poculum, ex quo nemo alius hominum bibebat, nec Deorum alii ipſe libabat niſi Iovi.* Et Priamus, filium redemturus rebus pretioſiſſimis & maxime inſignibus, *poculum* etiam *inſigni pulcritudine* dedit. Quin & Iupiter ipſe dignum munus Alcmenae offerendum, cum Herculem peperiſſet, poculum iudicat: quod is illi dat adſumtâ Amphitryonis formâ:

Illa vero acceptum ſtatim mirans contemplabatur aureum poculum. Solem vero, Steſichorus ait, poculo transvehi per oceanum: eodemque etiam transvectum eſſe Herculem, ad deducendas Geryonis boves proficiſcentem. Novimus etiam Bathyclis Arcadis poculum, quod in ſapientiae praemium Bathycles ei reliquerat, qui praeſtantiſſimus haberetur ex his qui Sapientes nominantur. Neſtoris vero poculum multi tractant: plurimi enim de eo ſcripſerunt. Sed & Diis gratum poculum eſt: *aureis*

πάεστιν ἀλλήλους δεξιοῦνται." Ἐλευθέριον δὲ, φησὶ, καὶ ἐμμελῶς [1] ἐν οἴνῳ διάγειν, μὴ κωθωνιζόμενον, μηδὲ Θρᾳκίῳ νόμῳ ἄμυστιν οἰνοποτεῖν· ἀλλὰ τῷ πώματι [2] φάρμακον ὑγείας ἐγκιρνάναι, τὸν λόγον.

XVII.

Pocula ſculpta, aurea, gemmis diſtincta.

Ὅτι διὰ σπουδῆς εἶχον οἱ ἀρχαῖοι ἐγκόλαπτον [3] ἱστορίαν ἔχειν ἐν ἐκπώμασιν. ἐν ταύτῃ δὲ τῇ τέχνῃ εὐδοκίμησαν Κίμων καὶ Ἀθηνοκλῆς. Ἐχρῶντο δὲ καὶ λιθοκολλήτοις ἐκπώμασι. Μένανδρος δέ που φησὶ καὶ ποτήριον τορευτὸν, καὶ τορευτά. Ἀντιφάνης·

Ἄλλοι δὲ καὶ δὴ βακχίου παλαιγενοῦς
ἀφρῷ σκιασθὲν [4] χρυσοκόλλητον δέπας
μεστὸν, κύκλῳ χορεῦον, ἕλκουσιν γνάθοις
ὁλκοῖς ἀπαύστοις, παντελῶς ἐστραμμένον [5]
τ' ἄνω κάτω δεικνύντες. —

1 ἐμμελὲς vulgo. 2 πόματι vulgo. 3 ἀκόλαστοι ed. Caſ. ἀκόλαστον ms. 4 Vulgo σκιὰ καὶ χρυσ. 5 ἐστραμμένοις edd. ἐστραμμένοι corr. Valck.

ſane *poculis illi ſe invicem invitant.* Eſt autem ingenui hominis, inquit, etiam in vino modeſte verſari, non ingurgitare ſe poculis, aut Thracum more merum uno hauſtu trahere: ſed potui, veluti medicamentum ſanitati inſerviens, miſcere ſermones.

17. Magnum quoque ſtudium in eo ponebant veteres, ut hiſtoriam inſculptam haberent in poculis: qua in arte claruerunt Cimon & Athenocles. Habebant vero etiam gemmis diſtincta pocula. Menander vero alicubi dicit & *poculum* τορνευτὸν, (*tornatum*) & τορευτά. (*caelata.*) Antiphanes:

Alii vero nempe etiam Bacchi veteris
ſpumâ opertum poculum gemmis diſtinctum
plenum, in orbem ſaltans, hauriunt buccis,
tractibus perpetuis, prorſus inverſum
ſumma ima oſtendentes. —

Φησὶ πρός τινα Νικόμαχος·

Ὦ χρυσοκλαῦστα, [1] καὶ - - χρυσοῦς ἐμῶν. [2]

Φιλιππίδης·

Τὰ ποτήρι' ἦν [3] ἴδῃς τὰ παρεσκευασμένα,
ἅπαντα χρυσᾶ, Τρόφιμε, νὴ τὸν οὐρανόν,
ὑπερφανῆ. [4] 'γὼ μὲν [5] γὰρ ἐξέστην ἰδών.
κρατῆρες ἀργυροῖ, κάδοι μείζους [6] ἐμοῦ.

Ὅτι Παρμενίων, συγκεφαλαιούμενος ἐν ταῖς πρὸς Ἀλέξανδρον ἐπιστολαῖς τὰ Περσικὰ λάφυρα· „Ποτηρίων, φησὶ, χρυσῶν σταθμὸς, τάλαντα Βαβυλώνια ογ', μναὶ νβ'. [7] ποτηρίων λιθοκολλήτων σταθμὸς, τάλαντα Βαβυλώνια νς', μναὶ λδ'.“

XVIII. Aquae olim affundebant vinum: non vino aquam.

Ἔθος δ' ἦν, πρότερον ἐν τῷ ποτηρίῳ ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον. ΞενοΦάνης·

Οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον

1 χρυσοπλαῦστα edd. 2 Nullum in libris lacunae indicium. Super χρυσοῦς vero notatur χρυσοῦς in noſtro msto. 3 ποτήρια ἂν vulgo. 4 ὑπερήφανα edd. οὐπερήφανα ms. 5 ἐγὼ μὲν vulgo. 6 κάδοι καὶ μείζους vulgo. 7 ιβ'. ed. Caſ.

Dicit nonnemini Nicomachus:

O tu qui aurum lacrymaris, & vomis - - aureos.

Philippides:

Pocula ſi tu illa videres, quae parata ſunt,
aurea cuncta, Trophime, per Coelum,
magnifica! Equidem eorum adſpectu attonitus fui.
Sunt crateres argentei, cadi maiores me.

Parmenio, in aliqua ſuarum ad Alexandrum Epiſtolarum, ſummam ſubducens ſpoliorum Perſicorum, ait: »Poculorum aureorum pondus, talenta Babylonica ſeptuaginta tria, librae duae & quinquaginta. Poculorum gemmis diſtinctorum pondus, talenta Babylonica quinquaginta ſex, librae triginta quatuor.«

18. Moris autem erat, prius aquam in poculum infundere, ac deinde demum vinum. Xenophanes:

Nec in calice prius miſcueris vinum

χεύας, [1] ἀλλ' ὕδωρ, καὶ καθύπερθε μέθυ.

Ἀνακρέων·

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
φέρε δ' ἀνθεμεῦντας ἡμῖν
στεφάνους· ἔνεικον, ὡς μὴ
πρὸς ἔρωτα πυκταλίζω.

Πρὸ δὲ τούτων [2] Ἡσίοδος·

Κρήνης τ' ἀενάου καὶ ἀπορρύτου, ἥτ' ἀθόλωτος,
τρὶς [3] ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἐμμεν οἴνου.

Θεόφραστος· „Ἐπεὶ καὶ τὰ περὶ τὴν κρᾶσιν ἐναντίως εἶχε τὸ παλαιὸν τῷ νῦν παρ' Ἕλλησιν ὑπάρχοντι. οὐ b γὰρ τὸ ὕδωρ ἐπὶ τὸν οἶνον ἐπέχεον, [4] ἀλλ' ἐπὶ τὸ ὕδωρ τὸν οἶνον· ὅπως ἐν τῷ πίνειν ὑδαρέστερον χρῶνται [5] τῷ ποτῷ, καὶ τούτου ποιησάμενοι τὴν ἀπόλαυσιν ἧττον ὀρέγοιντο τοῦ λοιποῦ. καὶ τὸ πλεῖστον δὲ εἰς τοὺς κοττάβους καταναλίσκον."

1 ἐγχέας ed. Caſ. ἐγχεύας ms. 2 τούτῳ ed. Caſ. 3 τρεῖς ed. Caſ. 4 ἐπιχεῖν ed. Caſ. 5 Rectius foret χρῶντο.

fundens, ſed aquam, & ſuperne vinum.

Anacreon:

Fer aquam, fer vinum, o puer,
floridasque fer nobis
coronas: adfer, ut ne
amorem contra luctor.

Ante hos vero Heſiodus:

Ex fonte perenni defluenteque, & qui ſit illimis,
tres funde aquae partes, quartam vero vini.

Theophraſtus: »Nam & quod ad mixtionem ſpectat, mos olim obtinuit contrarius ei quod noſtra aetate fieri apud Graecos ſolet. Non enim illi aquam vino adfundebant, ſed vinum aquae: ut in bibendo dilutiore uterentur potu, & poſtquam de hoc ad ſatietatem bibiſſent, minus deſiderarent reliquum. Illud vero ipſum utplurimum in cottabos inſumebant.«

XIX. Clari caelatores.

Ἔνδοξοι δὲ τορευταὶ, Ἀθηνοκλῆς, Κράτης, Στρατόνικος, Μυρμηκίδης ὁ Μιλήσιος, Καλλικράτης ὁ Λάκων, καὶ Μῦς· οὗ εἴδομεν σκύφον Ἡρακλεωτικὸν, τεχνικῶς ἔχοντα Ἰλίου ἐντετορευμένην [1] πόρθησιν, ἔχοντα ἐπίγραμμα τόδε·

Γράμματα [2] Πηρασίοιο, [3] τέχνα Μυός. ἐμμὶ δὲ ἔργον [4]
Ἰλίου αἰπεινᾶς, ἂν ἔλον Αἰακίδαι.

XX. Cretenſium amaſii.

c Ὅτι κλεινοὶ λέγονται παρὰ Κρησὶν οἱ ἐρώμενοι. σπουδὴ δὲ αὐτοῖς, παῖδας ἁρπάζειν· καὶ τοῖς καλοῖς παρ' αὐτοῖς ἄδοξόν ἐστιν, ἐραστοῦ μὴ τυχεῖν. Καλοῦνται δὲ οἱ ἁρπασθέντες, παρασταθέντες. διδόασι δὲ τῷ ἁρπασθέντι στολὴν, καὶ βοῦν, καὶ ποτήριον. ἣν καὶ πρεσβύτεροι γενόμενοι φέρουσιν, ἵνα δῆλοι ὦσι κλεινοὶ γενόμενοι.

1 ἐντετορνευμένην ed. Caſ. 2 Γράμμα vulgo. 3 Παῤῥασίοιο. corrigit Iac. 4 Immo ἔμμι δὲ πέρσις.

19. Clari caelatores: Athenocles, Crates, Stratonicus, Myrmecides Mileſius, Callicrates Lacedaemonius, & Mys: cuius vidimus ſcyphum Heracleoticum, in quo artificioſe caelata erat Ilii expugnatio, inſcriptis his verſibus:

Delineatio Parrhaſii, ars Myis: ſum vero expugnatio Ilii excelſae, quam ceperunt Aeacidae.

20. *Cleini* (quaſi dicas *clari*, vel *celebres*) vocantur apud Cretenſes amaſii. Studium autem in hoc ponunt Cretenſes, ut pueros rapiant: & formoſis apud illos probro eſt, non habere amatorem. Vocantur vero rapti, παρασταθέντες. (id eſt, *ad deditionem compulſi.*) Dono dant autem raptis ſtolam & bovem & poculum. Et ſtolam quidem illam geſtant etiam cum ſeniores ſunt, quo ſe *cleinos* fuiſſe oſtendant.

XXI.

Beatos se somniant adpoti.

Ὁρᾷς δ', ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.

Αὔξει γὰρ καὶ τρέφει μεγαλύνει τε τὴν ψυχὴν ἡ ἐν d τοῖς πότοις διατριβὴ, ἀναζωπυροῦσα καὶ ἀνεγείρουσα μετὰ φρονήσεως τὸν ἑκάστου νοῦν, ὡς φησιν ὁ Πίνδαρος·

Ἀνίκ' ἀνθρώπων καματώδεες
εἴχονται μέριμναι στηθέων ἔξωθεν, [1]
πελάγει δ' ἐν πολυχρύσου πλούτου
πάντες ἴσα [2] νέομεν ψευδῆ πρὸς ἀκτάν.
ὃς μὲν ἀχρήμων, ἀφνειὸς τότε·
τοὶ δ' αὖ πλουτέοντες —

εἶτ' ἐπάγει·

— ἀέξονται
φρένας, ἀμπελίνοις τόξοις δαμέντες.

1 ἔξω corr. Mitsch. & vs. sq. πολυχρύσοιο : idem paullo aliter distribuit versus. 2 ἴσα scribunt Schneid. & Mitsch.

21. *Vides, quum bibunt homines, tum sunt divites, impetrant quae cupiunt, vincunt in iudicio, beati sunt, amicisque beneficia conferunt.*

Auget enim & alit & magnificat animum bibendi oblectatio, novam vitam novosque spiritus non sine prudentia excitans in mente cuiusque; ut Pindarus ait:

Quo tempore hominum laboriosae
discedunt curae e pectoribus:
& in oceano aureae opulentiae
omnes perinde natamus mendacem versus oram.
Inops quisquis est, is tunc opulentus:
divitesque rursus —

dein subiicit:

— augentur
prudentiâ, vitigineis telis domiti.

XXII. Poculorum varia nomina. Ἀγκύλη.

Ἀγκύλη. ποτήριον πρὸς τὴν τῶν κοττάβων παιδιὰν χρήσιμον. Κρατῖνος·

Πιεῖν δὲ θάνατος οἶνον, ἂν ὕδωρ ἐπῇ.
ἀλλ' ἴσον ἴσῳ μάλιστ' ἀκράτου δύο χοᾶς [1]
πίνουσ' ἀπ' ἀγκύλης, ἐπονομάζουσά τε [2]
ἵησι λάταγας τῷ Κορινθίῳ πέει.

καὶ Βακχυλίδης·

Εὖτε τὴν ἀπ' ἀγκύλης ἵησι τοῖς νεανίαις,
λευκὸν ἐντείνουσα πῆχυν. —

Ἐντεῦθεν νοοῦμεν τοὺς παρ' Αἰσχύλῳ „ἀγκυληστοὺς κοττάβους." Λέγονται δὲ καὶ δόρατα ἀγκυληστὰ, καὶ μεσάγκυλα· ἀλλ' ἀπὸ ἀγκύλης, ἤτοι τῆς δεξιᾶς χειρός. καὶ ἡ κύλιξ δὲ ἡ ἀγκύλη, διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τῇ προέσει. ἦν γὰρ τοῖς παλαιοῖς πεφροντισμένον, καλῶς καὶ εὐσχημόνως κότταβον προΐεσθαι. καὶ οἱ πολλοὶ ἐπὶ τούτῳ μᾶλλον ἐφρόνουν

1 χοέας vulgo. 2 Abeſt τε vulgo.

22. *Ancula.* (*quaſi dicas*, *Incurva.*) Poculum quod cottaborum ludo inſervit. Cratinus:

Haec vero mors eſt, vinum bibere, cui aqua mixta.
At illa par pari maxime meri duos congios
bibens de ancula, & nominatim ſalutans,
proiicit latagas Corinthio veretro.

Et Bacchylides:

Quando illa latagam ex ancula proiicit adoleſcentibus,
candidum intendens brachium. —

Hinc intelligimus illos apud Aeſchylum *anculatos cottabos*. Dicuntur vero etiam *haſtae anculatae* & μεσαγκύλαι: ſed ab ἀγκύλη, i. e. *incurvatâ*, ſcilicet *dextrâ manu*. Atque etiam calix, qui *ancula* (ἀγκύλη) dicitur, nomen ab eo invenit, quod in proiiciendo *curvatur* dextra. Nam magno ſtudio exercebantur veteres, ut belle & decore iaculari ſcirent cottabum: & plerique hoc genere ſo-

μέγα, ἢ ἐπὶ τῷ εὖ ἀκοντίζειν. ὠνομάσθη οὖν ἀπὸ τοῦ τῆς χειρὸς σχηματισμοῦ, ὃν ποιούμενοι εὐρύθμως ἐρρίπτουν εἰς τὸ κοτταβιον. καὶ οἴκους δὲ ἐπιτηδείους κατεσκεύαζον εἰς ταύτην τὴν παιδιάν. f

XXIII. Ὅτι παρὰ Τιμαχίδᾳ ΑΙΑΚΙΣ [1] ἡ κύλιξ καλεῖται.

Acatus. ΑΚΑΤΟΣ, ποτήριον ἐοικὸς πλοίῳ. Ἐπικράτης·

— Κατάβαλλε τ' ἀκάτια, [τὰ] [2] κυλίκια
αἶρου τὰ μείζω, κ' εὐθὺ [3] τοῦ καρχησίου
ἄνελκε τὴν γραῦν, τὴν νέαν τ' ἐπηυρίσας, [4]
πλήρωσον, εὐτρεπῆ τε [5] τὸν κοντὸν ποοῦ,
καὶ τοὺς κάλους [6] ἔκλυε, καὶ χάλα πόδα. [7]

ΑΩΤΟΝ, παρὰ Κυπρίοις, τὸ ἔκπωμα, ὡς Πάμφιλος. Φιλήτας δὲ, ποτήριον οὖς οὐκ ἔχον. a

ΑΡΟΚΛΟΝ, ἡ φιάλη· παρὰ τῷ Κολοφωνίῳ Νικάνδρῳ.

1 Αἰακὶξ Hesych. & Suid. 2 Abest vulgo artic. 3 καὶ εὐθὺ vulgo. 4 δ' ἐπηυρίσας edd. An ἐπαυρίσας? 5 εὐτρεπῆ τε edd. 6 Rectius fuerit κάλως. 7 πόδας edd.

lertiae multo magis gloriabantur, quam sagittas iaculandi peritiâ. Nomen igitur illud obtinuit ex manus gesticulatione, qua utentes concinne iaculabantur in cottabium. Quin etiam propria conclavia huic ludicro idonea construebant.

23. Apud Timachidam *aeacis* nominatur calix.

Acatus, vas potorium simile navigio. Epicrates:

— Deiice acatia, calices
tolle maiores, & usque ad carchesium
sursum trahe vetulam, iuvenem vero . . .
imple, & paratum fac contum,
& rudentes solve, & pedem laxa.

Aoton, apud Cyprios, poculum, ut ait Pamphilus. Philetas vero interpretatur poculum non habens aures.

Aroclon, phiala; apud Nicandrum Colophonium.

XXIV. Ἄλεισον & Δέπας.

Ἄλεισον, καὶ Δέπας, τὸ αὐτό. Ὅμηρος ἐν Ὀδυσσείᾳ, περὶ Πεισιστράτου· „Ἐν δ' οἶνον ἔχευε χρυσείῳ δέπαϊ." εἶτα παρακατιὼν, [1] τὸ αὐτό·

Τούνεκά σοι δώσω χρύσειον ἄλεισον.

καὶ ἐξῆς τὸ αὐτὸ πάλιν·

Δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας. —

Φησὶν οὖν Ἀσκληπιάδης ὁ Μυρλεανός· „Δοκεῖ μοι Σιαλῶδες εἶναι τὸ δέπας. σπένδουσι γὰρ ἐν αὐτῷ. λέ-
b γει γοῦν Ὅμηρος „δέπας, δι' οὗ Διὶ μόνῳ σπένδεσκεν Ἀχιλλεύς." Καλεῖται δὲ δέπας, ἤτοι, ὅτι δίδοται πᾶσι τοῖς σπένδειν βουλομένοις, εἴ τε καὶ τοῖς πίνειν· ἢ, ὅτι δύο ὦπας εἶχε· ταῦτα δὲ ἂν εἴη τὰ ὦτα. τὸ δὲ ἄλεισον, ἤτοι ἀπὸ τοῦ ἄγαν λεῖον εἶναι· ἢ, ὅτι ἁλίζεται ἐν αὐτῷ τὸ ὑγρόν. Ὅτι δὲ δύο ὦτα εἶχε, δῆλον·

1 εἶτα πρσὶὰν dixerit Athenaeus.

24. *Aleiſon*, & *Depas*, idem ſunt. Homerus in Odyſſeâ de Piſiſtrato: *Vinum autem infundebat in aureum poculum.* (δέπας.) Tum paululum progreſſus, idem poculum *aleiſon* vocat:

Quare tibi dabo aureum ἄλεισον.

Deinde vero rurſus de eodem loquens, ait:

Dedit vero Telemacho pulcrum δέπας.

Igitur Aſclepiades Myrleanus ait: » Videtur mihi δέπας eſſe vas paterae formam habens: nam ex eo libationem faciunt. Dicit certe Homerus δέπας, *quo uni Iovi libabat Achilles.* Vocatur autem δέπας, ſive ab eo quod *datur omnibus* (δίδοται πᾶσι) libare volentibus aut etiam bibere: ſive quod *duas* ὦπας habebat; fuerint autem hae, *duae aures.* Ἄλεισον vero ſive ab eo nomen invenit, quod *valde laeve* (ἄγαν λεῖον) ſit: ſive quod in eo *colligitur* (ἁλίζεται) liquor. Habuiſſe autem duas aures, perſpicuum eſt:

Ἦτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε
χρύσεον, ἄμφωτον. —

Ἀμεικύπελλοι. Ἀμφικύπελλον δὲ λέγων αὐτὸ, οὐδὲν ἄλλο σημαίνει, ἢ ὅτι ἦν ἀμφίκυρτον.“ Σιληνὸς δὲ ἀμφικύπελλον φησὶ, τὸ μὴ ἔχον ὦτα. ἄλλοι δὲ, τὴν ἀμφὶ ἀντὶ τῆς περὶ εἶναι· ἵν' ᾖ περίποτον, τὸ πανταχόθεν πίνειν ἐπιτήδειον. Παρθένιος δὲ, διὰ τὸ περικεκυρτῶσθαι τὰ ὠτάρια. κυφὸν [1] γὰρ εἶναι τὸ κυρτόν. Ἀνίκητος δὲ, τὸ μὲν κύπελλον, φησὶ, φιάλην εἶναι· τὸ δὲ ἀμφικύπελλον, ὑπερφίαλον, τὸ ὑπερήφανον καὶ καλόν. εἰ μὴ ἄρα τὸ ποικίλον τῇ κατασκευῇ ἄλεισον θέλει τις ἀκούειν, ἔξω λειότητος ὄν. Πείσανδρος δέ φησιν, Ἡρακλέα Τελαμῶνι τῆς ἐπὶ Ἴλιον στρατείας ἀριστεῖον ἄλεισον δοῦναι.

XXV. Ὅτι ἐστὶ ποτήριον, ΑΜΑΛΘΕΙΑΣ ΚΕΡΑΣ, καὶ ΕΝΙΑΥΤΟΣ καλούμενον.

1 κύφον edd.

Sane ille pulcrum ἄλεισον ſublatum ibat
aureum, utrimque aures habens.

Idem vero poculum cum ἀμφικύπελλον vocat poëta, nihil aliud ſignificat, niſi quod *circumcirca convexum* fuerit.“ Silenus vero ἀμφικύπελλον ait eſſe, *non habens aures*. Alii vero particulam ἀμφὶ pro περὶ accipiendam ſtatuunt, ut ſit veluti περίποτον, nempe *quod quacumque parte ad bibendum ſit commodum*. Parthenius vero: quod *circum curvatae* ſint *auriculae*: κυφὸν enim, eſſe *incurvum*. Anicetus autem, κύπελλον ait eſſe *phialam* vel *pateram*: ἀμφικύπελλον vero, quaſi ὑπερφίαλον, id eſt, *ſuperbum & pulcrum*. Sed ἄλεισον fortaſſe dictum intellexerit aliquis a varietate operis, ut quod *non* ſit *laeve*. (ἔξω λειότητος.) Piſander vero ait: » Herculem Telamoni praemium expeditionis adverſus Troiam dediſſe ἄλεισον.“

25. Eſt poculi genus, *Amaltheae cornu*, itemque ἐνιαυτὸς, (i. e. *annus*) nominatum.

d Ἄμφωτις. ξύλινον ποτήριον· ᾧ χρῆσθαι τοὺς ἀγροίκους, Φιλήτας φησὶ, τοὺς ἀμέλγοντας εἰς αὐτὸ, καὶ οὕτω πίνοντας.

Ἄμυστις. καλεῖται μὲν οὕτω πόσις τις, ἣν ἐστιν ἀπνευστὶ πίνειν, μὴ μύσαντα. καλοῦσι δὲ οὕτω καὶ τὰ ποτήρια ἀφ' ὧν ἐστι πιεῖν εὐμαρῶς. καὶ τὸ ῥῆμα δὲ ἐξεμύστισε [1] φασὶ, τὸ ἐφ' ἓν πνεῦμα πιεῖν. ὡς ὁ κωμικὸς Πλάτων· Amystis.

Λύσας δὲ ἀργὴν στάμνον εὐώδους ποτοῦ,
ἵησιν εὐθὺς κύλικος εἰς κοῖλον κύτος·
ἔπειτ' ἄκρατον κ' οὐ [2] τεταργανωμένον
ἔπινε, κἀξεμύστισεν.

e Ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους, μεμετρημένου πρὸς ὠκύτητα χρόνου. ὡς Ἀμειψίας·

— Αὔλει μοι μέλος.
σὺ δ' ᾄδε πρὸς τήνδ' [3] ἐκπίομαι δ' ἐγὼ, τέως

1 Forſ. ἐξημύστισεν. 2 καὶ τεταργ. edd. καὶ οὐ τεταργ. ms.
3 Poſt πρὸς τήνδ' interpungit Caſ. Nos nihil in contextu mutavimus. In verſione vero coniecturas noſtras ſecuti ſumus.

Amphotis: ligneum poculum, quo uti ruſticos ait Philetas, lac in illud mulgentes, ex eoque bibentes.

Amystis. Sic vocatur potio quaedam, quae *uno ſpiritu, non preſſis labiis,* (hiante ore) ebibitur. Sic vero etiam vocant pocula, e quibus facile bibi poteſt. Ac verbo etiam utuntur ἐκμυστίζειν, [*ſive,* ἐξαμυστίζειν,] de eo qui *uno hauſtu bibit.* Sic Plato comicus:

Solutâ candidâ amphorâ fragrantis liquoris,
infudit ſtatim calicis cavam in alvum:
dein meracum nec id turbatum
ebibit, unoque hauſtu ingurgitavit. (ἐξεμύστισε.)

Bibebant vero *amyſtin* cum carmine, ad temporis velocitatem dimenſo. Ut apud Ameipſiam:

— *Tibiâ mihi cane carmen.*
Tu vero ad illud canta. At ego hanc interim ebibam,

αὔλει σὺ, καὶ τὴν [1] ἄμυστιν λάμβανε.
Οὐ χρὴ πολλὰ ἔχειν θνητὸν ἄνθρωπον,
ἀλλ' ἐρᾶν καὶ κατεσθίειν. σὺ δὲ κάρτα φείδῃ.

XXVI. Ἀντιγονίς. ἔκπωμα, ἀπὸ τοῦ βασιλέως Ἀντιγόνου· ὡς ἀπὸ Σελεύκου, σελευκίς· καὶ ἀπὸ Προυσίου, προυσίς. [2]

Ἀναφαία. ἡ θερμοποτὶς, παρὰ Κρησίν. f

Aryballos & Aryſtis. Ἀρύβαλλος. ποτήριον κάτωθεν εὐρύτερον, ἄνω δὲ συνηγμένον, ὡς τὰ συσπαστὰ βαλάντια· ἃ καὶ αὐτὰ διὰ τὴν ὁμοιότητα ἀρυβάλλους τινὲς καλοῦσιν. Ἀριστοφάνης, Ἱππεῦσι· „κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ ἀμβροσίαν." οὐ πόρρω δέ ἐστι τοῦ ἀρυστίχου ὁ ἀρύβαλλος, ἀπὸ τοῦ ἀρύτειν [3] καὶ βάλλειν. λέγουσι δὲ καὶ πρόχουν, ἄρυστιν. Σοφοκλῆς·

1 Forſ. αὐλεῖς σύ· κᾆτα τὴν &c. 2 Rectius fuerit προυσιάς. 3 ἀρύειν edd. ἀρύγειν ms.

dum tu canis: dein tu amyſtin accipe.
»Non oportet multâ habere mortalem hominem,
»niſi amare & edere.« Tu vero valde parcus es.

26. *Antigonis.* Poculum, a rege Antigono nomen habens: ſicut a Seleuco, *ſeleucis;* & a Pruſia, *pruſis.* (ſive, *pruſias.*)

Anaphaea. Vas potorium e quo calidum bibitur, apud Cretenſes.

Aryballus. Poculum, infra amplius, ſuperne anguſtius, ad ſimilitudinem marſupiorum quae ſuperne contrahuntur: quae & ipſa ob illam ſimilitudinem *aryballi* a nonnullis nominantur. Ariſtophanes, Equitibus:

defundere in caput ex aryballo ambroſiam.

Non multum vero differt ab *aryſticho* aryballus; derivatum nomen a verbis ἀρύτω (vel ἀρύω, *haurio*) & βάλλω, *iacio.* Dicunt vero etiam gutturnium, *aryſtin.* Sophocles:

— Κακῶς σὺ, πρὸς θεῶν, ὀλουμένη,
a ἣ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας.

Ἔστι δὲ καὶ πόλις Ἰώνων, Ἄρυστις.

Ἀργυρίς. εἶδος ποτηρίου, οὐ μόνον ἐξ ἀργυροῦ. Ἀναξίλας· „καὶ πίνειν ἐξ ἀργυρίδων χρυσῶν.“

XXVII. Batiaca.

Βατιάκιον, λαβρώνιος, τραγέλαφος, πρίστις, ποτηρίων ὀνόματα. Περσικὴ δὲ φιάλη ἡ βατιάκη. Ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἐν ταῖς Ἐπιστολαῖς ταῖς πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ σατράπας φέρεταί τις ἐπιστολή, ἐν ᾗ ταῦτα γέγραπται· „Βατιάκαι ἀργυραῖ κατάχρυσοι τρεῖς. κόνδυα ἀργυρᾶ ρος'· τούτων ἐπίχρυσα λγ'. τισιγίτης ἀργυροῦς εἷς. μύστροι ἀργυροῖ
b κατάχρυσοι λβ'. λαχανοθήκη [1] ἀργυρᾶ μία. οἰνοφόρον βαρβαρικὸν ἀργυροῦν ποικίλον ἕν. ἄλλα ποτήρια παντοδαπὰ μικρὰ κθ'. [2] ἄλλα ποτήρια μικρά, ῥυτὰ,

1 An λαγανοθήκη? *Arcula reponendis placentulis.* 2 Forſ. μακρὰ κθ'. *maiora viginti novem.*

— *Male tu, per Deos, perdenda,*
quae τὰς ἀρύστεις habens comiſſatum huc veniſti.

Eſt vero etiam Ionicum oppidum, cui *Aryſtis* nomen.

Argyris. Poculi genus: nec vero ſolum ex argento. Anaxilas:

Et bibere aureis ex argyridibus.

27. *Batiacium, labronius, tragelaphus, priſtis*, poculorum nomina. Eſt vero *batiaca*, phiala Perſica. Igitur in Alexandri regis Epiſtolis ad Aſiae ſatrapas datis habetur una, in qua ſcripta ſunt haec: *Batiacae argenteae deauratae tres: Condya argentea* CLXXVI: *e quibus deaurata* XXXIII. *Tiſigites argenteus unus. Cochlearia argentea deaurata* XXXII. *Olerum repoſitorium argenteum unum. Vas vinarium barbaricum argenteum variegatum unum. Alia vaſa potoria varii generis minora* [ſive, *maiora?*] XXIX. *Alia pocula mi-*

καὶ βάτια, [1] καὶ λυκουργοὶ [2] ἐπίχρυσοι, καὶ θυμιατήρια, καὶ τρύβλια."

ΒΗΣΣΑ. ποτήριον παρ' Ἀλεξανδρεῦσι, πλατύτερον ἐκ τῶν κάτω μερῶν, ἐστενωμένον ἄνωθεν.

XXVIII. Baucalis.

ΒΑΥΚΑΛΙΣ. ἐν Ἀλεξανδρείᾳ καὶ αὕτη. ὡς Σώπατρος ὁ παρῳδός·

βαυκαλὶς ἡ τετράκυκλος.

καὶ πάλιν·

Νᾶμα μελισσῶν ἡδὺ μὲν ὄρθρου
καταβαυκαλίσαι τοῖς ὑπὸ πολλῆς
κραιπαλοβόσκου δίψης κατόχοις.

Κατασκευάζουσι δὲ, φησὶν, οἱ ἐν Ἀλεξανδρείᾳ τὴν ὕαλον, μεταῤῥυθμίζοντες πολλάκις πολλαῖς ἰδέαις ποτηρίων, παντὶς τοῦ πανταχόθεν κατακομιζομένου κεράμου τὴν ἰδέαν μιμούμενοι. Λύσιππον τὸν ἀνδριαντοποιὸν φασι, Κασάνδρῳ χαριζόμενον, ὅτε συνῴκισε τὴν Κα-

1 βασία codex noster. 2 Forſ. λυκιουργεῖς.

nora, rhyta, & batia, & lycurgi aurati, & thuribula, & catini.

Bessa. Poculum apud Alexandrinos, latius in parte inferiore, in anguſtum rediens ſuperne.

28. *Baucalis.* Etiam haec Alexandriae in uſu eſt. Sopater parodus:

Baucalis quatuor circulis inſtructa.

Rurſusque idem:

Liquorem apum ſuave eſt mane
catabaucalizare his, qui ex crapulâ
multa ſiti tenentur.

Conficiunt vero, ait (Athenaeus,) Alexandrini vitrum, conformantes illud ſaepe in varias poculorum formas, omnium undiquaque advectorum figlinorum formas imitantes. Lyſippum ſtatuarium aiunt, Caſandro gratificaturum, quum Caſandream ille coloniam

σάνδρειαν, Φιλοδοξοῦντι καὶ βουλομένῳ ἰδιόν τινα εὑρέσθαι κέραμον, διὰ τὸ πολὺν ἐξάγεσθαι τὸν Μενδαῖον οἶνον ἐκ τῆς πόλεως, φιλοτιμηθῆναι, καὶ πολλὰ καὶ παντοδαπὰ γένη παραθέμενον κεραμείων, ἐξ ἑκάστου ἀποπλασάμενον ἴδιον [1] ποιῆσαι πλάσμα.

d ΒΊΚΟΣ.[2] Ξενοφῶν, Ἀναβάσεως πρώτῳ· „Κύρος ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς.“ Ἔστι δὲ φιάλῶδες ποτήριον, κατὰ τὸν Παριανὸν Πολυδεύκην. XXIX. Bίκος.

ΒΟΜΒΥΛΙΟ'Σ· [3] Θηρίκλειον Ῥοδιακόν. οὗ περὶ τῆς ἰδέας Σωκράτης φησίν· „Οἱ μὲν ἐκ φιάλης πίνοντες ὅσον θέλουσι, τάχιστ' ἀπαλλαγήσονται· οἱ δὲ ἐκ βομβυλίου, κατὰ μικρὸν στάζοντες.“ [4] — Ἔστι δὲ καὶ ζῷόν τι. Bombylius.

ΒΡΟΜΙΑ'ΔΕΣ. ἔκπωμα ὅμοιον τοῖς μακροτέροις τῶν σκύφων.

1 ἰδία ms. in contextu : ἴδιον inter lineas. 2 Alibi Βῖκος.
3 Βομβυλίος ms. 4 Forſ. στάζοντος.

conderet, & ambitioſe cuperet novum invenire genus vaſorum vinariorum, propter magnam Mendaei vini copiam quae ex illa urbe exportabatur, multum in eo ſtudii poſuiſſe; & propoſitis multis & omnis generis figlinis, de unoquoque genere aliquid effingentem, propriam quamdam conformationem effeciſſe.

29. Bίκος. (*Amphora anſata, dolium.*) Xenophon, primo libro Expeditionis Cyri: *Miſit Cyrus amphoras vini ſemiplenas.* Eſt autem vas potorium, phialae vel paterae formam habens, ſecundum Pollucem Parianum.

Bombylius: thericleum Rhodiacum. Cuius de forma Socrates ait: *Qui ex phiala bibunt quantum volunt, brevi ſe expedire poſſunt: qui vero ex bombylio, ſtillatim trahentes.* — Eſt vero etiam animalculum, bombylius.

Bromiades. Poculum ſimile longioribus (*ſive*, maioribus) ſcyphis.

XXX. Literata pocula.

ΓΡΑΜΜΑΤΙΚΟΝ ΈΚΠΩΜΑ, τὸ γράμματα ἔχον ἐγκεχαραγμένα. Ἄλεξις·

Α. Τὴν ὄψιν εἶπω τοῦ ποτηρίου γέ σου [1]
πρώτιστον. ἦν γὰρ στρογγύλον, μικρὸν πάνυ, p. 466 d
παλαιὸν, ὦτα συντεθλασμένον σφόδρα,
ἔχον κύκλῳ τε γράμματ'. Β. Ἆρά γ' ἕνδεκα e
χρυσᾶ; Διὸς Σωτῆρος; Α. Οὐκ ἄλλου μὲν οὖν.

Τοιοῦτον εἴδομεν ποτήριον γραμματικὸν ἀνακείμενον ἐν Καπύῃ τῆς Καμπανίας τῇ Ἀρτέμιδι ἀργυροῦν, ἐκ τῶν Ὁμηρικῶν ἐπῶν κατεσκευασμένον καὶ ἐκτετυπωμένον, ἔχον τὰ ἔπη χρυσοῖς γράμμασιν, ὡς τὸ Νέστορος ὄν. Ἀχαιὸς δ' ὁ τραγικὸς ἐν Ὀμφάλῃ καὶ αὐτὸς περὶ γραμματικοῦ ποτηρίου ποιεῖ τοὺς Σατύρους τάδε λέγοντας·

Ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ πάλαι, f
τὸ γράμμα φαίνων, [2] δέλτ', ἰῶτα, καὶ τρίτον

1 σοὶ utique videtur legendum. 2 φαῖνον vulgo.

30. *Literatum poculum:* quod literas insculptas habet. Alexis:

A. *Formam poculi vis tibi dicam*
primum. Erat scilicet rotundum, exiguum valde,
vetus, aures fractas habebat admodum.
Literae autem in circuitu erant. B. *An ergo undecim*
aureae? Iovis sospitatoris? A. *Non aliae utique.*

Tale vidimus poculum literatum argenteum Capuae in Campania, Dianae dicatum, ex Homericorum versuum praescripto confectum & configuratum, ipsosque versus aureis literis inscriptos habens, quasi Nestoris esset. Achaeus vero etiam Tragicus in Omphale Satyros inducit de literato poculo haecce loquentes:

Scyphus vero Dei vocat me iam dudum,
inscriptionem hanc ostendens: delta, iota, tertiumque

ω̄, νῦ,[1] τό τ' ῡ̄ [2] πάρεστιν, κ' οὐκ ἀπουσίαν
ἐκ τοῦ 'πέκεινα σᾶν τό τ' οῦ̄ [3] κηρύσσετον.

Ἐν τούτοις λείπει τὸ ῡ̄ στοιχεῖον· ἐπεὶ πάντες οἱ ἀρχαῖοι [4] τῷ οῦ̄ [5] ἀπεχρῶντο, οὐ μόνον ἐφ' ἧς νῦν τάττε-
a ται δυνάμεως· ἀλλὰ καὶ ὅτε τὴν δίφθογγον διασημαίνει, διὰ τοῦ οῡ μόνου [6] γράφουσι. παραπλησίως δὲ καὶ τὸ εῑ [7] γράφουσιν, ὅταν καὶ καθ' αὑτὸ μόνον ἐκφωνῆται, καὶ ὅταν συζευγνυμένου τοῦ ἰῶτα. κἂν τοῖς προκειμένοις οὖν οἱ Σάτυροι τοῦ Διονύσου τὴν τελευταῖαν συλλαβὴν διὰ τοῦ ο̄ μόνου, ὡς βραχέος [8] ἐγκεχαραγμένου, ἐδήλωσαν· ὅτι συνυπακούεσθαι δεῖ καὶ τὸ ῡ̄, ἵνα ᾖ Διονύσου. τὸ δὲ σᾶν ἀντὶ τοῦ σίγμα Δωρικῶς εἰρήκασιν. οἱ γὰρ μουσικοὶ,[9] καθάπερ πολλάκις Ἀριστόξενός φησιν, τὸ σίγμα λέγειν παρητοῦντο,
b διὰ τὸ σκληρόστομον εἶναι καὶ ἀνεπιτήδειον αὐλῷ· τὸ

1 ο̄ ῡ̄ edd. 2 τοῦ ῡ̄ πάρεστιν vulgo. 3 τό τε ο̄ edd. 4 Perperam Ἀχαιοὶ edd. cum ms. *A*. 5 τῷ ο̄ edd. 6 διὰ τοῦ οῡ μόνου ed. Ven. διὰ τοῦ ο̄ μόνου ed. Bas. & Caſaub. 7 τὸ ῑ̄ edd. 8 βραχέως edd. 9 οἱ δὲ μουσ. ms. *Ep*.

o, ny, tum adeſt y; & ex oppoſita parte ſe non abeſſe profitentur ſan & u. (id eſt, *o breve.*) In his deeſt *y* elementum (in fine vocis): quoniam omnes antiqui literâ *u* (ſcilicet *o* brevi) utuntur non ſolum eâ poteſtate quam nunc habet; ſed & quum diphthongum ſignificat, ſolo elemento *u* (nempe *o* brevi) ſcribunt. Similiter vero etiam literam *ei* (id eſt, ε) ſcribunt, cum ubi per ſe ſola effertur, tum ubi vocali *iota* iuncta pronunciatur. Sic igitur etiam in praedictis verſibus poſtremam ſyllabam nominis Διονύσου per nudum *o*, tamquam breve inſculptum, declarant Satyri; quoniam ſubintelligere ſimul oportet literam *υ*, ut ſit Διονύσου. *San* vero, pro *ſigma*, Dorice dixerunt. Nam muſici, ut ſaepe monet Ariſtoxenus, *ſigma* dicere evitabant, eo quod dura ori eſſet eius pronunciatio, nec

δὲ ῥῶ διὰ τὸ εὔκολον πολλάκις παραλαμβάνουσι. καὶ τοὺς ἵππους τοὺς τὸ Σ ἐγκεχαραγμένον ἔχοντας, σαμφόρας καλοῦσιν. Ἀριστοφάνης, Νεφέλαις·

Οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας.

καὶ Πίνδαρος δὲ φησίν· „Πρὶν μὲν εἶρπε σχοινοτενία τ' ἀοιδᾶς[1] καὶ τὸ σὰν κίβδηλον ἀπὸ στομάτων." Μνημονεύει δὲ τοῦ γραμματικοῦ ἐκπώματος, ὡς οὕτως καλουμένου, Εὔβουλος ἐν Νεοττίδι οὕτως·

„Μισῶ κάκιστον γραμματικὸν ἔκπωμα[2] εἶτ' ἀρ' ὡς ὅμοιον υἱὸς ὤχετ' ἔχων Φιάλιον, τῷ δὲ[3] πολλὰ γίνεται ὅμοια." C

XXXI. Gyala.

ΓΥΆΛΑ.[4] Φιλήτας ἐν Ἀτάκτοις, Μεγαρέας οὕτω, φησὶ, καλεῖν τὰ ποτήρια, γυάλας. Παρθένιος δ', ὁ τοῦ Διονυσίου,[5] ἐν πρώτῳ Περὶ τῶν παρὰ τοῖς Ἱστορικοῖς Λέξεων ζητουμένων φησί· „Γυάλας, πο-

1 Vulgo, ἷρπε σχοινοτενείατα εἰδὰ. 2 ἔκπωμα edd. 3 Interpungendum videtur poſt φιάλιον. Tum ſcrib. B. Τῷ δὲ &c. 4 Γύαλα ms. *A.* Γυάλαι corr. Caſ. Forſ. Γυάλας. 5 Διονύσου vulgo h. l.

ad tibiam commoda: *rho* literam vero ſaepius adhibent, ob facilitatem. Et equos literam *ſigma* inuſtam habentes, *ſamphoras* vocant. Ariſtophanes in Nubibus:

Neque tu, neque iugalis, neque ſamphoras.

Pindarus vero etiam ait: *Priusquam prodiret prolixitas carminis,* (ſive, *Priusquam prodiret cantus in longum diductus*) *& ſan reprobum ex oribus.* Meminit vero *literati poculi,* ipſo hoc nomine utens, Eubulus in Neottide:

A. *Peſſimum odi literatum poculum: quandoquidem ſimilem paterulam filius meus habuit cum abiret.* B. *At multa ſunt ſimilia.*

31. *Gyala.* (vel, *Gyalas.*) Philetas in Adverſariis (*ſive,* Miſcellaneis) ait, Megarenſes pocula *gyalas* nominare. Parthenius vero, Dionyſii diſcipulus, libro primo Quaeſitorum de Vocabulis apud Hiſtoricos occurrenti-

τηρίου εἶδος, ὡς Μαρσύας γράφει ὁ ἱερεὺς τοῦ Ἡρακλέους, οὕτως· „ὅταν εἰσίῃ ὁ βασιλεὺς εἰς τὴν πόλιν, συναντᾶν οἴνου πλήρη γυάλαν ἔχοντά τινα· τὸν δὲ λαβόντα σπένδειν.“

d ΔΕΙΝΟΣ. Ὅτι [1] καὶ τοῦτο ποτηρίου ὄνομα, Διονύσιος ὁ Σινωπεὺς, ἐν Σωζούσῃ, καταλέγων ὀνόματα ποτηρίων, μνημονεύει καὶ τούτου, λέγων οὕτως· XXXII. Δεῖνος.

Ὅσα δ' ἐστὶν εἴδη θηρικλείων τῶν καλῶν,
γύναι, δικότυλοι, τρικότυλοι, δεῖνος μέγας,
χωρῶν μετρήτην, κυμβίον, σκύφοι, ῥυτά·
ποτήρι' ἡ γραῦς, ἄλλο δ' οὐδὲ ἓν βλέπει.

Κλεάνθης δ' ὁ Φιλόσοφος, ἐν τῷ Περὶ Μεταλήψεως,
e ἀπὸ τῶν κατασκευασάντων, [2] φησὶν, ὀνομασθῆναι τήν τε θηρίκλειον κύλικα, καὶ τὴν δεινιάδα. Σέλευκος δ' εἰπὼν ἐκπώματος εἶναι γένος τὸν δεῖνον, παραιτίθεται

1 Deest Ὅτι editis, & interpungunt post ὄνομα. 2 τῶν σκευασμάτων ms. *Ep.*

bus, ait: »*Gyalas*, poculi genus; ut Marsyas scribit, Herculis sacerdos, his verbis: *Quando urbem ingreditur rex, tum obviam it ei aliquis gyalam manu tenens vino repletum; quem capiens ille libat.*«

32. Δεῖνος. (vel Δῖνος. *Dinus*, sive *Tina.*) Quoniam & hoc est vasis potorii nomen, Dionysius Sinopensis, in Servatrice, enumerans poculorum nomina, huius quoque meminit, his verbis:

Quaecumque sunt species pulcrorum thericleorum,
o mulier, duarum aut trium cotularum, dinus magnus
metretam capiens, cymbium, scyphi, rhyta:
pocula anus haec, nil aliud, respicit.

Cleanthes philosophus, in libro de Metalepsi, scribit, thericleum calicem & diniadem nomen inveniisse ab his qui haec vasorum genera fabricati sunt. Seleucus vero, postquam dixit, poculi genus esse *dinum*, adponit

Στράτιδος ἐκ Μηδείας·

Οἶσθ' ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα σου;
ἐγῶδα· δείνῳ περὶ κάτω τετραμμένῳ. [1]

Ἀρχέδικος δε, ἐν Διαμαρτάνοντι, παράγων οἰκέτην τινὰ περὶ ἑταιρίδων διαλεγόμενον, φησί·

A. Νικοστράτην τιν' ἤγαγον πρώην σΦόδρα
„Ἔπινε τὸ νεκτάρεον πόμα ἐν χρυσαῖς προτομαῖς τε ἄλλων [3] κεράτων· ἔβρεχον δὲ κατὰ μικρόν."

Ἀθηναῖοι δὲ καὶ ἀργυρᾶ ποιοῦντες κέρατα ἔπιον ἐξ αὐτῶν. ἔστιν οὖν τοῦτο εὑρεῖν ἐν τοῖς Δημιοπράτοις ἀναγεγραμμένον οὕτως, ἐκ στήλης ἀνακειμένης [4] ἐν Ἀκρο-

1 αὐτῶν edd. 2 Deeſt Καὶ edd. 3 μεγάλων forte. 4 Forſ. ἐν στήλῃ ἀνακειμένῃ.

Lycurgus vero orator, in oratione contra Demadem, Philippum regem ait e *cornu* propinare ſolitum his quos benigne excipere vellet. Paeonum reges vero, ut ſcribit Theopompus ſecundo libro Philippicorum, quum bobus, quos alit illorum regio, tam ampla ſint cornua, ut tres aut quatuor capiant congios, pocula ex illis conficere, quorum labia argento aut auro obducunt. Porro etiam Philoxenus Cytherius, in carmine quod Coena inſcribitur, ait:

Bibebat nectareum potum aureis ex orificiis magnorum cornuum: irrorabant autem paullatim.

Athenienſes vero etiam argentea conficiebant cornua, ex eisque bibebant. Reperitur hoc quidem in Bonorum publice venditorum recenſu conſignatum his verbis, ex columnâ [*ſive*, in columna] erectâ in Arce, quae

πόλει, ἢ τὰ ἀναθήματα περιέχει· „Κέρας ἔκπωμα ἀργυροῦν καὶ περισκελὲς [1] πρόσεστι. [2]

LII. Cernus.

f Κέρνος. Ἀγγεῖον κεραμεοῦν, ἔχον ἐν αὐτῷ πολλοὺς κοτυλίσκους κεκολλημένους, ἐς εἷς εἰσι [3] μήκωνες λευκοὶ, [4] πυροὶ, κριθαὶ, πισοὶ, λάθυροι, ὦχροι, [5] ζακοί. ὁ δὲ βαστάσας αὐτὸ, οἷον λικνοφορήτας, τούτων γεύεται, ὡς ἱστορεῖ Ἀμμώνιος ἐν τρίτῃ Περὶ Βωμῶν καὶ Θυσιῶν.

LIII. Cissybium.

Κισσύβιον. Τὸ μόνωτον ποτήριον, Φιλήμων. Νεοπτόλεμος δ' ὁ Παρμανὸς, ἐν τρίτῳ Γλωσσῶν, τὸ κίσσινον ποτήριον σημαίνειν παρ' Εὐριπίδῃ ἐν Ἀνδρομέδᾳ·

a — Πᾶς δὲ ποιμένων ἔρρει λεὼς,
ὁ μὲν γάλακτος κίσσινον φέρων σκύφος,
πόνων ἀναψυκτῆρ', ὁ δ' ἀμπέλων γάνος.

1 περισκελεῖς ed. Ven. cum Ms. 2 Forſ. προσέτι. Verbum iſtud cum ſeqq. ſic connectitur in editis, πρόσεστι χέρνος ἀγγεῖον &c. 3 φασὶ edd. φησὶ ms. *A*. 4 λευκαὶ videtur leg. 5 Rectius ὠχροί.

ornamenta dedicata continet: *Adeſt etiam cornu, poculum argenteum idque praedurum.* (vel, *ſolidum admodum.*)

52. *Cernus.* Vas fictile, multas continens exiguas cotulas adglutinatas, in quibus ſunt papaver album, triticum, hordeum, piſum, lathyrus, ervilia, lens: quibus rebus is qui cernum geſtavit, veluti qui vannum geſtavit, veſcitur: ut refert Ammonius tertio libro De Aris & Sacrificiis.

53. *Cissybium.* Poculum unâ aure (*vel* anſâ) inſtructum, Philemon. Neoptolemus vero Parianus, tertio libro Gloſſarum, hederaceum poculum ſignificare id vocabulum ait, teſtem citans Euripidem in Andromeda:

Omnis paſtorum confluebat populus:
unus lactis hederaceum ferens ſcyphum,
a laboribus recreationem, alter vero vitium decus.

Τὸ γὰρ κισσύβιον, φησὶ, λέγεται ἐπὶ συνόδου ἀγροικικῆς, [1] ἔνθα προσήκει μάλιστα τὸ ξύλινον ποτήριον. Κλείταρχος δέ φησιν, Αἰολεῖς τὸν σκύφον κισσύβιον καλεῖν· Μαρσύας δὲ, κύπελλον καὶ τὸ ξύλινον ποτήριον. Εὔμολπος δὲ, γένος τι [2] ποτηρίου, ἴσως (φησὶ) κατ' ἀρχὰς ἐκ κισσίνου κατασκευασθὲν ξύλου. Νίκανδρος δ' ὁ Κολοφώνιος, ἐν τῷ πρώτῳ τῶν Αἰτωλικῶν, b γράφει· „Ἐν τῇ ἱεροποιΐῃ [3] τοῦ Διδυμαίου [4] Διὸς κισσοῦ σπονδοποιέονται πετάλοισιν, ὅθεν τὰ ἀρχαῖα ἐκπώματα κισσύβια φωνέεται. Ὅμηρος·

Κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο."

Ἀσκληπιάδης δ' ὁ Μυρλεανὸς, ἐν τῷ Περὶ τῆς Νεστορίδος „σκύφει, φησὶ, καὶ κισσυβίῳ τῶν μὲν ἐν ἄστει καὶ μετρίων οὐδεὶς ἐχρῆτο, συβῶται δὲ καὶ νομεῖς καὶ οἱ ἐν ἀγρῷ· Πολύφημος μὲν τῷ [5] κισσυβίῳ, θατέρῳ δὲ Εὔμαιος." Καλλίμαχος δ' ἔοικε διαμαρτάνειν c

1 Temere ἀγροικῆς ed. Bas. & Cas. 2 Deest τι edd. 3 ἱεροποιΐῃ ms. *A*. 4 Δινδυμαίου Eustath. 5 μέντοι corr. Cas.

Cissybium enim ibi dici, ait, in rusticorum hominum conventu, ubi maxime convenit ligneum poculum. Clitarchus vero ait, scyphum ab Aeolibus *cissybium* vocari: Marsyas vero, pocillum & ligneum poculum. Eumolpus autem, poculi genus quoddam esse ait, olim fortasse e ligno hederaceo confectum. Nicander vero Colophonius, primo libro Aetolicorum, scribit: » In sacrificio quod Didymaeo Iovi peragitur libationem faciunt hederae foliis; unde antiqua pocula *cissybia* vocantur. Homerus:

Cissybium in manibus habens nigri vini. «

Asclepiades vero Myrleanus, in his quae de Nestoride (poculo) scripsit: » Scypho, ait, & cissybio nemo urbem incolentium, ne mediocriter quidem fortunatus, usus est; sed subulci & pastores & rustici: Polyphemus quidem cissybio, altero vero Eumaeus. « Callima-

ἐν τῇ συγχρήσει τῶν ὀνομάτων, λέγων ἐπὶ τοῦ οἰκείου ξένου τοῦ παρὰ τῷ Ἀθηναίῳ Πόλλιδι [1] συνεστιασθέντος αὐτῷ·

Καὶ γὰρ ὁ Θρηϊκίην μὲν ἀπήνατο [2] χανδὸν ἄμυστιν
ζωροποτεῖν, ὀλίγῳ δ' ἥδετο κισσυβίῳ.
Τῷ μὲν ἐγὼ τόδ' ἔλεξα, περιστείχοντος ἀλείσου
τὸ τρίτον· . . .

Ὁ γὰρ λέγων ἄλεισον τὸ αὐτὸ καὶ κισσύβιον, τὴν d ἀκριβῆ θέσιν τῶν ὀνομάτων οὐ διαφυλάττει. Εἰκάσειε δ' ἄν τις, τὸ κισσύβιον τὸ πρῶτον ὑπὸ ποιμένων ἐργασθῆναι [3] ἐκ κισσίνου ξύλου. ἄλλοι δὲ ἐτυμολογοῦσιν αὐτὸ ἀπὸ τοῦ χεῖσθαι, τὸ δ' ἐστὶ χωρεῖν·

Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται.

καὶ ἡ τοῦ ὄφεως κατάδυσις, χειή· ἡ καταδεχομένη τὸ ζῶον. καὶ κήθιον, τὸ χήτιον· [4] τὸ χωροῦν τοὺς ἀστρα-

1 Πόλιδι edd. 2 ἀνήνατο corrigunt viri docti. ἀπέστυγε ſcribitur alibi apud Noſtrum. 3 ἐργασθ. ὑπὸ ποιμ. edd. 4 τὸ κήτιον ed. Ven. Baſ. & Caſ. 1. cum ms. *A*. Deſunt duo verba ed. Caſ. 2. & 3.

chus vero videtur erraſſe in nominum uſu, cum de hoſpite ſibi familiari, qui cum ipſo apud Athenienſem Pollidem convivio exceptus erat, ait:

Ille etenim averſabatur Thraciam amyſtin
ingurgitare meram: ſed parvo delectabatur ciſſybio.
Cui equidem hoc dixi, cum poculum (ἄλεισον) circumiret
tertia vice: . . .

Qui enim idem poculum & ἄλεισον & κισσύβιον dicit, is accuratum vocabulorum uſum non ſervat. Facile autem coniectaveris, ciſſybium confici primum ſolitum eſſe a paſtoribus ex hederaceo ligno. Alii vero nominis originem derivant a verbo χεῖσθαι, idem valente ac χωρεῖν.

Limen autem ambos hoc capiet. (χείσεται.)

Et χειὴ, ſerpentis latibulum, quod recipit animal. Et κήθιον, id eſt χήτιον, vasculum quod recipit aſtragalos.

γάλους. Διονύσιος δ' ὁ Σάμιος, ἐν τοῖς Περὶ τοῦ Κύκλου, τὸ Ὁμηρικὸν κισσύβιον κυμβίον ἔφη, γράφων οὕτως· „Καὶ αὐτὸν Ὀδυσσεὺς ὁρῶν ταῦτα ποιοῦντα, e πληρώσας τοῦ οἴνου κυμβίον δίδωσι πιεῖν."

LIV. Ciborium, poculum.

ΚΙΒΩΡΙΟΝ. Ἡγήσανδρος ὁ Δελφὸς, Εὐφορίωνα, φησὶ, τὸν ποιητὴν παρὰ πρυτάνιδι δειπνοῦντα, καὶ ἐπιδεικνυμένου τοῦ πρυτάνιδος κιβώριά τινα, δοκοῦντα πεποιῆσθαι πολυτελῶς * *. τοῦ δὲ κώθωνος εὖ μάλα προβεβηκότος, λαβὼν ἐν τῶν κιβωρίων, ὡς ἐξοινῶν[1] καὶ μεθύων, ἐνεούρησε. Δίδυμος δέ φησι, ποτηρίου εἶδος εἶναι, καὶ τάχα ἂν εἴη τὰ λεγόμενα σκυφία, διὰ τὸ κάτωθεν εἰς στενὸν συνῆχθαι, ὡς τὰ Αἰ- f γύπτια κιβώρια.

LV. Condy.

ΚΟΝΔΥ. ποτήριον Ἀσιατικόν. Μένανδρος, Κόλακι·

1 ἐξοινος ὢν corr. Cas.

Dionyſius vero Samius, in libris de Cyclo, Homericum *ciſſybium* cymbium dixit, ita ſcribens: »Et illum videns Ulyſſes haec facientem, cymbium vino implevit, eique dedit bibendum. «

54. *Ciborium.* Hegeſander Delphus ſcribit, Euphorionem poëtam, coenantem apud prytanidem, cum oſtentaſſet prytanis ciboria quaedam, quae pretioſe confecta eſſe videbantur, iamque bene longe progreſſa eſſet compotatio, ſumſiſſe unum ex ciboriis, utpote temulentum atque ebrium, & imminxiſſe. Didymus vero ait, eſſe poculi ſpeciem, ac fortaſſe non diverſum ab his qui *ſcyphuli* (σκυφία) dicuntur; quoniam inferne in anguſtum contracta ſunt, quemadmodum Aegyptia ciboria.

55. *Condy.* Poculum Aſiaticum. Menander, Aſſentatore:

— Κοτύλας χωροῦν δέκα
ἐν [1] Καππαδοκίᾳ κόνδυ χρυσοῦν, Στρουθίον. [2]
Ἵππαρχος, Ἀνασωζομένοις·
Α. Προσέχεις τι τούτῳ τῷ στρατιώτῃ; [οὐ δ' ἔχει] [3]
ἀργύριον οὗτος οὐδαμόθεν, εὖ οἶδ' ἐγώ,
ἀλλ' ἢ δαπίδιον ἐν ἀγαπητὸν ποικίλον,
Πέρσας ἔχον [4] καὶ γρῦπας ἐξώλεις τινὰς
a τῶν Περσικῶν· Β. Εἰς κόρακας, ὦ μαστιγία.
Α. καὶ κόνδυ, καὶ ψυκτῆρα, καὶ κυμβίον.
Νικόμαχος δ' ἐν πρώτῳ Περὶ Ἑορτῶν Αἰγυπτίων Φησί· „Τὸ δὲ κόνδυ ἔστι μὲν Περσικόν, τὴν δὲ ἀρχὴν ἦν [5] Ἑρμιππος ἀστρολογικὸς ὡς ὁ κόσμος ἐξ οὗ τῶν θεῶν τὰ θαύματα καὶ τὰ καρπώσιμα γίνεσθαι ἐπὶ γῆς· διὸ ἐκ τούτου σπένδεσθαι. Παγκράτης δ', ἐν πρώτῳ Κογχορηίδος·

1 καὶ ἐν Καππ. vulgo h. l. 2 Alibi Στρουθία. 3 τοῦ δὲ δὴ edd. τοῦ δὲ δείου Ms. 4 ἔχων vulgo. 5 Corruptus locus defectusque. Corrigit Casaub. suppletque, εἶδος δ' ἔχει, ὡς φησιν Ἑρμιππος ἀστρ. Alii legunt, τὴν δὲ ἀρχὴν ἦν ὡς ὁ κόσμος· ἐξ οὗ, φησὶν Ἑρμιππος ὁ Ἀστρολογικὸς, τῶν θεῶν τὰ θαυμ.

— *Cotulas capiens decem*
in Cappadocia condy aureum, o Struthion.
Hipparchus, in Servatis:
A. *Tu-ne aurem praebes huic militi? At non habet*
argentum hic ullum, certo ego scio:
nil nisi tapetium (& bene cum eo agitur quod hoc habeat) variegatum,
in quo sunt Persae & perditi quidam gryphes
ex Persicis istis: B. *Abi in malam rem, verbero!*
A. *& condy, & pyxter, & cymbium.*

Nicomachus vero, primo libro de Festis Aegyptiorum, ait: » *Condy* est quidem Persicum: initio vero erat Hermippus astrologicus, ut mundus, ex quo Deorum miracula & fructuum omne genus gigni in terra: quare etiam ex hoc libari. Pancrates vero, primo libro Conchoreidos:

Αὐτὰρ ὅ γε σπείσας ἐκ κόνδυος ἀργυφέοιο [1]
Νέκταρ, ἐπ' ἀλλοδαπὴν οἶμον ἔβαινε πόδα. b

Cononius. ΚΟΝΩ'ΝΙΟΣ. Ἴστρος ὁ Καλλιμάχιος, ἐν πρώτῳ Πτολεμαΐδος τῆς ἐν Αἰγύπτῳ πόλεως, γράφει [2] οὕτως· „Κυλίκων κονωνίων ζεῦγος, καὶ θηρικλείων χρυσοκλείστων [3] ζεῦγος."

LVI. Cotylus. ΚΟ'ΤΥΛΟΣ. Τὰ μόνωτα ποτήρια, κότυλοι· ὧν καὶ Ἀλκαῖος μνημονεύει. Διόδωρος δ', ἐν τῷ πρὸς Λυκόφρονα, παρὰ Σικυωνίοις καὶ Ταραντίνοις [4] ἐπιπολάζειν, φησὶ, τὸ ἔκπωμα, εἶναι δὲ αὐτὸ λουτηρίῳ ἐοικὸς βαθεῖ. ἔχει [5] δὲ καὶ οὖς ἐνιαχῆ. Μνημονεύει δὲ αὐτοῦ καὶ Ἴων ὁ Χῖος· „κότυλον, οἴνου πλέον" λέγων. Ἑρμιππος δ' ἐν Θεοῖς· c

Τόν τε κότυλον πρῶτον ἤνεγκεν ἐχυρὸν τῶν γειτόνων.
καὶ Πλάτων, ἐν Διὶ κακουμένῳ·

1 ἀργυρέοιο legebat Dalec. 2 γράφων edd. 3 χρυσοκλύστων Ms. 4 Desunt καὶ Ταρ. edd. 5 ἔχειν malebam.

At ille cum libaſſet ex ſplendido condye
nectar, aliam viam pedibus ingreſſus eſt.

Cononius. Iſter Callimachius, primo libro de Ptolemaide Aegypti oppido, ita ſcribit: »Calicum cononiorum par, & thericleorum par aureis operculis clauſorum.«

56. *Cotylus.* Pocula unà tantum anſâ inſtructa, *cotyli* vocantur: quorum etiam Alcaeus meminit. Diodorus vero, in libro Ad (*ſive*, Adverſus) Lycophronem, ait »apud Sicyonios & Tarentinos frequenti in uſu eſſe hoc poculum: eſſe autem profundo ſimile labello, habere vero nonnumquam etiam anſas.« Eiusdem meminit Ion Chius, dicens: *cotylum, vino plenum.* Hermippus vero, in Diis:

Cotylum primum attulit, pignus vicinis.

Et Plato, in Iove adflicto:

— τὸν κότυλον φέρει. [1]

φησὶ καὶ Ἀριστοφάνης ἐν Βαβυλωνίοις. Εὔβουλος δὲ, ἐν Ὀδυσσεῖ ἢ Πανόπταις·

— Ὁ δ' ἱερεὺς εὐήγορος
ἐν μέσοις αὐτοῖσιν ἑστὼς τὴν καλὴν σκευὴν ἔχων,
οἶνον ἐξέσπενδε κοτύλῳ. —

Πάμφιλος δὲ, ποτηρίου, φησὶν, εἶναι γένος, ἴδιον δ' εἶναι Διονύσου. Πολέμων δ', ἐν τῷ περὶ τοῦ Δίου κωδίου, [2] φησί· „Μετὰ δὲ ταῦτα τὴν τελετὴν ποιεῖ, καὶ αἱρεῖται ἐκ τῆς Θαλάμης, καὶ νέμει ὅσοι ἄνω [3]
d τὸ κέρνος περιεννηνοχότες. τοῦτο δ' ἔστιν ἀγγεῖον κεραμεοῦν, ἔχον ἐν αὐτῷ πολλοὺς κοτυλίσκους κεκολλημένους· ἔνι δὲ ἐν αὐτοῖς ὅρμινοι, [4] μήκωνες λευκοὶ, [5] πυροὶ, κριθαὶ, πισοὶ, λάθυροι, ὠχροι, [6] φακοὶ, κύαμοι, ζειαὶ, βρόμος, παλάβιον, μέλι, ἔλαιον, οἶνος, γά-

Vellus ovis Iovi immolatae.

Cernus.

1 Forſ. φέρει. 2 Διὸς κωδίου corrigunt. 3 Forſ. ὅσοις ἂν ὦσι. 4 ὅρμενοι ed. Ven. & Baſ. ὕρμενοι ed. Caſ. ορμινοι ms. *A*. ὁρμῖνοι Heſych. 5 λευκαὶ videtur legendum. 6 ὠχροὶ malim.

— *Cotylum adfert.*

Eadem dicit Ariſtophanes in Babyloniis. Eubulus vero, in Ulyſſe ſive Panoptis:

— *Sacerdos vero fauſta precans,*
in eorum medio ſtans pulcro ornatu,
vinum libavit cotylo. —

Pamphilus vero ait, eſſe poculi genus, proprium vero Bacchi. Polemon, in libro de Vellere ovis Iovi immolatae, ſcribit: »Poſt haec initiationis myſteria celebrat, & ſumit [ſacra vellera] e ſacello, distribuitque eis qui cernum geſtaverant. Eſt autem *cernus* vas fictile, multos continens *cotyliscos* adglutinatos, in quibus ſunt horminum, papaver candidum, triticum, hordeum, piſum, cicer, ervilia, lens, faba, zea, avena, ficuum maſſa mel, oleum, vinum, lac, ovina lana illota: idque vas

λα, οἷον [1] ἔριον ἄπλυτον. ὁ δὲ τοῦτο βαστάσας, οἷον λικνοφορήσας, τούτων γεύεται."

LVII. Cotula, poculum.

ΚΟΤΥΛΗ. Ἀριστοφάνης, Κωκάλῳ· — "Αλλαι ὑποπρεσβύτεραι γρᾶες Θασίου μέλανος μεστὸν κεράμειον [2]

κοτύλαισιν [3] μεγάλαις ἔγχεον ἐς σφέτερον δέμας οὐδένα κόσμον, [4]

[ὑπ'] [5] ἐρωτι βιαζόμεναι μέλανος οἴνου ἀκράτου. — Σιληνὸς, [6] καὶ Κλείταρχος, ἔτι τε Ζηνόδοτος, τὴν κύλικα· [7]

Πάντη δ' ἀμφὶ νέκυν κοτυληδὸν ἔρρεεν αἷμα. καί·

Πολλὰ μεταξὺ πέλει κοτύλης καὶ χείλεος ἄκρου. Σιμάριστος δὲ, τὸ λεπτὸν [8] ποτήριον οὕτως καλεῖσθαι. Διόδωρος δὲ, τὸν παρά τισι κότυλον κοτύλην ὠνομακέναι τὸν ποιητήν·

1 οἷον vulgo. οἷος vel οἷειον corr. Caſ. 2 κεραμευομεναις vulgo. 3 κοτύλαις vulgo. 4 οὐδὲν ἄκοσμον vulgo. 5 Abeſt vulgo ὑπ'. 6 Σειληνὸς Ms. 7 Deſunt τὴν κύλικα edd. 8 λευκὸν edd.

qui geſtavit, ſicut qui vannum geſtavit, his rebus veſcitur.

57. COTULA. Ariſtophanes, Cocalo: — *Aliae paulo ſeniores vetulae Thaſii nigri dolium plenum cotulis magnis infundebant ſuum in ventrem nullâ modeſtiâ, amore nigri vini meri adactae.* —

Silenus, & Clitarchus, item Zenodotus, calicem eſſe aiunt, (provocantes ad iſta:)

Undique circum cadaver veluti cotulis effuſus fluebat ſanguis.

&, *Multa cadunt inter cotulam ſupremaque labra.*

Simariſtus vero, parvum poculum ita vocari ſcribit. Diodorus autem ait, qui a nonnullis cotylus dicitur, eam a poëta dictam *cotulam* eſſe:

πύρνον καὶ κοτύλην. —
ὃν κύλικα μὲν οὐκ εἶναι· οὐ γὰρ ἔχειν ὦτα· παραπλήσιον δ' ὑπάρχειν λουτηρίῳ βαθεῖ, ποτηρίου δὲ εἶδος εἶναι. δύνασθαι δὲ καὶ τὸν παρὰ τοῖς Αἰτωλοῖς καί τισι τῶν Ἰώνων λεγόμενον κότυλον, ὃν ὅμοιον ὄντα τῶν προειρημένων ἓν οὖς ἔχειν. μνημονεύει δ' αὐτοῦ Κράτης ἐν Παιδιαῖς, [1] καὶ Ἕρμιππος ἐν Θεοῖς. Ἀθηναῖοι δὲ μέτρον τι καλοῦσι κοτύλην. Θουκυδίδης· „Ἐδίδοσαν μὲν αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος, καὶ δύο κοτύλας σίτου.“ Ἀριστοφάνης, Προαγῶνι· Cotula, menſura.

Ὁ δ' ἀλφίτων [2] πριάμενος τρεῖς χοίνικας,
κοτύλης δεούσας εἴκοσ' [3] ἀπολογίζεται.

a Ἀπολλόδωρος δέ· „ποτηρίου τι γένος ὑψηλὸν καὶ ἔγκοιλον. [4] πᾶν δὲ τὸ κοῖλον κοτύλην, φησὶν, ἐκάλουν οἱ παλαιοὶ, ὡς καὶ τὸ τῶν χειρῶν κοῖλον. ὅθεν καὶ κοτυ-

1 Παιδείαις vulgo. 2 Forſ. ἀλφίταν γε aut γὰρ. 3 οἶκαδ' ed. Ven. & Baſ. cum Ms. 4 εὔκοιλον ms. *Ep.*

Panem & cotulam. —
eumque non eſſe calicem, nec enim anſas habere; ſimilem vero eſſe labello profundo: eſſe autem poculi ſpeciem. Significare vero etiam eum qui apud Aetolos & Ionum nonnullos *cotylus* dicitur; quem ait ſimilem eſſe praedictis, ſed unam anſam habere: cuius meminit Crates in Luſionibus, & Hermippus in Diis. Athenienſes vero *menſuram* quamdam *cotulam* dicunt. Thucydides: »Dederunt ſingulis illorum per octo menſes cotulam aquae, & duas cotulas frumenti.« Ariſtophanes, Proagone:

Hic cum emit farinae tres choenices
minus unâ cotulâ, viginti (cotulas) *in rationes refert.*

Apollodorus vero »poculi genus aliquod altum & concavum. Omne autem cavum, ait, *cotulam* nominabant veteres, quemadmodum etiam cavitatem manus. Unde

λήρυτον [1] αἷμα, τὸ ἀμφοτέραις ταῖς χερσὶν ἀρυσθῆναι δυνάμενον. καὶ ἐγκοτύλη δέ τις παιδιὰ καλεῖται, ἐν ᾗ κοιλάναντες τὰς χεῖρας δέχονται τὰ γόνατα τῶν νενικηκότων οἱ νενικημένοι, καὶ βαστάζουσιν αὐτούς." Διόδωρος δὲ, ἐν Ἰταλικαῖς Γλώσσαις, καὶ Ἡράκλειτος, [2] ὥς φησι Πάμφιλος, τὴν κοτύλην καλεῖσθαι καὶ ἡμίναν, παρατιθέμενος Ἐπιχάρμου·

Ἐγκοτύλη, lusus.

Hemina, i. q. cotula.

Καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρὸν, ἡμίνας δύο. b

καὶ Σώφρων· [3]

Κατάστρεψον, τέκνον, τὰν ἡμίναν.

Κοτυλίσκην δ' εἴρηκε Φερεκράτης, ἐν Κοριαννοῖ·

— Τὴν κοτυλίσκην; μηδαμῶς.

Ἀριστοφάνης, ἐν Ἀχαρνεῦσι·

Κοτυλίσκιον, τὸ χεῖλος ἀποκεκρουμένον. [4]

Κοτύλη δὲ καλεῖται καὶ ἡ τοῦ ἰσχίου κοιλότης· καὶ αἱ

Homonymia vocis Κοτύλη.

1 κοτυλήρρυτον edd. ut supra. 2 Forſ. Ἡρακλέων. 3 Forſ. καὶ Σώφρονος. 4 ἀποκεκομμένον edd. ἀποκεκρουσμένον ms. *Ep.*

& κοτυλήρυτον αἷμα, ſanguis tanto impetu erumpens ut utrâque manu hauriri poſſit. Et luſio quaedam ἐγκοτύλη vocatur, ubi cavis manibus genua victoris excipit victus, atque eum ita baiulat. « Diodorus vero, in Gloſſis Italicis, & Heraclitus, [*ſive*, Heracleon,] ut ait Pamphilus, cotulam tradunt etiam *heminam* dici, adpoſito illo Epicharmi verbo:

Et bibere aquae duplum tepidae, heminas duas.

& Sophronis:

Verte, fili, heminam.

Cotyliscam vero dixit Pherecrates, in Corianno:

— *Cotyliscam? neutiquam.*

Ariſtophanes, in Acharnenſibus:

Cotyliscium, fracto labio.

Cotula vero vocatur etiam cavitas coxendicis: & po-

τοῦ πολύποδος ἐν ταῖς πλεκτάναις ἐπιφύσεις, παραγώγως κοτυληδόνες. Καὶ τὰ κύμβαλα δ' Αἰσχύλος ἐν Ἡδωνοῖς [1] κοτύλας εἴρηκεν·

Ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ. [2]

c Μαρσύας δέ φησι, τὸ ἐν τῷ ἰσχίῳ ὀστοῦν καλεῖσθαι ἄλεισον καὶ κύλικα. [3] Κοτυλίσκος δὲ καλεῖται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος, καὶ οἷς χέονται [4] οἱ μύσται, ὡς Νίκανδρός φησιν ὁ Θυατειρηνὸς, παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους·

— μηδὲ στέψω κοτυλίσκον.

Σιμμίας δὲ ἀποδίδωσι τὴν κοτύλην, ἄλεισον.

LVIII. Cottabis.

ΚΟΤΤΑΒΙΣ. Ἁρμόδιος ὁ Λεπρεάτης, ἐν τῷ Περὶ τῶν κατὰ Φιγαλίαν Νομίμων, διεξιὼν περὶ τῶν ἐπιχωρίων δείπνων, γράφει καὶ ταῦτα· „Καθαγισάντων ταῦτα ἐν κεραμέᾳ [5] κοτταβίδι πιεῖν ἑκάστῳ

1 Ἡδονοῖς ed. Ven. Baſ. & Caſ. 1. 2 ὀττόβει edd. 3 Forſ. excidit, καὶ κοτύλην. 4 Forſ. χρῶνται. 5 Alibi κεραμέῳ.

lypi excreſcentiae in flagellis, paulisper diducto vocabulo, *cotyledones* nominantur. Quin & cymbala Aeſchylus, in Hedonis, *cotulas* dixit:

Ille vero aere-vinctis cotulis ſtrepitat.

Marſyas autem ait, os coxendicis *aleiſon* vocari & *calicem*. *Cotyliscus* vero nominatur etiam ſacer Bacchi exiguus crater, & illi quibus libant [*ſive*, quibus utuntur] myſtae; ut Nicander ait Thyatirenus, adponens illud ex Ariſtophanis Nubibus:

— *Neque coronabo cotyliscum.*

Simmias vero *cotulam* interpretatur, aleiſon.

58. *Cottabis.* Harmodius Lepreata, in libro de Phigalenſium Inſtitutis, de coenis loquens in illa civitate agi ſolitis, haec ſcribit: »His inter ſacras caerimonias conſumtis, in fictili cottabide parum unicuique, quod

μικρὸν, καὶ ὁ προσφέρων ἀνεῖπεν εὖ δείπνειας.“ [1] Ἡ- d
γήσανδρος δ' ὁ Δελφὸς, ἐν Ὑπομνήμασιν, (ὧν ἀρ-
Cottabi lusus. χὴ· Ἐν τῇ ἀρίστῃ πολιτείᾳ) φησίν· „Ὁ καλούμενος
κότταβος παρῆλθεν εἰς τὰ συμπόσια, τῶν περὶ Σικε-
λίαν, ὥς φησι Δικαίαρχος, πρῶτον εἰσαγαγόντων.
τοσαύτη δὲ ἐγένετο σπουδὴ περὶ τὸ ἐπιτήδευμα, ὥστε
εἰς τὰ συμπόσια παρεισφέρειν ἆθλα κοττάβια κα-
λούμενα. εἶτα κύλικες αἱ πρὸς τὸ πρᾶγμα χρήσιμαι
μάλιστα εἶναι δοκοῦσαι κατεσκευάζοντο, καλούμεναι
κοτταβίδες. πρὸς δὲ τούτοις οἶκοι κατεσκευάζοντο κυ- e
κλοτερεῖς· ἵνα πάντες, εἰς τὸ μέσον τοῦ κοττάβου τε-
θέντος, ἐξ ἀποστήματος [2] ἴσου καὶ τόπων ὁμοίων ἀγω-
νίζοιντο περὶ τῆς νίκης. οὐ γὰρ μόνον ἐφιλοτιμοῦντο
βάλλειν ἐπὶ τὸν σκοπὸν, ἀλλὰ καὶ καλῶς ἕκαστα
αὐτῶν. [3] ἔδει γὰρ εἰς τὸν ἀριστερὸν ἀγκῶνα ἐρείσαντα,
καὶ τῇ δεξιᾷ κυκλώσαντα ὑγρῶς ἀφεῖναι τὴν λάτα-

1 εὐδειπνίας edd. 2 ἀποθήματος ed. Caſ. 3 Forſ. αὐτῶν ἔδει ποιεῖν.

bibat, offertur: quod qui offert, is ait, *bene coenaveris!* « Hegeſander vero Delphus, in Commentariis, (qui ab his verbis incipiunt, *In optima republica*) ſcribit: »Cottabus qui vocatur, in convivia transiit; a Siculis primum, ut ait Dicaearchus, introductus. Tantum vero erat huius inſtituti ſtudium, ut in convivia introducerent *certamina cottabia* quae vocantur. Deinde calices, qui videbantur ad hunc uſum maxime eſſe idonei, conficiebantur, quas *cottabidas* vocant. Ad haec, conclavia conſtruebantur rotunda; ut, cottabo in medio poſito, omnes ex aequo intervallo & ſimili ex ſtatione poſſent de victoria contendere. Nec enim id ſolum omni ſtudio connitebantur, ut ſcopum ferirent, ſed & ut eleganter omnia peragerent. Oportebat enim ſiniſtro cubito ſubnixum, dextrâ manu molliter in orbem conver-

γα· οὕτω γὰρ ἐκάλουν τὸ ἐκπίπτον ἐκ τῆς κύλικος ὑγρόν· ὥστε ἔνιοι μεῖζον ἐφρόνουν ἐπὶ τῷ καλῶς κοτταβίζειν τῶν ἐπὶ τῷ ἀκοντίζειν μέγα φρονούντων."

LIX.

Cratanium. Craneum.

f ΚΡΑΤΑΝΙΟΝ. Μή ποτε τὸ νῦν καλούμενον κράνειον[1] ἔκπωμα οὕτως ὠνόμαζον οἱ ἀρχαῖοι. Πολέμων οὖν, ἢ ὅστις ἐστὶν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδικὸν, περὶ τοῦ ἐν Ὀλυμπίᾳ λέγων Μεταποντίνων ναοῦ, γράφει καὶ ταῦτα· „Ναὸς Μεταποντίνων, ἐν ᾧ φιάλαι ἀργυραῖ ἑκατὸν τριάκοντα δύο, οἰνοχόαι ἀργυραῖ δύο, ἀποθυστάνιον[2] ἀργυροῦν, φιά-a λαι τρεῖς ἐπίχρυσοι. Ναὸς Βυζαντίων, ἐν ᾧ Τρίτων κυπαρίσσινος ἔχων κρατάνιον ἀργυροῦν, Σειρὴν ἀργυρᾶ,[3] καρχήσια δύο ἀργυρᾶ, κύλιξ ἀργυρᾶ, οἰνοχόη χρυσῆ, κέρατα δύο. ἐν δὲ τῷ ναῷ τῆς Ἥρας τῷ πα-

1 χρούνειον susp. Cas. 2 ἀποθουστάνιον h. l. Ms. ἀποθυσάνιον edd. & sic mox iterum. 3 ἀργυρᾶν edd.

sâ, proiicere *latagem:* sic enim vocabant liquorem e calice proiectum: ita quidem, ut nonnulli multo magis sibi in hoc placerent quod cottabo belle ludere scirent, quam alii gloriabantur iaculandi peritiâ.

59. *Cratanion.* Sic fortasse nominarunt veteres poculum illud, quod *craneum* nostra aetate vocatur. Polemon quidem, aut quisquis auctor est libri qui Helladicus (*sive,* de Rebus Graecanicis) inscribitur, de Metapontinorum aedicula quae Olympiae est loquens, haec scribit: » Aedicula Metapontinorum: in qua phialae argenteae centum triginta duae, gutti argentei duo, apothystanium [*sive,* apothysanium] argenteum, tres phialae inauratae. Aedicula Byzantinorum: in qua Triton e cupresso, argenteum cratanium habens; Siren argentea; carchesia duo argentea; calix argenteus; guttus aureus; cornua duo. In Iunonis vero vetere aediculâ: phia-

λαιῶ, φιάλαι ἀργυραῖ τριάκοντα, κρατάνια ἀργυρᾶ δύο, χύτρος [1] ἀργυροῦς, ἀποθυστάνιον χρυσοῦν, κρατὴρ χρυσοῦς, Κυρηναίων ἀνάθημα, βατιάκιον [2] ἀργυροῦν."

Κρουνεῖον. ΚΡΟΥΝΕΙΑ. Ἐπιγένης, Μνηματίῳ·

— — Α. Κρατῆρες, κάδοι,
ὀλκεῖα, κρουνεῖ'. Β. Ἔστι γὰρ κρουνεῖα; Α. Ναί. [3]

Cyathis. ΚΥΑΘΙΣ. κοτυλῶδες ἀγγεῖον. Σώφρων, ἐν τῷ b ἐπιγραφομένῳ Μίμῳ, Γυναῖκες αἱ τὰν θεὸν φαντὶ ἔλεξαν· [4]

Ὑποκατώρυκται δὲ ἐν κυαθίδι
τρικτὺς [5] ἀλεξιφαρμάκων.

ΣΧ. Κύλιξ: Calix. ΚΥΛΙΞ. Φερεκράτης, Δουλοδιδασκάλῳ·

Νυνὶ δ' ἀπονίζει [6] τὴν κύλικα, Δώσων, πιεῖν
ἔγχει τ' [7] ἐπιθεὶς τὸν ἠθμόν. —

1 κύτρος ed. Baf. & Caf. 2 βατιάνειον edd. 3 ἔστι γὰρ κρουνίσι. edd. 4 Hariolando interpretatus ſum quaſi eſſet αἱ τὰν θεὰν φαντὶ ἐνδεῖξαι. ἔθελξαν corr. Dalec. 5 τριτὺς corr. Caſ. 6 ἀπονίζειν Ms. ἀπονίζων edd. quod tenentes viri docti corrigunt deinde: Β. Δώσω πιεῖν. Tum verſ. ſq. Α. Ἀλλ' ἔγχεον ἐπιθ. 7 ἔγχυτα ἐπιθεὶς edd.

lae argenteae triginta; argentea cratania duo, olla argentea, apothyſtanium (ſ. apothyſanium) aureum; crater aureus, Cyrenenſium donarium; batiacium argenteum."

Crunea. (*Salientia vaſa.*) Epigenes, in Mnematio:

— — A. *Crateres, cadi,*
pelves, ſalientia vaſa. B. *Sunt ergo & ſalientia?* A. *Immo!*

Cyathis. Vas eſt cotulae formâ. Sophron, in Mimo qui inſcribitur, Mulieres quae profitentur Deum praeſentem oſtendere:

Defoſſa eſt in cyathide
trias alexipharmacorum.

60. Κύλιξ. *Calix.* Pherecrates, in Magiſtro-ſervo:

Nunc deterge calicem, Doſon, & potum
infunde, impoſito calici colo. —

Ταῦτα δ' ἐστὶ κεράμεα ποτήρια, καὶ λέγεται ἀπὸ τοῦ κυλίεσθαι τῷ τροχῷ· ἀφ' ὧν καλεῖται τό τε κυλικεῖον, ἐν ᾧ τίθεται τόπῳ τὰ ποτήρια, κἂν ἀργυρᾶ τυγχάνῃ ὄντα· καὶ τὸ κυλικηγορεῖν, ὅταν ἐπὶ τῇ κύ-
c λικί τις ἀγορεύῃ. Ἀθηναῖοι δὲ καὶ τὴν ἰατρικὴν πυξίδα καλοῦσι κυλικίδα, διὰ τὸ τόρνῳ κεκυλίσθαι. Ἐγένοντο δὲ ἐπίσημοι κύλικες αἵτε Ἀργεῖαι καὶ αἱ Ἀττικαί. Calices Argivi & Attici.
καὶ τῶν μὲν Ἀττικῶν μνημονεύει Πίνδαρος, ἐν τοῖσδε·

Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν
τοῦτο πέμπω μεταδόρπιον.
ἐν ξυνῷ κεν εἴη συμπόταισί τε
γλυκερὸν, καὶ Διονύσοιο [1] καρπῷ·
καὶ κυλίκεσσιν Ἀθηναίαισι [2] κέντρον.

Αἱ δὲ Ἀργεῖαι δοκοῦσι καὶ τὸν τύπον ἔχειν διάφορον
d πρὸς τὰς Ἀττικάς. Φοξαὶ γοῦν ἦσαν τὸ χεῖλος, ὡς Σιμωνίδης φησὶν ὁ Ἀμόργιος·

1 Rectius fuerit Διωνύσοιο. 2 Ἀθηναιεῦσι edd.

Sunt autem haec pocula fictilia, quae nomen habent ἀπὸ τοῦ κυλίεσθαι, quod rotâ *volvantur:* unde etiam κυλικεῖον denominatum, nempe *abacus* in quo pocula reponuntur, quamvis sint forte etiam argentea: & verbum κυλικηγορεῖν, id est, *inter pocula differere.* Athenienses vero etiam medicorum pyxidem κυλικίδα (quasi *caliculum*) vocant, quia torno circumacta conficitur. Fuerunt autem celebres calices Argivi atque Attici. Et Atticorum quidem Pindarus meminit, his verbis:

O Thrasybule! amabilium vehiculum carminum
hoc mitto tibi pro secundis mensis.
Sit illud velim in commune convivis
gratum, & Bacchi fructui
& Atticis calicibus stimulus.

Argivi vero calices videntur etiam figurâ differre ab Atticis. Labiis enim erant in acutum coëuntibus, ut Simonides ait Amorgius:

Αὐτὴ [1] δὲ φοξίχειλος· —

ἡ [2] εἰς ὀξὺ ἀπηγμένη, οἷοί εἰσιν οἱ ἄμβικες καλούμενοι. τὸ γὰρ φοξὸν ἐπὶ τούτου τάττουσι, καθότι Ὅμηρος ἐπὶ τοῦ Θερσίτου,

Φοξὸς ἔην κεφαλήν.

καὶ ἔστιν οἷον φαοξός, ὁ πρὸς τὰ φάη ὀξὺς ὁρώμενος.

LXI. Naucratitae calices.

Διάφοροι δὲ κύλικες γίνονται καὶ ἐν τῇ τοῦ συσσίτου ἡμῶν Ἀθηναίου πατρίδι Ναυκράτει. εἰσὶ γὰρ φιαλώδεις μὲν, οὐ κατὰ τόρνον, ἀλλ' ὥσπερ δακτύλῳ πεποιημέναι, καὶ ἔχουσιν ὦτα τέσσαρα, πυθμένα εἰς πλάτος ἐκτεταμένον· (πολλοὶ δ' ἐν τῇ Ναυκράτει κεραμεῖς· ἀφ' ὧν καὶ ἡ πλησίον τῶν κεραμείων πύλη Κεραμικὴ καλεῖται.) καὶ βάπτονται εἰς τὸ δοκεῖν εἶναι ἀργυραῖ. Ἐπαινοῦνται δὲ καὶ αἱ Χῖαι κύλικες, ὧν [3] μνημονεύει Ἕρμιππος, ἐν Στρατιώταις·

1 Alii Αὕτη. 2 Forſ. ἣ. 3 ἃς edd.

Hic vero (*calix*) φοξίχειλος:
id eſt, ſuperne in acutum coiens, quales ſunt qui *ambices* vocantur. Nam vocabulum φοξὸν in hoc ponunt; quemadmodum etiam Homerus de Therſite,

Φοξὸς, *acuminatus erat capite.*

Et eſt veluti φαοξός: qui, qua parte ſunt oculi, (τὰ φάη) acuminatus (ὀξὸς) cernitur.

61. Eximii vero calices etiam conficiuntur in convivae noſtri Athenaei patriâ Naucrati. Sunt enim formâ phialarum, nec torno, ſed veluti digito facti: habentque aures, (*ſive* anſas) quatuor, fundum in latitudinem extenſum: (eſt autem Naucrati magnus numerus figulorum; a quibus etiam vicina figulorum officinis porta Figlina adpellatur:) & ſic tinguntur, ut videantur eſſe argentei. Laudantur vero etiam Chii calices; quorum Hermippus meminit, in Militibus, ita ſcribens:

Χία δὲ κύλιξ ὑψοῦ κρέμαται περὶ παρσαλόφιν.

f Γλαύκων δ', ἐν ταῖς Γλώσσαις, Κυπρίους φησὶ τὴν κοτύλην κύλικα καλεῖν. Ἱππώναξ δ', ἐν Συνωνύμοις, οὕτως γράφει· „Ἄλεισον, ποτήριον, κύπελλον, ἀμφωτίς, σκύφος, κύλιξ, κώθων, καρχήσιον, φιάλη." Ἀχαιὸς [1] δὲ ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι, ἀντὶ τοῦ κύλικες, [2] παραγώγως κυλιχνίδας εἴρηκε, διὰ τούτων· Κυλιχνίδες & Κυλίχναι.

Ἀλλ' ὡς τάχιστα μέλανα δεῦρο μόνον [3] φέρειν,
κοινόν τε [4] χρὴ κρητῆρα, καὶ κυλιχνίδας.

Καὶ Ἀλκαῖος· [5]

a Πίνωμεν, τί τὸν λύχνον ἀμμένομεν; δάκτυλος ἀμέρα.
καδδ' [6] ἄειρε κυλίχναις μεγάλαις αἰ τὰ [6] ποικίλαις. [7]
οἶνον γὰρ Σεμέλας καὶ Διὸς λαθικήδεα [8]

1 Temere Ἀρχαῖος ed. Baf. & Caf. 2 κύλικας edd. 3 δεῦρο μόνον Ms. δεῦρ' οἶνον corr. Caf. 4 καινόν τε corr. Caf. 5 Ἀλκαῖος δὲ κυλίχνας *Epit.* 6 αἰ τὰ ed. Ven. ἀΐταις nunc coniectabam. 7 ποικίλλης edd. ποικίλλις Ms. 8 Rectius alibi λαθικάδεα.

Chius vero calix ſublime ſuſpenſus inter paxillos.

Glaucon vero in Gloſſis ait, cotulam a Cypriis κύλικα (*calicem*) vocari. Hipponax vero, in Synonymis, ita ſcribit: » Aleiſon, poterion, cypellum, amphotis, ſcyphus, calix, cothon, carcheſion, phiala.« Achaeus vero Eretrienſis in Alcmaeone, pro vocabulo κύλικες, in longius deductâ voce κυλιχνίδας dixit, ubi ait:

At ocyus huc nigrum (vinum) *ſolum adferre*
communemque oportet craterem & κυλιχνίδας.

Et Alcaeus:

Bibamus! quid lucernam exſpectamus? Digitus eſt.
Prome maiora pocula, dilecta, (ſive, *ſocialia,*) *varia.*
Vinum enim Semelae Iovisque filius curarum oblivionem

ἀνθρώποισιν ἔδωκεν. ἔγχεε,[1] κίρνα,[2] ἕνα καὶ πλείους.

καὶ ἐν τῷ δεκάτῳ·

Λάταγες ποτέονται κυλιχνᾶν ἀπὸ Τηΐαν.

ὡς διαφόρων γινομένων καὶ ἐν Τέῳ κυλίκων.

LXII. Maiora pocula amant mulieres.

Φερεκράτης, Κοριαννοῖ·

A. Ἐκ τοῦ βαλανείου[3] γὰρ διέφθος[4] ἔρχομαι,
ξηρὰν ἔχουσα τὴν φάρυγγα· δὸς πιεῖν·[5]
γλίσχρον τ' ἐμοῦ γε[6] τὸ σίαλον, νὴ τὼ θεώ.
B. Λάβω, κορίσκη,[7] τὴν κυλίσκην;[8] A. Μηδαμῶς· b
μικράν γε. κινεῖται γὰρ εὐθύς μοι χολή,
ἐξ οὗπερ ἔπιον ἐκ τοιαύτης φάρμακον.
εἰς τὴν ἐμὴν νῦν ἔγχεον τὴν μείζονα.

Ὅτι δὲ μεγάλοις ποτηρίοις αἱ γυναῖκες ἐχρῶντο, αὐ-

1 ἔγχεαι vulgo h. l. 2 κέρνα vulgo h. l. Alibi κιρνὰς vel κιρναῖς. 3 βαλανίου vulgo. 4 διεφθορὰς edd. διεφθορὴς Ms. 5 δώσω πιεῖν vulgo: unde fortaſſe ſic ſcriptum oportuit:
ξηρὰν ἔχουσα τὴν φάρυγα. B. Δώσω πιεῖν;
6 Vulgo γλαῖσχρόν τέ μου absque γε. 7 εἰ λάβω † κυρίσοι vulgo. Θέλεις λάβω σοι corr. Caſ. κεράσω λαβών σοι Toup. λάβ' ὦ κορίσκη Fior. 8 Alibi τὴν κοτυλίσκην· quod & hic reponendum cenſent viri docti.

hominibus dedit. Infunde, miſce, unum & plures.

Et in decimo:

Latages volant Teiis e calicibus.

Significans ſcilicet, praeſtantes etiam in Teo inſulâ confici calices.

62. Pherecrates, in Corianno:

A. *E balneo enim penitus cocta venio,*
aridum habens guttur: da quod bibam!
& viſcida prorſus, per Divas! mihi ſaliva eſt.
B. *Vis ſumam, virgo, cotyliscum?* A. *Neutiquam;*
ſanequam exiguus eſt: moveturque ſtatim mihi bilis,
ex quo e tali medicamentum bibi.
In maiorem illum meum nunc infunde calicem.

Solitas autem eſſe maioribus uti poculis mulieres, idem

τὸς [1] εἴρηκε Φερεκράτης ἐν Τυραννίδι, διὰ τούτων·

Εἶτα, κεραμεύσαντα τοῖς μὲν [2] ἀνδράσι ποτήρια
πλατέα, τοίχους οὐκ ἔχοντ', ἀλλ' αὐτὸ τοὔδαφος
μόνον,
c κοὐχὶ χωροῦντ' [3] οὐδὲ κόγχην, ἐμφερῆ γευστηρίοις·
φασὶ δ' αὐταῖσιν βαθείας κύλικας, ὥσπερ ὁλκάδας
οἰναγωγοὺς, περιφερεῖς, λεπτὰς, μέσας [4] γαστροϊδας. [5]
οὐκ ἀβούλως· ἀλλὰ πόρρωθεν κατεσκευασμέναι
αὖθ', ὅπως ἀνεκλογίστως πλεῖστος οἶνος ἐκποθῇ.
d εἶθ' ὅταν τὸν οἶνον αὐτὰς αἰτιώμεθ' ἐκπιεῖν,
λοιδοροῦνται, κὠμνύουσι μὴ 'κπιεῖν ἀλλ' ἢ μίαν.
ἡ δὲ κρείττων ἡ μί' ἐστὶν χιλίων ποτηρίων.

Κυμβία. Τὰ κοῖλα ποτήρια καὶ μικρά· Σι- LXIII.

1 Forſ. ὁ αὐτὸς. 2 Abeſt μὲν edd. & ms. *A*. 3 δωροῦντ' vulgo. 4 μιστὰς *Epit.* 5 γάστριδας edd.

Pherecrates dixit in Tyrannide, his verbis:

Deinde iubent figulum viris quidem pocula conficere
lata, parietes nullos habentia, ſed fundum ſolummodo,
& ne tantum quidem quantum concha capientia, guſta-
toriis pocillis ſimilia;
ſibi vero profundos calices, veluti onerarias naves
vinum vehentes, rotundos, tenues, in medio ventroſos.
Haud inconſulto: ſed e longinquo proſpicientes
contra, ut vini plurimum, cuius ab illis ratio non po-
ſcatur, poſſint ebibere.
Deinde cum illas culpamus, vinum ab eis ebibi,
convictis nos proſcindunt, iurantque nonniſi unum ſe ebi-
biſſe calicem.
At ille unus pluris eſt quam mille pocula.

63. *Cymbia.* Cava pocula & parva: Simariſtus. Do-

Cymbium poculum.

μάριστος. Δωρόθεος δέ· „Γένος ποτηρίων βαθέων τὰ κυμβία, καὶ ὀρθῶν, [1] πυθμένα μὴ ἐχόντων, μηδὲ ὦτα.“ Πτολεμαῖος δὲ, ὁ τοῦ Ἀριστονίκου „τὰ κύφα.“ Νίκανδρος δ' ὁ Θυατειρηνὸς, [2] τὸ χωρὶς ὠτίων ποτήριον ὠνομακέναι Θεόπομπον ἐν Μήδῳ. Φιλήμων, Φάσματι·

— Ἐπειδὴ δ' ἡ [3] Ῥοδὴ
κυμβίον ἀκράτου κατασέσειχ' [4] ὑμῖν [5] ἄνω. e

Διονύσιος δ' ὁ Σάμιος, ἐν ἕκτῳ Περὶ τοῦ Κύκλου, τὸ αὐτὸ οἴεται εἶναι κισσύβιον καὶ κυμβίον. Φησὶ γὰρ, ὡς Ὀδυσσεὺς πληρώσας κυμβίον ἀκράτου, ὥρεξε τῷ Κύκλωπι. οὐκ ἔστι δὲ μικρὸν τὸ διδόμενον αὐτῷ κισσύβιον παρ' Ὁμήρῳ· οὐ γὰρ ἂν τρὶς πιὼν, μέγιστος ὢν τὸ σῶμα, ταχέως ἂν ὑπὸ τῆς μέθης κατηνέχθη. Τοῦ κυμβίου μνημονεύει καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, ἀκολουθεῖν αὐτῷ φάσκων ῥυτὰ καὶ κυμβία.

1 ὀρθὸν πυθμένα vulgo. 2 Θειατειρ. edd. 3 Ἐπεὶ δὲ ἡ vulgo. 4 κατασείσιχεν vulgo. 5 ὑμᾶς ms. *A*.

rotheus vero: »Genus poculorum profundorum sunt *cymbia*, & rectorum, fundum (*id est*, basin) non habentium, neque aures. « Ptolemaeus autem, Aristonici (pater): »incurva, *vel*, gibba. « Nicander vero Thyatirenus ait, poculum absque auribus Theopompum, in Medis, *cymbium* nominasse. Philemon, in Phasmate:

— *Postquam vero Rhoda*
cymbium meri superne nobis incussit.

Dionysius vero Samius, sexto libro de Cyclo (poëtico), statuit idem esse cissybium & cymbium. Ait enim, *Ulyssem cymbium mero repletum porrexisse Cyclopi.* At non est exiguum quod illi apud Homerum datur cissybium: non enim, postquam ter ex eo bibit is qui tam vasto fuit corpore, ita statim ebrietate fuisset oppressus. *Cymbii* meminit etiam Demosthenes in Oratione in Midiam, *quem* ait *comitatum fuisse rhytis & cymbiis.* Item in ora-

f καὶ ἐν τῷ κατὰ Εὐέργου [1] καὶ Μνησιβούλου. Φησὶ δὲ Δίδυμος ὁ γραμματικὸς, ἐπίμηκες εἶναι τὸ ποτήριον καὶ στενὸν τῷ σχήματι, παρόμοιον πλοίῳ. καὶ Ἀναξανδρίδης, ἐν Ἀγροίκοις·

— Μεγάλ' ἴσως ποτήρια
προπινόμενα, καὶ μέστ' ἀκράτου [2] κυμβία
ἐκάρωσεν ὑμᾶς· ἀνακεχαίτικεν μὲν οὖν.

Ἀλεξις, Ἱππεῖ·

— Α. Τά τε κυμβί' ἦν πρόσωπ'
a ἔχοντα χρυσᾶ παρθένων; Β. Νὴ τὸν Δία·
ἦν γάρ. Α. Τάλαιν' [3] ἐγωγε κακῶν. —

LXIV. Eratoſthenes, de Cymbio.

Ἐρατοσθένης δ' ἐν τῇ πρὸς Ἀγήτορα τὸν Λάκωνα Ἐπιστολῇ, ὡς κυαθῶδες ἀγγεῖον τὸ κυμβίον παραδίδωσι, γράφων οὕτως· „Θαυμάζουσι δὲ οἱ αὐτοὶ, καὶ πῶς κύαθον μὴ κεκτημένος, ἀλλὰ κυμβίον μόνον, [4] φιάλην προσεκέκτητο. δοκεῖ δή μοι, τὸ μὲν τῆς τῶν

1 Εὐέργους edd. Εὐεργοῦ Ms. 2 μετ' ἀκράτου vulgo. 3 ὦ τάλαιν' vulgo. 4 μόνην φιάλην vulgo.

tione in Euergum & Mneſibulum. Dicit autem Didymus Grammaticus, eſſe poculum formâ oblongum & anguſtum, ſimile navigio. Et Anaxandrides, in Ruſticis:

— *Magna fortaſſe pocula*
propinata, & cymbia mero plena,
caput gravarunt vobis; impetum certe repreſſerunt.

Alexis, in Equite:

— A. *Cymbia illa ergo habebant*
vultus virginum aureos? B. *Per Iovem,*
habebant ſane. A. *Ah me miſeram infelicemque!*

64. Eratoſthenes vero, in Epiſtola ad Agetorem Lacedaemonium, cymbium docet eſſe vas cyatho quodammodo ſimile, ita ſcribens: » Mirantur vero etiam iidem, quo pacto qui cyathum nullum poſſideret, ſed ſolum *cymbium*, tamen ſimul phialam poſſediſſet. Mihi

ἀνθρώπων χρείας ἕνεκα, τὸ δὲ τῆς τῶν θεῶν τιμῆς εἰς
τὴν κτῆσιν παρειληφέναι. κυάθῳ μὲν οὖν οὐδεν ἐχρῶν-
το τότε, οὐδὲ κοτύλῃ. κρατῆρα γὰρ ἵσταν τοῖς θεοῖς b
οὐκ ἀργυροῦν, οὐδὲ λιθοκόλλητον, ἀλλὰ τῆς Κωλιά-
δος γῆς. τοῦτον δ' ὁσάκις ἐπιπληρώσαιεν, [1] ἀποσπεί-
σαντες τοῖς θεοῖς ἐκ τῆς Φιάλης, ὠνοχόουν ἑφεξῆς,
τὸν νεοκρᾶτα βάπτοντες τῷ κυμβίῳ, καθὰ καὶ νῦν
παρ' ἡμῖν [2] ποιοῦσιν ἐν τοῖς Φιδιτίοις. [3] εἰ δέ ποτε
πλεῖον πιεῖν βουληθεῖεν, προσπαρετίθεσαν τοὺς καλου-
μένους κοτύλους, κάλλιστα καὶ εὐποτώτατα ἐκπω-
μάτων. ἦσαν δὲ καὶ οὗτοι τῆς αὐτῆς κεραμείας." Ὅταν
δ' Ἔφιππος ἐν Ἐφήβοις λέγῃ,

Οὐ κύλικας [4] ἐπὶ τὰ δεῖπνα Χαιρήμων φέρει· c
οὐ κυμβίοισι πεπολέμηκ' Εὐριπίδης· [5]

1 Ἐπί τι πληράσαιεν Ms. 2 Forſ. ὑμῖν. 3 φιδιτείοις ms. *A.* & ed. Ven. φειδιτείοις ed. Baſ. & Caſ. 4 κύλικ' ἐπὶ edd. 5 Utrumque verſum *interrogative* accipit Caſaub.

ſane videtur, alterum illud habuiſſe in uſum hominum, alterum vero in Deorum honorem ſibi comparaſſe. Cyatho quidem ea aetate non utebantur, neque cotulâ. Nam craterem Deorum ſacris adhibuerunt non argenteum, nec ex pretioſo lapide, ſed ex terra Coliade: quem quoties repleviſſent, poſtquam Diis ex illo libarunt, continuo vinum infundebant, recens dilutum haurientes *cymbio*, quemadmodum etiam nunc apud nos [*ſive*, apud vos] faciunt in phiditiis. Quod ſi quando amplius bibere voluiſſent, inſuper adponebant quos *cotylos* vocant, pulcerrima & ad bibendum prae caeteris commoda pocula: erant vero etiam haec ex eâdem figulinâ terrâ confecta. « Quando vero Ephippus in Ephebis dicit:

Non calices ad coenas Chaeremon fert,
non cymbiis pugnavit Euripides:

οὐ τὸν τραγικὸν λέγει ποιητὴν, ἀλλά τινα ὁμώνυμον αὐτῷ, ἤτοι φίλοινόν τινα, ἢ αἰτίαν ἔχοντα οὐ χρηστὴν, ὡς φησιν Ἀντίοχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ Περὶ τῶν ἐν τῇ μέσῃ Κωμῳδίᾳ κωμῳδουμένων Ποιητῶν. τὸ γὰρ ἐπάγεσθαι κατὰ τὰς ἑστιάσεις κυμβία, καὶ δοκεῖν τούτοις διαμάχεσθαι, εἰς ἑκάτερα τείνει. μνημονεύει δ' αὐτοῦ καὶ Ἀναξανδρίδης, ἐν Νηρηίσιν· Euripides, diverſus a Tragico.

d — Δὸς δὴ τὸν χό'
αὐτῷ, σύγκωμε· καὶ τὸ κυμβίον φέρων,
Εὐριπίδης τις σήμερον γενήσεται.

καὶ Ἔφιππος, ἐν Ὁμοίοις, ἢ ἐν Ὀβελιαφόροις·

Διονυσίου δὲ δράματ' ἐκμαθεῖν δέοι,
καὶ Δημοφῶντος ἅτ' ἐποίησεν εἰς κοτύλην, [1]
ῥήσεις τε κατὰ τὸ δεῖπνον [2] Θεωρός μοι [3] λέγοι,
Λητοῖ τοι † κύσαιμι [4] τὴν ἐξῆς θύραν,
κυμβία τε παρέχοι μ' [5] ἑστιῶν Εὐριπίδης.

1 Forſ. Ἅττ' ἐποίησεν εἰς Κότυν. 2 Immo κατὰ τὰ δεῖπνα. 3 Forſ. Θεωροῦ μοι. 4 λητι τοι κησαιμι Ms. 5 παρέχοιμ' vulgo.

non tragicum poëtam dicit; ſed aliquem eius cognominem, qui ſive vinoſus erat, ſive alioquin male audiebat, ut ait Antiochus Alexandrinus in libro de Poëtis qui in Mediâ Comoediâ perſtringuntur. Nam, cymbia ſecum in convivia ferre, & his pugnare, utroque pertinet. Meminit eiusdem Anaxandrides, in Nereidibus:

— *Da nempe congium*
illi, o compotationis ſodalis: ſitque (ille) *hodie*
Euripides aliquis, cymbium ferens.

Item Ephippus, in Similibus, ſive in Obeliaphoris:

Dionyſii vero dramata ediſcere oportuerit,
& Demophontis carmina in Cotyn compoſita,
& eclogas Theori inter coenas recitaverit,
. . . . . .
& cymbia mihi praebeat convivator Euripides.

Cymba, navigium.

Ὅτι δὲ καὶ πλοῖον ἡ κύμβη, Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησίν·

Ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα. e

Κύμβα· ποτήριον, Ἀπολλόδωρος, Παφίοις. [1]

LXV. Cupellum.

ΚΥΠΕΛΛΟΝ. Τοῦτο πότερόν ἐστι ταυτὸν τῷ ἀλείσῳ καὶ τῷ δέπαϊ, ἢ ὀνόματι [2] διαλλάσσει;

Τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδόν. —

ἢ διάφορος ἦν ὁ τύπος; καὶ οὐχ', ὥσπερ τὸ δέπας καὶ τὸ ἄλεισον ἀμφικύπελλον, οὕτω δὲ καὶ τοῦτο· κυφὸν δὲ μόνον. ἀπὸ γὰρ τῆς κυφότητος τὸ κύπελλον, ὥσπερ καὶ τὸ ἀμφικύπελλον· [3] ἢ ὅτι παραπλήσιον ἦν f ταῖς πέλλαις, συνηγμένον μᾶλλον εἰς τὴν κυφότητα· ἢ ἀμφικύπελλα, οἷον ἀμφίκυρτα, ἀπὸ τῶν ὤτων, διὰ τὸ τοιαῦτα εἶναι τῇ κατασκευῇ. φησὶ γὰρ καὶ ὁ

1 Rectius fuerit; ποτήριον Παφίοις· Ἀπολλόδωρος. 2 Immo καὶ ὀνόματι. 3 Quatuor verba desunt edd.

Esse vero *cymbam* etiam navigium, Sophocles in Andromeda declarat:

Equis an cymbis terram peragras?

Cymba: poculum, Paphiis: Apollodorus.

65. *Cupellum.* Dubitari potest, sit-ne hoc idem cum eo quod *aleison* & *depas* vocatur, nomineque solo differat:

Hos quidem aureis cupellis filii Achivorum
excipiebant, aliunde alius assurgentes.

an sit diversâ formâ, nec, sicut depas & aleison, ἀμφικύπελλον, sed gibbum solummodo. Nam a gibbositate (*sive*, incurvâ formâ) dictum est *cupellum*, quemadmodum & amphicupellum: sive quod simile sit multris, (ταῖς πέλλαις) magis tamen in curvitatem contractum: aut ἀμφικύπελλα quasi ἀμφίκυρτα, ab auribus, (*vel* ansis,) quarum scilicet structura talis est. Dicit

ποιητὴς „χρύσεον ἄμφωτον.“ Ἀντίμαχος δ' ἐν πέμπτῳ Θηβαΐδος·

Πᾶσιν δ' ἡγεμόνεσσιν ἐποιχόμενοι κήρυκες
χρύσεα καλὰ κύπελλα τετυγμένα νωμήσαντο.

Σιληνὸς δέ φησίν· „Κύπελλα, ἐκπώματα σκύφοις ὅμοια· ὡς καὶ Νίκανδρος ὁ Κολοφώνιος,

a — Κύπελλα δ' ἔνειμε συβώτης.“

Εὔμολπος δέ, ποτηρίου γένος, ἀπὸ τοῦ κυφὸν εἶναι. Σιμάριστος δέ, τὸ δίωτον [1] ποτήριον Κυπρίους, τὸ δὲ δίωτον καὶ τετράωτον Κρῆτας. Φιλήτας δέ, Συρακουσίους κύπελλα καλεῖν τὰ τῆς μάζης καὶ τῶν ἄρτων ἐπὶ τῆς τραπέζης καταλείμματα.

Κύμβη. Φιλήμων, ἐν ταῖς Ἀττικαῖς Φωναῖς· „κύλικος εἶδος.“ Ἀπολλόδωρος δ', ἐν τῷ [2] Περὶ Ἐτυμολογιῶν, Παφίους τὸ ποτήριον καλεῖν κύμβα. [3] Cymba.

1 ἄωτον apud Hesych. 2 Forſ. ἐν τοῖς περὶ. 3 κύμβαν ms. *Ep.*

enim etiam Poëta, *aureum ἄμφωτον.* (quaſi, *utrimque auritum* vel *anſatum.*) Antimachus vero, quinto libro Thebaidis:

Ducibus cunctis obambulantes praecones
aurea cupella pulcre fabrefacta distribuerunt.

Silenus vero ait: »*Cupella*, pocula ſcyphis ſimilia. Sic & Nicander Colophonius:

— *Cupella vero distribuit ſubulcus.*«

Eumolpus vero, poculi genus eſſe ait, inde dictum quod gibbum (vel incurvum) ſit. Simariſtus vero, Cyprios ita vocare poculum duabus auribus inſtructum; Cretenſes vero, duabus aut quatuor auribus inſtructum. Phileras vero, Syracuſios *cupella* vocare mazae & panum in menſa reliquias.

Cymba. Philemon, in Vocibus Atticis: »calicis genus.« Apollodorus vero, in libro de Etymologiis, Paphios ait poculum vocare *cymba.*

LXVI. Cothon.

Κώθων. Λακωνικὸν ποτήριον· οὗ μνημονεύει b Ξενοφῶν ἐν πρώτῳ Κύρου παιδείας. Κριτίας δὲ, ἐν Λακεδαιμονίων Πολιτείᾳ, γράφει οὕτως· „Χωρὶς δὲ τούτων τὰ σμικρότατα εἰς τὴν δίαιταν, ὑποδήματα ἄριστα Λακωνικὰ, [1] ἱμάτια φορεῖν ἥδιστα καὶ χρησιμώτατα· κώθων Λακωνικὸς, ἔκπωμα [2] ἐπιτηδειότατον εἰς στρατείαν, καὶ εὐφορώτατον ἐν γυλίῳ. οὗ δὲ ἕνεκα [3] στρατιωτικὸν [4] πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρὸν, πρῶτον μὲν οὖν τὸ μὴ λίαν κατάδηλον εἶναι τὸ πόμα, εἶτα ἄμβωνας ὁ κώθων ἔχων ὑπολείπει [5] τὸ οὐ καθαρὸν ἐν αὐτῷ.“ καὶ Πολέμων δὲ, c ἐν τῇ * τῶν πρὸς Ἀδαῖον [6] καὶ Ἀντίγονον, ὅτι κεραμέοις ἀγγείοις ἐχρῶντο οἱ Λακεδαιμόνιοι, γράφει οὕτως· „Ἀλλὰ μὴν ὅτι [7] ἀρχαϊκὸν ἦν τὸ τοιοῦτόν δε τῆς

1 Fortaſſe ſic conſtituendus locus: τὰ σμικρότατα εἰς τὴν δίαιταν δαπανήματα, ἄριστα. Λακωνικὰ ἱμάτια, φορεῖν ἥδιστα &c. 2 Λακωνικὸν ἔκπαμα edd. 3 Forſ. οὗ δὴ ἕνεκα. 4 τὸ στρατιωτικὸν malim. Aut, οὗ δὲ ἕνεκα στρατιωτικόν; interrogative. *Cur vero militare?* 5 ὑπολείπειν vulgo. 6 ἐν τῇ πρὸς τὸν Ἀδαῖον edd. 7 An Ἀλλὰ δηλονότι?

66. *Cothon.* Laconicum poculum: cuius Xenophon meminit, primo Iuſtitutionis Cyri. Critias vero, in Lacedaemoniorum Republica, ita ſcribit: »Praeterea minima in vitae uſum, calceamenta Lacedaemoniorum optima, veſtimenta geſtatu gratiſſima & commodiſſima: cothon Laconicus, poculum militiae adcommodatiſſimum, & portatu in pera militari expediti ſſimum. Cur vero militare ſit poculum, ratio haec eſt. Saepe oportet milites aquam bibere minus puram: atqui primum hoc habet illud poculum, ut potus in eo non valde adpareat; deinde cum habeat oram introrſum reflexam, facit ut id, quod minus purum eſt, intus relinquatur.« Fictilibus autem vaſis uſos eſſe Lacedaemonios, Polemon ſcribit libro [quinto] ad Adaeum & Antigonum, his verbis: »Sed antiquum eſt hoc genus inſtituti, quod

ἀγωγῆς γένος, ὃ καὶ νῦν δρᾶται παρά τισι τῶν Ἑλλήνων· ἐν Ἄργει μὲν, ἐν ταῖς δημοσίαις θοίναις· ἐν Λακεδαίμονι δὲ, κατὰ τὰς ἑορτὰς, ἔν τε τοῖς ἐπινικίοις καὶ τοῖς γάμοις τῶν παρθένων, πίνουσιν ἐκ κεραμέων ποτηρίων· ἐν δὲ τοῖς ἄλλοις συμποσίοις καὶ Φιδιτίοις, [1] d ἐν πιθάκναις." Μνημονεύει αὐτοῦ καὶ Ἀρχίλοχος, ἐν Ἐλεγείοις, ὡς ποτηρίου, οὕτως·

Ἀλλ' ἄγε [2] σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
φοίτα, καὶ κοίλων πῶματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός. οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ [3] τῇδε δυνησόμεθα.

ὡς τῆς κύλικος λεγομένης κώθωνος. Ἀριστοφάνης, Ἱππεῦσιν·

— Εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ [καὶ] [4] σκόροδα, καὶ κρόμμυα.

1 Rurſus φειδιτείοις edd. φιδιτείοις Ms. 2 Ἀλλά τε Ms. Ἀλλά γε edd. 3 μὲν φυλακῇ Ms. 4 καὶ abeſt vulgo.

etiam nunc obtinet apud Graecorum nonnullos: Argis quidem, in publicis epulis; Lacedaemone vero, diebus feſtis, & in conviviis victoriae cauſſa celebratis, & in nuptiis virginum, bibunt e fictilibus poculis: in aliis vero conviviis, & in phiditiis, doliolis utuntur. « Meminit etiam cothonis, tamquam poculi, Archilochus, in Elegiis, ubi ait:

Sed tu, age, cum cothone per celeris navis tabulata obi, & cavis de cadis opercula aufer,
& vinum cede rubrum faece tenus. Nec enim nos ſine potu durare in hac cuſtodia poſſumus.

Cothonem dicit, calicem ſignificans. Rurſus Ariſtophanes, in Equitibus:

— In hippagines inſiluerunt ſtrenue,
ementes cothonas, alii vero allia & cepas.

Ἡνίοχος, Γοργόσι· e

Πιεῖν τις [1] ἐγχείτω, λαβὼν πυριγενῆ κυκλοτερῆ
βραχύωτον παχύστομον κώθωνα παῖδα Φάρυγος.

Θεόπομπος, Στρατιώτισιν·

Ἐγὼ γὰρ [2] κώθωνος ἐκ στρεψαύχενος
πιοίμαν, [3] τὸν τράχηλον ἀνακεκλασμένη; [4]

Ἀλεξις, Ἐρίθοις·

Εἶτα [5] τετρακότυλον ἐπεσόβει κώθωνά μοι,
παλαιὸν οἴκων [6] κτῆμα. —

Ἀπὸ δὲ τοῦ ποτηρίου τούτου, καὶ ἀκρατοκώθωνας καλοῦσι τοὺς πλέον ἄκρατου σπῶντας· ὡς Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους. Καλλίξεινος δ' ἐν τετάρτῳ Περὶ Ἀλεξανδρείας, ἀναγράφων τὴν τοῦ Φιλαδέλφου f

1 Πιεῖν, πιεῖν τις ms. *A*. 2 Forſ. Ἔγωγε γὰρ. 3 ποιμαντὸν τραχ. ms. *A*. πιόμαν τὸν ms. *Ep*. Immo πίοιμι, τὸν legendum puto. 4 ἀνακεχλασμένης edd. 5 Εἶτ' ἐν vulgo. 6 πλέον οἶχεν vulgo.

Heniochus, Gorgonibus:

Quod bibamus infundat quispiam, ſumens igne-natum,
teretem, brevi-anſâ, craſſo-ore cothonem, gulae miniſtrum.

Theopompus, in Mulieribus-militantibus:

Ego vero ex cothone cervice-inflexâ
bibam, collum ipſa retorquens meum?

Alexis, in Lanificis:

Deinde quatuor-cotylarum cothonem mihi obtruſit,
antiquam domus poſſeſſionem. —

Ab hoc vero poculo etiam *acratocothonas* vocant hos, qui nimium meri hauriunt: ut Hyperides in Oratione in Demoſthenem. Callixenus vero, quarto libro de Alexandriâ, Philadelphi pompam deſcribens, & plu-

πομπὴν, καὶ καταλέγων πολλὰ ἐκπώματα, γράφει καὶ τάδε· „κώθωνες διμέτρητοι [1] δύο.“

LXVII.

De potando praeceptum medicum.

Περὶ δὲ τοῦ κωθωνίζεσθαι, καὶ ὅτι χρήσιμός ἐστι διὰ χρόνου ὁ κωθωνισμὸς, Μνησίθεος ὁ Ἀθηναῖος ἰατρὸς, ἐν τῇ Περὶ Κωθωνισμοῦ ἐπιστολῇ, φησὶν οὕτως· „Συμβαίνει τοὺς μὲν πολὺν ἄκρατον ἐν ταῖς συνουσίαις πίνοντας μεγάλα βλάπτεσθαι, καὶ τὸ σῶμα, a καὶ τὴν ψυχήν. τὸ μέντοι κωθωνίζεσθαι διά τινων ἡμερῶν δοκεῖ μοι ποιεῖν τινα καὶ τοῦ σώματος κάθαρσιν, καὶ τῆς ψυχῆς ἄνεσιν. γίγνονται γάρ τινες ἡμῖν ἐκ τῶν καθ' ἡμέραν συμποσίων ἐπιπόλαιοι δριμύτητες. ταύταις οὖν ἐστι τῶν μὲν πόρων οἰκειότατος ὁ διὰ τῆς οὐρήσεως· τῶν δὲ καθάρσεων ὁ διὰ τῶν κωθωνισμῶν πρέπει μάλιστα. κατανίζεται γὰρ τὸ σῶμα τοῖς οἴνοις· ὑγρὸν γὰρ καὶ θερμὸν ὁ οἶνος. τὸ δὲ ἀφ' ἡμῶν

1 Perperam διάμετροι vulgo h. l.

ra recenſens pocula, inter alia haec ſcribit: »cothones duo, duas metretas capientes.«

67. De potando vero, (ſive, ut Graeci dicunt, de *cothonizando*) ſcilicet utile eſſe, ſi quandoque largius indulgeas poculis, Mneſitheus Athenienſis medicus in Epiſtolâ de Potatione ita praecipit: »Qui multum meri in conviviis bibunt, hi quidem magnis & corpore & animo incommodis adficiuntur. Verumtamen ex aliquot dierum intervallo ſubinde poculis nonnihil indulgere, (κωθωνίζεσθαι) videtur mihi & purgandi corporis & relaxandi animi vim habere. Generantur enim nobis e quotidianis conviviis leves quaedam acrimoniae. His igitur eiiciendis nullus commodior meatus eſt, quam per urinam: nullum vero purgationis & evacuationis genus aptius, quam quod fit per *cothonismos*. Eluitur enim corpus vino: humidum enim & calidum eſt vinum. Quae

διηθούμενον οὖρόν ἐστι δριμύ. τὰ γοῦν ἱμάτια τούτῳ χρώμενοι ῥύμματι πλύνουσιν οἱ γναφεῖς. [1] Τρία δὲ b παραφύλαττε ὅταν κωθωνίζῃ· μὴ πονηρὸν οἶνον πίνειν, μὴ δὲ ἄκρατον, μὴ δὲ τραγηματίζεσθαι ἐν τοῖς κωθωνισμοῖς. ὅταν δὲ ἱκανῶς ἔχῃς ἤδη, μὴ κοιμῶ, πρὶν ἂν ἐμέσῃς πλέον ἢ ἔλαττον.[2] εἶτα, ἐὰν μὲν [3] ἐμέσῃς ἱκανῶς, ἀναπαύου, μικρὸν [4] περιχεάμενος. ἐὰν δὲ μὴ δυνηθῇς ἱκανῶς κενῶσαι σαυτὸν, πλείονι χρῆσαι τῷ λουτρῷ, καὶ εἰς τὴν πύελον καταπλίβηθι σφόδρα εἰς θερμὸν ὕδωρ." Πολέμων δ', ἐν πέμπτῳ τῶν πρὸς Ἀδαῖον καὶ Ἀντίγονον, φησί· „Διόνυσος τέλειος, καθήμενος c ἐπὶ πέτρας· ἐξ εὐωνύμων δὲ αὐτοῦ σάτυρος φαλακρὸς, ἐν τῇ δεξιᾷ κώθωνα μόνωτον [5] ῥαβδωτὸν κρατῶν."

LXVIII. Labronia, vel Labronius.

ΛΑΒΡΩΝΙΑ.[6] Ἔκπωμάτος Περσικοῦ εἶδος, ἀπὸ τῆς ἐν τῷ πίνειν λαβρότητος ὠνομασμένον. πλα-

1 βαφεῖς ms. *Ep.* 2 πλέον ἔλαττον edd. 3 Deeſt μὲν editis. 4 μικρᾶς edd. Neſcio an & ms. *A.* 5 μόνον τὸν edd. 6 Λαβρώνια malles, aut Λαβρώνιος.

autem a nobis ſecernitur urina, acris eſt: quare eâ etiam fullones pro ſtrigmento utuntur ad eluenda veſtimenta. Sed tria tu cave, quando poculis indulges: ne pravum bibas vinum, nec vero merum, tum ne inter potandum utaris bellariis. Poſtquam vero ſatis potaveris, ne te ſomno trade prius quam plus minusve vomueris. Deinde, poſtquam ſatis vomueris, ſomnum cape, levi balneo perfuſus. Sin haud ſatis evacuare te potueris, copioſiore balneo utere, & in ſolio recumbe calidâ admodum aquâ pleno." Polemo vero, quinto Ad Adaeum & Antigonum, ait: »Bacchus adultus, ſedens in rupe; a ſiniſtra eius ſatyrus calvus, dextrâ tenens cothonem ſtriatum unâ anſâ inſtructum."

68. *Labronia.* (ſ. *Labronius.*) Poculi Perſici genus, ab *avide* (λάβρως) *potando* nomen habens. Eſt autem am-

τὸ δ' ἐστὶ τῇ κατασκευῇ καὶ μέγα· ἔχει δὲ καὶ ὦτα μεγάλα. Μένανδρος, Ἁλιεῖ·

Εὐπορεῦμεν οὐδὲ [1] μετρίως ἐκ κυλίνδων [2] χρυσίου. [3]

d Περσικαὶ στολαὶ δ' ἐκεῖναι πορφυραῖ τορεύματα [4]
ἔνδον ἔστ', ἄνδρες, ποτηρίδια [5] τορεύματα,
κἀκτυπωμάτων πρόσωπα, τραγέλαφοι, λαβρωνία. [6]

ἐκ δὲ Φιλαδέλφοις·

Ἤδη δ' ἐπίχυτις, διάλιθοι λαβρώνιοι,
Πέρσαι δ' ἔχοντες μυιοσόβας ἑστήκεσαν.

Ἵππαρχος δ', ἐν Θαΐδι·

Ὁ λαβρώνιος δ' ἔσθ' οὗτος ὄρνις. Ἡράκλεις,
e ποτήριον χρυσοῦς διακοσίους ἄγον.

1 Εὐπορουμένου δὲ edd. Unde quidam Εὐπορουμένῳ δὲ corrigunt. 2 ἐκ κυλίκων edd. ἐκ Κιλικίας corr. Bentl. Possis & ἐκ κυλίχνων vel κυλιχνῶν coniectare, & deinde χρυτέων. 3 χρυσίον vulgo. 4 τορεύματ' Ms. πορφυρᾶ τε στρώματα corr. Bentl. 5 τε καὶ inserit Bentl. 6 λαβρώνιοι alibi apud Nostrum.

plum fabricâ, & magnum; aures vero etiam (*sive* ansas) habet magnas. Menander, Piscatore:

Abundamus haud parum e Cylindis auro: (sive, *caliculis aureis:*)
Persicae vero illae stolae, & purpurea stragula!
Intus sunt, o viri, pocula & caelata vasa,
variis sculpta figuris, tragelaphi, labronia. (sive, *labronii.*)

In Philadelphis vero:

Iam incipiebat propinatio & inter pocula salutatio; aderant labronii gemmis distincti:
adstabant Persae muscaria tenentes.

Hipparchus, Thaide:

Labronius vero hic prodigii instar est, ita me Hercules amet!
poculum ducentos aureos pondere aequans.

ὦ περιβοήτου, Φιλτάτη, λαβρωνίου.

Δίφιλος, Πιθραύστῃ, καὶ ἄλλα γένη καταλέγων ποτηρίων, φησί·

Α. Τραγέλαφος, πρίστις, βατιάκη, λαβρώνιος.

Β. Ἀνδραποδίων [1] δὴ ταῦθ', ὁρᾷς. Α. Ἥκιστά γε· ἐκπωμάτων δ' ὀνόματα, πρὸς τῆς Ἑστίας.

ὁ λαμβρώνιος, χρυσῶν δὲ, παῖδες, εἴκοσι.

Δίδυμος δὲ, ὅμοιον εἶναι, φησὶν, αὐτὸ [2] βομβυλιῷ ἢ βατιακίῳ. ε

LXIX. Laconicus calix.

ΛΑΚΑΙΝΑΙ. Κυλίκων εἶδος οὕτως λεγόμενον ἢ ἀπὸ τοῦ κεράμου, ὡς τὰ Ἀττικὰ σκεύη, ἢ ἀπὸ τοῦ σχήματος ἐπιχωριάσαντος ἐκεῖ, ὥσπερ αἱ Θηρίκλειαι λέγονται. Ἀριστοφάνης, Δαιταλεῦσι·

Συβαρίτιδάς τ' εὐωχίας, καὶ Χῖον ἐκ Λακαινᾶν κυλίκων μέθυ, ἡδέως [3] καὶ φίλως. —

LXX. Lepaſte.

ΛΕΠΑΣΤΗ. Οἱ μὲν ὀξύνουσι τὴν τελευταίαν,

1 ἀνδραπόδιον vulgo. 2 αὐτὸν malles. 3 ἁδεῶς corr. vir doctus.

O nobiliſſimum poculum, dileCtiſſima!

Diphilus, Pithrauſte, [*forſ.* Tithrauſte,] alia etiam genera poculorum commemorans, ait:

A. *Tragelaphus, priſtis, batiaca, labronius.*

B. *Servulorum vides haec nomina eſſe.* A. *Minime vero: ſed poculorum ſunt, per Veſtam.*

Labronius vero hic, o pueri, viginti aureorum eſt.

Didymus vero ait, ſimile hoc poculum eſſe bombylio aut batiacio.

69. *Laconicus.* Calicis genus, ſic dictum ſive a terrâ figulari, ut vaſa Attica; ſive a formâ, quae in ea regione uſitata erat, quemadmodum thericlei dicuntur calices. Ariſtophanes, in Epulonibus:

Sybaritica epula, & Chium e Laconicis calicibus merum, iucunde & amice.

70. *Lepaſte.* Alii acuunt ultimam, λεπαστὴ, ut

ὡς καλή· οἱ δὲ παροξύνουσιν, ὡς μεγάλη. τοῦτο δὲ τὸ
a ποτήριον ὠνομάσθη ἀπὸ τῶν εἰς τὰς μέθας καὶ τὰς
ἀσωτίας πολλὰ ἀναλισκόντων, οὓς λαφύκτας καλοῦ-
μεν. κύλικες δ' ἦσαν μεγάλαι. Ἀριστοφάνης, Εἰρήνῃ·

Τί δῆτ', ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν; [1]
ἀφ' ἧς ἐστι λάψαι· τουτέστιν, ἀθρόως πιεῖν, κατεναν-
τίον τῷ λεγομένῳ βομβυλιῷ. φησὶ γάρ που ὁ αὐτός·

Τὸ δ' αἷμα [2] λέλαφας τοὐμόν, ὦναξ δέσποτα.
οἷον, ἄθρουν μ' ἐξέπιες. ἐν δὲ Γηρυτάδῃ·

„Ἦν δὲ τὸ πρᾶγμ' ἑορτή, περιέφερε δ' ἐν κύ-
b κλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς, ἐνέ-
χει τε σφόδρα κυανοβενθῆ." [3]

τὸ βάθος παρίστησιν ὁ κωμικὸς τοῦ ποτηρίου. Ἀντι-
φάνης δ' ἐν Ἀσκληπιῷ·

Τὴν δὲ [4] γραῦν τὴν ἀσθενοῦσαν πάνυ πάλαι, τὴν
βρυκτικὴν, [5]

1 Vulgo τί δῆτα νηπίοις οἴνου κύλικα λεπαστήν; 2 Τὸ δέμας *Epit.* 3 κυανοκευθῆ edd. 4 Τὴν δὴ vulgo. 5 βρυτικὴν vulgo. Forſ. βρυττικήν.

καλή: alii penacute ſcribunt, ut μεγάλη. Nominatum eſt autem hoc poculum ab his qui in ebrietatem & luxuriam multos ſumtus faciunt, quos *laphyctas* vocamus. Erant autem calices magni. Ariſtophanes, Pace:

Quid ergo, ſi ebiberes novi vini lepaſtam?

Ex qua poſſis λάπτειν, id eſt, *affatim bibere*, contra quam e bombylio qui vocatur. Dicit enim alicubi idem:

Sanguinem meum λέλαφας, *o rex here!*

id eſt, ſimul omnem ebibiſti. In Gerytade vero:

Erat autem feſtus quidam dies: circumferebat circumcirca lepaſtam puer, ſtrenue nobis offerens, infundebatque caliginoſâ admodum profunditate.

Quibus verbis docet comicus poculi altitudinem. Antiphanes vero, in Aeſculapio:

Anum infirmam iam pridem, febricitantem,

ῥιζίον τρίψας τι μικρὸν, θελεάσας τε γεννικῇ [1]
τὸ μέγεθος κοίλῃ λεπαστῇ, τοῦτ' ἐποίησ' [2] ἐκπιεῖν.

Φιλύλλιος, Αὔγῃ·

„ Πάντα γὰρ ἦν μετ' ἀνδρῶν μειρακίων πινόντων, ὁμοῦ δ' ἄλλων γραϊδίων μεγάλαισιν οἴνου χαίροντα [3] λεπασταῖς."

Θεόπομπος, Παμφίλῃ·

Σπόγγος, λεκάνη, πτερὸν, λεπαστὴ πάνυ πυκνὴ, ὃ
ἦν ἐκπιοῦσ' [4] ἄκρατον ἀγαθοῦ δαίμονος,
τέττιξ κελαδεῖ. —

καὶ ἐν Μήδῳ·

Ὡς ποτ' ἐκήλησεν Καλλίστρατος υἷας Ἀχαιῶν,
κέρμα φίλον τι διδοὺς, ὅτε συμμαχίαν ἐρέεινεν·
οἷον [5] δ' οὐ κήλησε δέμας λεπτὸν Ῥαδάμανθυν
Λύσανδρον κώθωνι, πρὶν αὐτῷ δῶκε λεπαστήν.

1 γεννητιχῇ vulgo. 2 ἐποίησεν vulgo. 3 χαιρόντων corrigunt, aut χαίρουσα. 4 πυκνὴν ἐκπιοῦσ' vulgo. 5 οἷον vulgo.

vaegrandi adliciens cavâ lepaſtâ, cui radiculam intriverat quampiam, ebibere illam fecit.

Philyllius, in Auga:

Continenter enim cum viris iuvenibus bibentibus erat, & cum aliis aniculis, quae magnis gaudebant vini lepaſtis.

Theopompus, Pamphilâ:

Spongium, pelvis, pinna, lepaſta ſpiſſa admodum; quam poſtquam illa ebibit meram in Boni Dei honorem, velut cicada perſtrepit. —

Et in Medo:

Demulcens olim Calliſtratus filios Achivorum, gratum aliquod offerens lucellum, cum eorum peteret ſocietatem;
unum non demulſit corpore exilem Rhadamanthum Lyſandrum cothone, priusquam ei dediſſet lepaſtam.

d Ἀμερίας δέ φησι, τὴν οἰνοχόην λεπαστὴν καλεῖσθαι. Ἀριστοφάνης δὲ καὶ Ἀπολλόδωρος, γένος εἶναι κύλικος. Φερεκράτης, Κραπατάλλοις·

— Τῶν θεατῶν δ' ὅστις ἂν [1]
διψῇ, λεπαστὴν λαψάμενος ἐχαρύβδισε [2]
μεστήν. —

Νίκανδρος δ' ὁ Κολοφώνιός φησι, Δόλοπας οὕτω καλεῖν τὴν κύλικα. Λυκόφρων δ', ἐν τῷ ἑνάτῳ Περὶ Κωμῳδίας, παραθέμενος τὰ Φερεκράτους, καὶ αὐτὸς εἶ-
e ναί φησι γένος κύλικος τὴν λεπαστήν. Μόσχος δ', ἐν Ἐξηγήσει Ῥοδιακῶν λέξεων, κεραμεοῦν ἀγγεῖόν φησιν αὐτὸ εἶναι, ἐοικὸς ταῖς λεγομέναις πτωματίσιν, [3] ἐκπεταλώτερον δέ. Ἀρτεμίδωρος δὲ ὁ Ἀριστοφάνειος, ποτήριον ποιόν. Ἀπολλοφάνης δέ, [4] Κρησίν·

Καὶ λεπαστὰν ἀδύοινον εὐφραίνει [5] δι' ἡμέρας.

1 ἂν deest vulgo. 2 ἐχαρυβδίσαι Ms. & μεστὴν ante hoc verbum ponunt edd. & Ms. 3 Forſ. πωματίσιν. 4 Delenda videtur δὲ particula. 5 ὀσφρανεῖ corrigunt. Malebam λεπαστὰ δ' ἀδύοινος μ' εὐφρανεῖ.

Amerias vero ait, trullam quâ vinum in pocula infunditur, *lepaſten* vocari. Ariſtophanes vero & Apollodorus, genus eſſe calicis. Pherecrates, Crapatallis:

— Spectatorum quicumque
ſitiviſſet, lepaſtam evacuans ingurgitavit
plenam. —

Nicander vero Colophonius ait, Dolopas eo nomine calices vocare. Lycophron vero, nono libro de Comoediâ, adpoſitis Pherecratis verbis, etiam ipſe ait, calicis genus eſſe *lepaſten*. Moſchus vero, in Expoſitione Rhodiacarum dictionum, ait vas eſſe figlinum, ſimile his quae ptomatides [*ſive*, pomatides] dicuntur, ſed amplius patentiusque. Artemidorus vero Ariſtophaneus, certum quoddam poculi genus. Apollophanes, Cretenſibus:

Et lepaſta ſuavis vini me oblectabit diem totum.

Θεόπομπος, Παμφίλῃ·

— λεπαστὴ μάλα συχνὴ, [1]
ἣν ἐκπιοῦσ' [2] ἄκρατον Ἀγαθοῦ δαίμονος, f
περιστατὸν βοῶσα τὴν κώμην ποεῖ. [3]

Νίκανδρος δ' ὁ Θυατειρηνὸς, [4] κύλιξ φησὶ μείζων, παρατιθέμενος Τηλεκλείδου ἐκ Πρυτάνεων·

Καὶ μελιχρὸν οἶνον ἕλκειν ἐκ λεπαστῆς ἡδύπνου. [5]

Ἕρμιππος, Μοίραις· a

Ἐὰν ἐγὼ [6] πάθω τι τήνδε τὴν λεπαστὴν ἐκπιὼν,
τῷ Διονύσῳ πάντα τἀμαυτοῦ δίδωμι χρήματα.

LXXI. Λοιβάσιον. Κύλιξ, ὥς φησι Κλέαρχος καὶ Νίκανδρος ὁ Θυατειρηνὸς, ᾧ τὸ ἔλαιον ἐπισπένδουσι τοῖς ἱεροῖς. σπονδεῖον δὲ, ᾧ τὸν οἶνον. καλεῖσθαι λέγων λοιβίδας καὶ τὰ σπονδεῖα ὑπὸ Ἀντιμάχου τοῦ Κολοφωνίου.

Λοιβάσιον.

1 Λεπαστῆ μάλα συχνῇ edd. 2 ἣν ἐκπιοῦσα vulgo. 3 ποιεῖ edd. 4 Θειατειρηνὸς edd. 5 Vulgo ἐξ ἡδυπνόου λεπαστῆς. 6 Ἂν ἐγὼ ms. *Ep.* Ἢν ἐγὼ corrigunt viri docti.

Theopompus, Pamphilâ:

— *Lepaſta ſpiſſa admodum,*
quam poſtquam ebibit non dilutam in Boni Dei honorem,
clamore ſuo fecit ut totus circumſtaret pagus.

Nicander vero Thyatirenus, calicem eſſe maiorem, ait; adponens Teleclidis e Prytanibus teſtimonium:

Et mellitum vinum haurire ſuaveolente ex lepaſtâ.

Hermippus, in Moeris: (*ſive*, Parcis:)

Si quid mihi acciderit cum hanc lepaſtam ebibero,
Baccho do bona mea omnia.

71. *Loibasion.* Calix, ut tradit Clearchus, itemque Nicander Thyatirenus, quo in ſacris libant oleum. Σπονδεῖον vero vocabant, quo vinum libatur. Monet vero, etiam *σπονδεῖα* ab Antimacho Colophonio *λοιβίδας* dici.

Λέσβιον. Ὅτι ποτηρίου εἶδος, Ἡδύλος παρί- Lesbium.
στησιν ἐν Ἐπιγράμμασιν, οὑτωσὶ λέγων·

b Ἡ διαπινομένη Καλλίστιον ἀνδράσι (θαῦμα,
κ' οὐ ψευδὲς) νῆστις τρεῖς χόας ἐξέπιεν.
ἧς τόδε σοι,[1] Παφίη, ζωραῖς μίτρῃσι[2] θυωθὲν,[3]
κεῖται πορφυρέης λέσβιον ἐξ ὑέλου.
Ἦν γε σάου πάντως· ὡς καὶ πάντων ὑπ' ἐκείνης[4]
σοὶ τοῖχοι γλυκερῶν σῦλα[5] φέρωσι πόθων.[6]

Λουτήριον. Ἐπιγένης, Μνηματίῳ, ἐν τῷ Luterium.
τῶν ποτηρίων καταλόγῳ φησί·

— Κρατῆρες, κάδοι,
c ὀλκεῖα, [κρουνεῖ'. ἔστι δὲ] κρουνεῖα; ναί.
λουτήρι'. [7] ἀλλὰ τί καθ' ἕκαστα δεῖ λέγειν;
ὄψει γὰρ αὐτός. —

1 ἧστο δέ οἱ vulgo. 2 ζωρὸν μετροῦσα edd. ζωρες μιτρησι Ms. 3 θυᾶεν corrigunt. 4 ἀπ' ἐκείνης edd. ἐπ' ἐκείνης Ms. 5 σκῦλα edd. 6 πότων corrigunt. 7 Vulgo h. l. sic: κρατῆρες, κάδοι, ὀλκεῖα, κρουνιάναι, λουτήρια.

Lesbium. Esse hoc poculi genus, Hedylus docet in Epigrammatis, ubi sic ait:

Potando certans cum viris Calliſtium, (mira res,
non ficta) ieiuna tres ebibit congios.
Cuius tibi, Paphia, lemniscis ornatum ſuave merum olentibus
dicatum eſt hoc lesbium vitro e purpureo.
Hanc tu ſalvam omnino praeſta: quo & cunctorum ab illa
tui muri ſuavium ſpolia ferant amorum.

Luterion. Epigenes, Mnematio, in poculorum recenſu ait:

— *Crateres, cadi,*
pelves, [ſalientia vaſa. Sunt ergo &] ſalientia? Immo.
luteria. Sed quid dicere opus eſt de ſingulis?
videbis enim ipſe. —

LXXII. Lyciurges.

ΛΥΚΙΟΥΡΓΕΙΣ.[1] *φιάλαι τινὲς οὕτω καλοῦνται ἀπὸ Λύκωνος τοῦ κατεσκευασμένου, ὡς καὶ Κονώνιοι αἱ ὑπὸ Κόνωνος ποιηθεῖσαι. μνημονεύει τοῦ Λύκωνος Δημοσθένης ἐν τῷ Περὶ τοῦ Στεφάνου,*[2] *καὶν τῷ πρὸς Τιμόθεον ὕβρεως,*[3] *λέγων οὕτως· „Φιάλας λυκιουργεῖς δύο.“ Ἐν δὲ τῷ πρὸς Τιμόθεον γράφει· „Δίδωσιν ἀποθεῖναι*[4] *τῷ Φορμίωνι μετὰ τῶν χρημάτων καὶ ἄλλας*[5] *φιάλας λυκιουργεῖς δύο.“*[6] *ὅπερ* d *ἐξηγούμενος Δίδυμος ὁ γραμματικὸς, τὰς ὑπὸ Λυκίου φησὶ κατεσκευασμένας. ἦν δὲ οὗτος τὸ γένος Βοιώτιος ἐξ Ἐλευθερῶν,*[7] *υἱὸς Μύρωνος τοῦ ἀνδριαντοποιοῦ, ὡς Πολέμων φησὶν ἐν πρώτῳ Ἀκροπόλεως. ἀγνοεῖ δ' ὁ γραμματικὸς, ὅτι τὸν τοιοῦτον σχηματισ-*

1 περὶ Λυκιουργίδων. ora msti *A*. Post titulum Λυκιουργεῖς autem excidit fortasse nomen Grammatici, cuius sunt prima quae sequuntur verba. 2 Corruptum hoc περὶ Στεφ. ac forte imperite intrusum. 3 ὑπὲρ χρέους legendum, aut delendum vocab. ac fortasse totum citatum. 4 ἀποθῆναι edd. 5 Immo μετ' ἄλλων χρημάτων καὶ φιάλας: ut apud Demosth. 6 Imperite vulgo h. l. intrusa erant verba haec: Ἡρόδοτος δ' ἐν ἑβδόμῃ, προβόλους δύο λυκιουργήσας ἡμιεργέας, ὅτι ἀκόντιά ἐστι πρὸς λύκων θήραν ἐπιτήδεια, ἐν Λυκίᾳ εἰργασμένα. 7 ἐξ ἐλευθέρας vulgo.

72. *Lyciurgeīs.* Phialae quaedam [ut volunt nonnulli] sic vocantur ab fabricatore Lycone; quemadmodum Cononii calices, a Conone confecti. Meminit Lyconis Demosthenes in oratione Pro Corona, & in illa adversus Timotheum iniuriarum reum, dicens *phialae lyciurgeīs duae.* In illa vero in Timotheum scribit: *Dat asservandas Phormioni cum aliis rebus duas lyciurgeīs.* Quod vocabulum exponens Didymus grammaticus, ait, sic dici phialas a Lycio confectas. Erat autem hic genere Boeotius, ex oppido Eleutheris, Myronis filius statuarii; ut ait Polemo, primo libro de Arce Athenarum. Non meminerat nempe hic Grammaticus, istam formationem

μὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον,
e ἀλλ' ἀπὸ πόλεων ἢ ἐθνῶν. Ἀριστοφάνης τε γὰρ ἐν
Εἰρήνῃ φησί·

Τὸ δὲ πλοῖον ἔσται ναξιουργὴς κάνθαρος.

Κριτίας δ', ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ· „κλίνη
Μιλησιουργὴς, καὶ δίφρος Μιλησιουργὴς· κλίνη Χιουρ-
γὴς, [1] καὶ τράπεζα Ῥηνιοεργής." Ἡρόδοτός τε [2] ἐν τῇ
ἑβδόμῃ φησίν· „προβόλους δύο Λυκοεργέας." Μή-
ποτ' οὖν καὶ παρὰ τῷ Ἡροδότῳ, ὡς καὶ παρὰ τῷ Δη-
μοσθένει, [3] γραπτέον λυκιοεργέας, ἵν' ἀκούηται [4]
τὰ ἐν Λυκίᾳ εἰργασμένα;

ΜΕΛΗ. Οὕτω καλεῖταί τινα ποτήρια, ὧν μνη- LXXIII.
μονεύει Ἀνάξιππος ἐν Φρέατι, λέγων οὕτως· Mela, poculum.
f Σὺ δὲ τὴν μέλην, Σύρισκε, ταυτηνὶ [5] λαβὼν,

1 Quinque verba desunt editis. 2 Ἡρόδοτος δ' ἐν τῇ ἑβδ. edd. 3 Vulgo Μήποτ' οὖν καὶ παρὰ τῷ Δημοσθένει γραπτέον. omissa hoc loco *Herodoti* mentione. 4 ἵνα κέηται vulgo. 5 ταύτην edd.

nusquam reperiri ab hominum nominibus ductam, sed ab urbium & populorum. Nam & Aristophanes, in Pace, dixit:

Navigium vero erit cantharus Ναξιουργὴς. (id est, *in Naxo fabricatus.*)

Critias vero in Lacedaemoniorum Republica scribit: *lectus* Μιλησιουργὴς, (*Mileti factus,*) *sella* Μιλησιουργὴς, *lectus* Χιουργὴς, (*in Chio insula factus,*) *& mensa* Ῥηνιοεργής. (*Rhenaeae fabrefacta.*) Et Herodotus libro septimo ait, *duas hastas* λυκοεργέας. Fortasse igitur apud Herodotum etiam, sicut apud Demosthenem, λυκιοεργέας scribendum, ut intelligantur *quae in Lyciâ confecta sint.*

73. *Mela.* Sic vocatur aliquod genus vasis potorii, cuius Anaxippus meminit, in Puteo, ubi ait:

Tu vero hanc melam, Syrisce, capiens

ἔνεγκ' ἐπὶ τὸ μνῆμ' ἐκείνῃ. [1] μανθάνεις;
καὶ κατάχεον. —

Metaniptron, & Metaniptris.

ΜΕΤΑΝΙΠΤΡΟΝ. Ἡ μετὰ τὸ δεῖπνον, ἐπὴν ἀπονίψωνται, διδομένη [2] κύλιξ. Ἀντιφάνης, Λαμπάδι· [3]

— Δαίμονος ἀγαθοῦ μετάνιπτρον ἐντραγεῖν,
σπονδὴ, κρότος. [4]

Δίφιλος, Σαπφοῖ· a

Ἀρχίλοχε, δέξαι τήνδε τὴν μεταντιπτρίδα
μεστὴν, Διὸς σωτῆρος ἀγαθοῦ δαίμονος.

Ἔνιοι δὲ τὴν μετὰ τὸ νίψασθαι πόσιν, ὡς Σέλευκος ἐν Γλώσσαις. Καλλίας δ' [5] ἐν Κύκλωψι·

Καὶ δέξαι τηνδὶ μεταντιπτρίδα τῆς Ὑγιείας.

Φιλέταιρος, Ἀσκληπιῷ·

Ἐνέσεισε μεστὴν ἴσον [6] ἴσῳ μεταντιπτρίδα

1 ἐκείνην ed. Ven. & Baſ. ἐκείνης ed. Caſ. 2 μεταδιδομένη edd. 3 Λάμπωνι fortaſſe, & ſic mox iterum. 4 Vulgo unâ voce σπονδήκροτος. 5 Abeſſe malim δὲ particulam. 6 ἴσων edd.

fer ad illius ſepulcrum; audin'?
& effunde. —

Metaniptron. Calix qui datur poſt coenam, poſtquam manus lavarunt. Antiphanes, Lampade, [*ſive*, Lampone:]

Boni Dei metaniptron: vorare: libatio: plauſus.

Diphilus, in fabulâ Sappho:

Accipe, Archiloche, hanc metaniptridem
plenam, Iovis Servatoris boni Dei.

Nonnulli vero aiunt, eſſe ipſam potionem quae lotis iam manibus ſumitur; ut Seleucus in Gloſſis. Callias, in Cyclopibus:

Et ſume hanc metaniptridem Sanitatis.

Phileteaerus, Aeſculapio:

Incuſſit plenam par pari mixtam metaniptridem

μεγάλην, ὑπειπὼν [1] τῆς Ὑγείας τοὔνομα.
Φιλόξενος δ' ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ
Δείπνῳ, μετὰ τὸ ἀπονίψασθαι τὰς χεῖρας προπίνων
τινὶ, φησί·

b Σὺ δὲ τάνδ' ἐκβάκχιον [2] εὔδροσον
πλήρη μεταυιπτρίδα δέξαι.
πραΰ τοι [3] Βρόμιος γάνος τόδε δοὺς
ἐπὶ τέρψιν ἅπαντας ἄγει. [4]

Ἀντιφάνης, Λαμπάδι·

Τράπεζα Φύστη ἡμὶν ἔσται, [5] ἀλλὰ μὴν
δαίμονος ἀγαθοῦ μετάνιπτρον. —

Νικόστρατος, Ἀντερώσῃ·

Μεταυιπτρίδ' αὐτῷ τῆς Ὑγιείας ἔγχεον.

LXXIV. Mastus.

ΜΑΣΤΟΣ. Ἀπολλόδωρος ὁ Κυρηναῖος, ὡς Πάμφιλός φησι, Παφίους τὸ ποτήριον οὕτως καλεῖν.

1 ἐπειπὰν lego. 2 ἐκβάκχια Ms. Forſ. τάνδε Βακχίου εὐδρόσου. 3 πραΰ τι τοι Ms. τοι aut τι delendum videtur. πράν τι τοι edd. Unde ἀπέραντόν τοι aut εὐφραντικὸν corrigunt. 4 ἅπαντας ἔχει edd. 5 Vulgo φυστημισεὶς, ἀλλὰ &c.

ingentem, pronuncians ſimul Sanitatis nomen.

Philoxenus vero, poëta dithyrambicus in carmine quod Coena inſcribitur, poſt lotas manus propinans alicui, ait:

Tu vero hanc ſuaviter-roſcidi Bacchi
plenam metaniptridem accipe.
Placidas has dans Bromius delicias,
ad laetitiam cunctos ducit.

Antiphanes, Lampade: [*ſive*, Lampone:]

Cibus nobis maza erit; verum etiam
boni Dei metaniptron. —

Nicoſtratus, in Redamante:

Metaniptridem Sanitatis ei infunde.

74. *Mastos.* (Quaſi dicas, *Mamma*, vel *Uber.*) Apollodorus Cyrenenſis, ut refert Pamphilus, Paphios ait hoc nomine vocare poculum.

Mathalis. ΜΑΘΑΛΙΔΕΣ. [1] Βλαισὸς ἐν Σατούρνῳ φησίν· c
Ἑπτὰ μαθαλίδας ἐπίχεε ἡμῖν τῷ γλυκυτάτῳ. [2]
Πάμφιλος δὲ φησί· „Μή ποτε ἐκπώματός ἐστιν εἶδος, ἢ μέτρον, οἷον κύαθος.“ Διόδωρος δὲ κύλικα ἀποδίδωσι.

LXXV. Manes, poculum. ΜΑΝΗΣ. Ποτηρίου εἶδος. Νίκων, Κιθαρῳδῷ· Καὶ πάνυ τις εὐκαίρως, „Προπίνω,[3] φησὶ, σοὶ, πατριῶτα.“ μάνην δ' εἶχε κεραμεοῦν, ἀδρὸν, χωροῦντα κοτύλας πέντ' ἴσως. ἐδεξάμην.
Παρέθετο τὰ ἰαμβεῖα καὶ Δίδυμος καὶ Πάμφιλος.
Manes in Cottabo. Καλεῖται δὲ μάνης καὶ τὸ ἐπὶ τοῦ κοττάβου ἑφε- d
στηκὸς, ἐφ' οὗ [4] τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον· ὅπερ ὁ Σοφοκλῆς, ἐν Σαλμωνεῖ, [5] χαλκεῖον ἔφη κάρα, λέγων οὕτως·
Ταῦ' ἐστὶ κνισμὸς, καὶ φιλημάτων ψόφος, [6]

1 Μαθαλλίδες edd. & mox μαθαλλίδας. 2 τῷ γλυκυτάτῳ edd. 3 Vulgo προπίναν φησὶ πατριῶτα. 4 ἀφ' οὗ vulgo. 5 Temere Σαλμανεῖ ed. Caſ. 6 Interpretatus ſum quaſi legeretur, Ταῦ' ἐστὶ κνισμός. καὶ φιλημάταν ψόφους τῷ καλλίκοττ.

Mathalides. Blaeſus in Saturno:
Septem mathalidas infunde nobis dulciſſimi.
Pamphilus vero ait: »Fortaſſe poculi ſpecies eſt, ſive menſura, quemadmodum cyathus.« Diodorus vero *calicem* interpretatur.

75. *Manes.* Poculi ſpecies. Nicon, in Citharoedo:
Admodum opportune quidam, Propino, *inquit*, tibi, mi popularis! *Habebat autem manem fictilem, ingentem, quinque fere cotulas capientem. Accepique equidem.*
Iambos iſtos & Didymus adpoſuit, & Pamphilus. Nominatur vero *manes* etiam id quod ſtat ſuper cottabo; in quod, qui illo ludicro utuntur, iaculabantur latagas; quod Sophocles in Salmoneo *aeneum caput* dixit, ubi ait:
Haec contentio eſt. Et oſculorum ſtrepitum

τῷ καλλικοτταβοῦντι νικητήρια
τίθημι, καὶ βαλόντι χαλκεῖον κάρα.

Ἀντιφάνης, Ἀφροδίτης γοναῖς·

Α. Ἐγὼ ἐπιδείξω [1] καθ' ὅν. ὃς ἂν [2] τὸν κότταβον
ἀφεὶς [3] ἐπὶ τὴν πλάστιγγα, ποιήσῃ πεσεῖν· —
Β. Πλάστιγγα ποίαν; τοῦτο τυγχάνει κείμενον
ἄνω τὸ μικρὸν, τὸ πινακίσκιον λέγεις;
Α. Τουτέστι πλάστιγξ. — οὗτος [4] ὁ κρατῶν γίνεται.
Β. Πῶς δ' εἴσεταί τις τοῦτ'; Α. Ἐὰν τύχῃ μόνον
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται, καὶ ψόφος
ἔσται πάνυ πολύς. Β. Πρὸς θεῶν! τῷ κοττάβῳ
πρόσεστι καὶ Μάνης τις ὥσπερ οἰκέτης;

Ἑρμιππος, Μοίραις·

Ῥάβδον δ' ὄψει (φησὶ) τὴν κοτταβικὴν

1 Alibi Ἐγὼ διδάξω. 2 καθόσον ἂν vulgo. καθ' ὅσον. ὃς ἂν corr. Toup. Forſ. ſic oportebat: Ἐγὼ διδάξω. καθ' ὅσον ἄν τις κότταβον. 3 ἀφῆς h. l. & loco trium verſuum vulgo non niſi duo ſunt:

ἀφῆς ἐπὶ τὴν πλάστιγγα. ποῖον ἂν τοῦτο τὸ
ὑποκείμενον ἄνω τὸ μικρὸν τὸ πινακίσκιον λέγεις.

4 ἵν' αὕτως edd. ἵν' οὗτος h. l. Ms. ſed alibi abeſt ἵν'.

ſolerter – cottabo – ludenti praemium victoriae
ſtatuo, & ferienti aeneum caput.

Antiphanes, in Veneris Natalibus:

A. *Ego oſtendam quo modo. Quisquis cottabum,*
iaculans in plaſtingem, deſcendere fecit: —
B. *Plaſtingem qualem? hanccine ſuperne*
impoſitam exiguam dicis lanciculam?
A. *Haec plaſtinx eſt: — is igitur victor discedit.*
B. *At quomodo hoc cognoſcitur?* A. *Si modo attigerit*
illam, cadet illa ſuper manem, & ſtrepitus
fit ingens admodum. B. *Proh Dii! ergo cottabo*
adeſt etiam Manes aliquis tamquam famulus?

Hermippus, Parcis:

Baculum videas (inquit) *cottabium,*

ἐν τοῖς ἀχύροισι [1] κυλινδομένην·
μάνης δ' οὐδὲν [2] λατάγων ἀΐει· [3]
τὴν δὲ τάλαιναν πλάστιγγ' ἂν ἴδοις
παρὰ τὸν στροφέα τῆς κηπαίας f
ἐν τοῖσι κορήμασιν οὖσαν.

LXXVI. Neſtoreum poculum.

ΝΕΣΤΟΡΙΣ. Περὶ τῆς ἰδέας τοῦ Νέστορος ποτηρίου φησὶν ὁ ποιητής·

Παρ δέπας ἦν [4] περικαλλὲς, ὃ οἴκοθεν ἦγ' ὁ γεραιὸς,
χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ' αὐτοῦ
τέσσαρ' ἔσαν· δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο. δύο δ' ὑπὸ πυθμένες ἦσαν.
Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης a
πλεῖον ἐών· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.

Ἐν τούτοις ζητεῖται, πρῶτον μὲν, τί ποτ' ἐστὶ τὸ ,, χρυ-

1 ἀχύροις edd. h. l. 2 οὐχέτι corr. Iac. 3 ἀεὶ edd. 4 Sic ms. *A.* cum editis. Παρ δὲ δέπας περιχ. ms. *Ep.* ut apud Hom.

inter paleas & aceres volutantem:
manes nullas latagas audit:
miſeramque videas plaſtingem
hortenſis ad portae cardines
inter purgamenta proiectam.

76. *Neſtoreum poculum.* De forma poculi Neſtoris haec ait Poëta:

Iuxta eum poculum erat perpulcrum, quod domo adtulerat ſenex,
aureis clavis confixum: anſae autem eius
quatuor erant; binaeque columbae circum ſingulas
aureae paſcebantur: duoque infra fundi erant.
Alius quidem non ſine labore ſubmoviſſet a menſâ,
plenum ſi eſſet: Neſtor vero ſenex ſine labore tollebat.

In his quaeritur, primum, quid ſit quod dicat, *aureis*

σείοις ἥλοισι πεπαρμένον· " ἔπειτα, τί τὸ „ οὔατα δ' αὐτοῦ τέσσαρ' ἔσαν." τὰ γὰρ ἄλλα ποτήρια φησὶν ὁ Μυρλεανὸς Ἀσκληπιάδης, ἐν τῷ Περὶ τῆς Νεστορίδος, δύο ὦτα ἔχειν. πελειάδας δὲ πῶς ἂν τις ὑπόθοιτο νεμομένας περὶ ἕκαστον τῶν ὤτων; πῶς δὲ καὶ λέγει „ δύο πυθμένας εἶναι τοῦ ποτηρίου;" ἰδίως δὲ καὶ τοῦτο
b λέγεται, ὅτι „ οἱ μὲν ἄλλοι μογοῦντες ἐβάσταζον τὸ ποτήριον, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν." Ταῦτα προβέμενος ὁ Ἀσκληπιάδης, ζητεῖ περὶ τῶν ἥλων, πῶς πεπαρμένους αὐτοὺς δεῖ δέχεσθαι. οἱ μὲν οὖν λέγουσιν, ἔξωθεν δεῖν [1] ἐμπείρεσθαι τοὺς χρυσοῦς ἥλους τῷ ἀργυρῷ ἐκπώματι κατὰ τὸν τῆς ἐμπαιστικῆς τέχνης [τρόπον]. [2] ὡς καὶ ἐπὶ τοῦ Ἀχιλλέως σκήπτρου·

Ars empaestica.

Ὡς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ,
χρυσείοις ἥλοισι πεπαρμένον. —

Ἐμφαίνεται γὰρ, ὡς τῶν ἥλων ἐμπεπερονημένων,

1 δεῖ edd. 2 τρόπον abest vulgo. κατὰ τὴν ἐμπαιστικὴν τέχνην ed. Cas. cum *Epit.*

clavis fuisse confixum: deinde, quid illud, *ansae autem eius quatuor erant.* Nam alia pocula, ait Myrleanus Asclepiades, in commentario de Nestoride, duas habere ansas. *Columbas* porro quo pacto intelligemus *circa singulas ansas pasci?* Denique, qua ratione dicit *duos esse poculi fundos?* Sed & hoc singulare est, quod dicit, *alios quidem non sine labore sustulisse poculum, Nestorem vero senem nullo labore.* Quibus propositis, quaerit Asclepiades de *clavis*, quo pacto intelligi debeant *confixi* fuisse. Alii igitur dicunt, extrinsecus infigi debuisse aureos clavos argenteo poculo, ex *artis empaesticae* ratione. Quemadmodum etiam de Achillis sceptro:

Sic dixit iratus, sceptrumque in terram abiecit,
aureis clavis confixum. —

Adparet enim, transfixos fuisse clavos; quemadmodum

καθάπερ ἐπὶ τῶν ῥοπάλων. καὶ ἐπὶ τοῦ ξίφους τοῦ c
Ἀγαμέμνονος·

Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος· ἐν δέ οἱ ἧλοι
χρυσεοι [1] πάμφαινον· ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον. —

Ἀπελλῆς μὲν οὖν ὁ τορευτὴς ἐπεδείκνυεν, φησὶν, ἡμῖν ἔν τισι Κορινθιακοῖς ἔργοις τὴν τῶν ἥλων θέσιν. ἐξοχὴ δ' ἦν ὀλίγη τοῖς κολαπτῆρσιν ἐπηρμένη, καὶ οἱονεὶ κεφαλίδας ἥλων ἀποτελοῦσα. πεπάρθαι δὲ λέγεται [2] τοὺς ἥλους ὑπὸ τοῦ ποιητοῦ, οὐχ ὅτι ἔξωθεν πρόσκεινται καὶ πεπαρμένοι εἰσίν· ἀλλ' ὅτι ἐμπεπαρμένοις ἐοί- d
κασιν, ἔξω τε ὀλίγῳ προὔχουσι, μετέωροι τῆς ἄλλης ἐπιφανείας ὄντες.

LXXVII. Quatuor ansae in Nestoris poculo.

Καὶ περὶ τῶν ὦτων οὕτως διορίζονται· ὅτι εἶχε μὲν δύο ὦτα ἄνω, καθότι καὶ τὰ ἄλλα ποτήρια· ἄλλα δὲ δύο κατὰ τὸ κύρτωμα μέσον ἐξ ἀμφοῖν τοῖν μεροῖν

1 χρύσειοι edd. 2 λέγει & dein ὁ ποιητὴς ms. *Ep.*

clavae aut scipiones traiectis ferreis clavis muniuntur. Sic etiam de Agamemnonis ense:

Circa humeros iecit ensem: in quo clavi
aurei collucebant: at circum vagina erat
argentea. —

At Apelles caelator ostendit nobis (inquit) in Corinthiacis nonnullis operibus, quo pacto clavi illi positi fuerint. Erat scilicet exigua quaedam eminentia scalpro expressa, veluti capitula efficiens clavorum. *Infixos* autem *fuisse clavos* ait poëta: non, quod extrinsecus impacti infixique; sed quod similes essent infixis, & nonnihil eminentes exstarent super reliquam superficiem.

77. Iam de *ansis* sic praecipiunt: habuisse quidem duas ansas superne, quemadmodum alia pocula; tum vero alias duas in mediâ convexitate ab utrâque parte

μικρὰ, παρόμοια ταῖς Κορινθιακαῖς ὑδρίαις. [1] Ὁ δὲ Ἀπελλῆς ἐντέχνως ἄγαν ὑπέδειξε τὴν τῶν τεσσάρων ὤτων σχέσιν, ἔχουσαν ὧδε. ἐκ μιᾶς οἱονεὶ ῥίζης, ἥτις τῷ πυθμένι προσκυρεῖ, καὶ ἑκάτερον τὸ οὖς διασχι-
c δεῖς εἰσι ῥάβδοι ἐπ' ἀμφοῖν, οὐ πολὺ ἀπ' ἀλλήλων διεστῶσαι διάστημα. αὗται μέχρι τοῦ χείλους διήκουσαι τοῦ ποτηρίου, καὶ μικρὸν ἔτι μετεωριζόμεναι, κατὰ μὲν τὴν ἀπόστασιν τοῦ ἀγγείου φυλάττουσι τὴν διάσχισιν, κατὰ δὲ τὸ ἀπολῆγον πρὸς τὴν τοῦ χείλους ἔρεισιν πάλιν συμφυεῖς. [2] καὶ γίνεται τὸν τρόπον τοῦτον τέτταρα ὦτα. τοῦτο δὲ οὐκ ἐπὶ πάντων, ἀλλ' ἐπ' ἐνίων ποτηρίων τὸ εἶδος τῆς κατασκευῆς θεωρεῖται, μάλιστα δὲ τῶν λεγομένων Σελευκίδων. Τὸ δ' ἐπὶ τῶν Duo fundi in Neſtoride.
f δυοῖν πυθμένων ζητούμενον, πῶς λέγεται τὸ „δύο δ' ὑπὸ πυθμένες ἦσαν," διαλύουσιν οὕτως τινές. τῶν ποτηρίων τινὰ μὲν ἕνα πυθμένα ἔχειν, [3] τὸν Φυσικὸν καὶ

1 ὑδρείαις edd. 2 Forſ. πάλιν εἰσὶ (aut εἰσὶ πάλιν) συμφυεῖς. πάλιν συμφύονται *Epit.* 3 ἔχει vulgo.

minutas, ſimiles his quae ſunt in hydriis Corinthiacis. Apelles vero perquam artificioſe oſtendit anſarum poſitionem, talī modo habentem. Ex una veluti radice, quae fundum vaſis adtingit, in utraque anſa utrimque diffiſſi ſunt baculi, non multum inter ſe diſtantes. Hi usque ad labium poculi pertinentes, nonnihilque etiam ſupra illud eminentes, ubi a vaſe plurimum distant, ibi maxime ſunt diffiſſi; verſus extremitatem autem, ubi labio adplicantur, rurſus in unum coëunt. Ita quatuor exſiſtunt anſae. Haec autem ſtructurae forma non in omnibus, ſed in nonnullis poculis conſpicitur, maxime vero in his quae Seleucides adpellantur. Quaeſtionem autem de duobus fundis, quo pacto intelligi debeat illud, *duo autem infra fundi erant*, ſic ſolvunt nonnulli. Poculorum alia, aiunt, unum tantum habere fundum,

συγκεχαλκευμένον τῷ ὅλῳ ποτηρίῳ· καθότι τὰ λεγόμενα κυμβία, καὶ τὰς φιάλας, καὶ εἴ τι φιαλῶδές ἐστι τὴν ἰδέαν. τινὰ δὲ δύο, ὥσπερ τὰ ὠοσκύφια, καὶ τὰ κανθάρια, καὶ τὰς σελευκίδας, καὶ καρχήσια, καὶ τὰ τούτοις ὅμοια· ἕνα μὲν γὰρ εἶναι πυθμένα τὸν κατὰ τὸ κῦτος συγχαλκευόμενον ὅλῳ τῷ ἀγγείῳ· ἕτερον δὲ τὸν προσθετὸν, [1] ἀπὸ ὀξέος ἀρχόμενον, καταλήγοντα δ' εἰς πλατύτερον, ἐφ' οὗ ἵσταται τὸ ποτήριον. καὶ τὸ τοῦ Νέστορος οὖν δέπας φασὶν a εἶναι τοιοῦτον. Δύναται δὲ καὶ δύο πυθμένας ὑποτίθεσθαι, τὸν μὲν οἷον τοῦ ποτηρίου φέροντα τὸν ὅλον ὄγκον, καὶ κατὰ μείζονα κυκλοειδῆ περιγραφὴν ἔξαρσιν ἔχοντα τοῦ ὕψους σύμμετρον· τὸν δὲ κατ' ἐλάττω κύκλον συνεχόμενον ἐν κύκλῳ μείζονι, καθόσον συννεύειν συμβέβηκεν εἰς ὀξὺ [2] τὸν φυσικὸν τοῦ ποτηρίου πυθμένα, ὥστε ὑπὸ δυοῖν πυθμένοιν φέρεσθαι τὸ ἔκ-

1 πρόσθετον ms. *Ep.* 2 εἰς τὸ ὀξὺ ms. *Ep.*

naturalem illum & simul cum toto poculo cusum; ut cymbia quae vocantur, & phialas, & quaecumque formam habent phialae similem. Alia vero duos habere; ut ovalia pocula, & cantharia, & seleucidas, & carchesia, & quae sunt his similia: unum enim fundum esse in ipso vasis corpore, simul cum toto vase cusum; alterum vero extrinsecus adpositum, ab acuta forma incipientem, & desinentem in ampliorem ambitum, cui insistat poculum: & tale fuisse aiunt Nestoris poculum. Potuit vero duos fundos etiam ita fingere (poëta), ut alter totum poculi onus sustineret, qui, sicut in imo maiorem circumferentiam circularem, sic & pro ratione maiorem haberet altitudinem: alter vero minori circulo, qui maiori paralellus esset, contineretur, qua parte spectat naturalem poculi fundum in acutam formam desinentem: ita quidem, ut duo fundi (*sive*, duae bases)

πωμα. Διονύσιος δὲ ὁ Θρᾷξ ἐν Ῥόδῳ λέγεται τὴν Νεστορίδα κατασκευασαι, τῶν μαθητῶν αὐτῷ συνεb νεγκάντων τἀργύριον. ὅπερ Προμαθίδας ὁ Ἡρακλεώτης, ἐξηγούμενος τὴν κατὰ τὸν Διονύσιον διάταξιν, φησὶ, σκύφον εἶναι παρακειμένως ἔχοντα τὰ ὦτα καθάπερ αἱ ὀίπρωροι τῶν νεῶν, περὶ δὲ τὰ ὦτα τὰς περιστερὰς· ὡσπερεὶ δέ τινα ῥοπάλια δύο ὑποκεῖσθαι τῷ ποτηρίῳ πλάγια διὰ μήκους· ταῦτα δ' εἶναι τοὺς δύο πυθμένας. ὁποῖόν τι καὶ νῦν ἐστιν ἰδεῖν ἐν Καπύῃ πόλει τῆς Καμπανίας ἀνακείμενον τῇ Ἀρτέμιδι ποτήριον, ὅπερ λέγουσιν ἐκεῖνοι Νέστορος γεγονέναι· ἔστι c δὲ ἀργύρεον [1] χρυσοῖς γράμμασιν ἐντετυπωμένα ἔχον τὰ Ὁμηρικὰ ἔπη.

Dionysius Thrax Nestoridem confici curat.

LXXVIII. Physiologica explicatio Nestoridis.

„Ἐγὼ δὲ, φησὶν ὁ Μυρλεανὸς, τάδε λέγω περὶ τοῦ ποτηρίου. Οἱ παλαιοὶ καὶ τὰ περὶ τὴν ἥμερον τροφὴν πρῶτοι διαταξάμενοι τοῖς ἀνθρώποις, πειθόμε-

1 Perperam ἀργύριον edd.

fustinerent poculum. Dionysius vero Thrax perhibetur Rhodi Nestoridem conficiendam curasse, argentum ei conferentibus discipulis. Quam Promathidas Heracleota, exponens structuram ex Dionysii ratione, ait esse scyphum ansas habentem similiter formatas atque puppes earum navium, quibus duplex puppis est; circaque ansas sedere columbas: subiectas autem esse poculo e transverso, secundum latitudinem, duas veluti minutas clavas, aut baculos; hosque esse duos illos fundos, quos dixit poëta. Quale etiam nunc videre est Capuae in Campania poculum quoddam Dianae dicatum, quod aiunt illi fuisse Nestoris: est autem argenteum, aureis literis insculptos habens Homericos versus.

78. »Ego vero, ait Myrleanus, de isto poculo haec dico. Veteres, qui ea quae ad mansuetiorem victum pertinent ordinarunt hominibus, persuasi globosum esse

„νοι τὸν κόσμον εἶναι σΦαιροειδῆ, λαμβάνοντες ἔκ τε τοῦ ἡλίου καὶ τῆς σελήνης σχήματος ἐναργεῖς [1] καὶ τὰς Φαντασίας καὶ τὰς περὶ τὴν ἰδίαν τροΦὴν, [2] τῷ περιέχοντι κατὰ τὴν ἰδέαν τοῦ σχήματος ἀΦομοιοῦν εἶναι δίκαιον ἐνόμιζον. διὸ τὴν τράπεζαν κυκλοειδῆ κατεσκευάσαντο, καὶ τοὺς τρίποδας τοὺς τοῖς Θεοῖς καθαγιζομένους, [3] Φθόεις κυκλοτερεῖς καὶ ἀστέρας ἔχοντας, οὓς καὶ καλοῦσι [4] σελήνας. καὶ τὸν ἄρτον δὲ ἐκάλεσαν, ὅτι τῶν σχημάτων ὁ κύκλος ἀπήρτισται, [5] καὶ ἔστι τέλειος. καὶ τὸ ποτήριον οὖν, τὸ δεχόμενον τὴν [6] ὑγρὰν τροΦὴν, κυκλοτερὲς ἐποίησαν κατὰ μίμημα τοῦ κόσμου. Τὸ δὲ τοῦ Νέστορος καὶ ἰδιαίτερον ἐστίν. ἔχει γὰρ καὶ ἀστέρας, οὓς ἥλοις ὁ ποιητὴς ἀπεικάζει, διὰ τὸ τοὺς ἀστέρας περιΦερεῖς [7] εἶναι τοῖς d

Clavi aurei sunt stellae.

1 ἐνεργεῖς ms. *A*. 2 τὴν ἀΐδιον στροφὴν vulgo. Casaub. sic corrigit: ἐναργεῖς τὰς φαντασίας, καὶ τὰ περὶ τὴν ἀνθρώπινον τροφὴν &c. 3 καὶ τοὺς φθόεις corr. Casaub. 4 καὶ ἃς καλοῦσι coni. Casaub. 5 Forf. μάλιστα vel μόνος ἀπήρτισται. 6 τὴν deest edd. 7 παρεμφερεῖς ed. Cas.

»mundum, capientes ex Solis & Lunae forma claras etiam formarum notiones ad proprium victum spectantes, aequum censuerunt ut hae res, quod ad formae speciem, similes efficerentur cuncta complectenti coelo. Ita mensam fabricati sunt rotundam, itemque tripodas Diis dicatos, quibus liba rotunda & astra imponuntur, quas & lunas vocant. Et pani nomen (ἄρτον) inde imposuerunt, quod omnium figurarum unus circulus maxime omni ex parte aptus est (ἀπήρτισται) & perfectus. Igitur etiam poculum, quo humidum alimentum excipitur, rotundum effecerunt, ad mundi imitationem. Nestoris vero poculum etiam prae caeteris aliquid singulare habet, nempe stellas; quas poëta cum *clavis* comparat, quoniam ut clavi, sic stellae rotundae sunt, &

„ἥλοις ὁμοίως, καὶ ὡς ἐμπεπηγέναι τῷ οὐρανῷ. καθὼς καὶ Ἄρατός φησιν ἐπ' αὐτῶν· [1]

e Οὐρανῷ αἰὲν ἄρηρεν [2] ἀγάλματα, νυκτὸς ἰούσης.

Περιττῶς δὲ καὶ τοῦτ' ἔφρασεν ὁ ποιητὴς, τοὺς χρυσοῦς ἥλους παρατιθεὶς τῇ τοῦ ἀργυροῦ ἐκπώματος Φύσει, τὴν τῶν ἀστέρων καὶ τοῦ οὐρανοῦ ἐκτυπῶν κατὰ τὴν ἰδέαν [3] τῆς χρόας οὐσίαν. ὁ μὲν γὰρ οὐρανὸς ἀργύρῳ πρεσέοικεν· οἱ δὲ ἀστέρες χρυσῷ, διὰ τὸ πυρῶδες.

LXXIX. Πελειάδες, *Pleiades* aſtrum.

„Ὑποδέμενος οὖν κατηστερισμένον τὸ τοῦ Νέστορος ποτήριον, μεταβαίνει καὶ ἐπὶ τὰ κράτιστα τῶν ἀπλανῶν ἀστέρων, οἷς δὴ τεκμαίρονται τὰ περὶ τὴν f ζωὴν ἄνθρωποι· [4] λέγω δὲ τὰς πελειάδας. ὅταν γὰρ εἴπῃ „δύο δὲ πελειάδες [5] ἀμφὶς ἕκαστον χρύσειαι νεμέθοντο,“ πελειάδας οὐ σημαίνει τὰς ὄρνιθας, ὡς

1 ἐπ' αὐτῷ ed. Caſ. 2 ἄρηρον edd. εὖ ἐνάρηρεν corr. Caſaub. ex Arato. 3 ἰδίαν edd. 4 τὰ περὶ ζωὴν οἱ ἄνθρωποι ms. *Ep.* 5 πελίαδες ms. *A.* & ſic conſtanter ſupra, & deinde.

»quaſi infixae coelo: quemadmodum de illis Aratus etiam ait:

In coelo ſemper (ſive, *pulcre*) *fixa ornamenta, poſtquam nox advenit.*

Egregie hoc vero poëta etiam eo declaravit, quod *aureos clavos* adpoſuit poculo per ſe argenteo, atque adeo ſtellarum & coeli naturam ipſo coloris genere expreſſit. Nam coelum argento ſimile eſt: ſtellae vero, ob igneam ſpeciem, auro.

79. »Iam poſtquam ſtellatum finxit poëta Neſtoris poculum, transit etiam ad praeſtantiſſima ex iis ſideribus quae non ſunt erratica; quibus ſcilicet ſignificantur hominibus ea quae ad vitam pertinent: ad *Pleiadas*, dico. Cum enim ait, *binae vero pelciades circum ſingulas aureae paſcebantur*, non aves dicit *peleiadas*; quemadmodum ac-

„τινες ὑπονοοῦσι περιστερὰς εἶναι, ἁμαρτάνοντες. ἕτερον γὰρ φησιν εἶναι Ἀριστοτέλης [1] πελειάδα, καὶ ἕτερον περιστεράν. πελειάδας δὲ ὁ ποιητὴς καλεῖ νῦν [2] τὰς Πλειάδας, πρὸς ἃς σπόρος τε, καὶ ἄμητος, καὶ τῶν καρπῶν ἀρχὴ γενέσεως καὶ συναίρεσις, καθά φησι καὶ Ἡσίοδος·

Πληϊάδων Ἀτλαιγενέων [3] ἐπιτελλομενάων,
ἄρχεσθ' ἀμητοῦ, [4] ἀρότοιο δὲ [5] δυσομενάων. a

καὶ Ἄρατος·

Αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀθεγγέες, ἀλλ' ὀνομασταὶ,
ἦρι καὶ ἑσπέριαι, Ζεὺς δ' αἴτιος, εἰλίσσονται·
ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο,
σημαίνειν ἐπέπευσεν, ἐπερχομένου τ' ἀρότοιο.

Τὰς οὖν τῆς τῶν καρπῶν γενέσεως καὶ τελειώσεως προσημαντικὰς Πλειάδας οἰκείως ἐνετόρνευσε [6] τῷ τοῦ

1 Ἀριστοτέλης εἶναι edd. 2 νῦν καλεῖ edd. 3 Ἀτλαγενέων edd. & ms. *Ep.* 4 ἄρχεσθαι ἀμήτοιο ms. *A.* ἀρχεσθ' ἀμήτοιο ms. *Ep.* & ed. Ven. & Baſ. 5 ἀρότοιο τε ms. *A.* 6 ἐνετόρευσε corrigunt viri docti.

»cipiunt nonnulli, *columbas* falſo interpretantes. Docet enim Ariſtoteles, aliud eſſe *peleiada*, & aliud *columbam*. Sed *Peleiadas* nunc poëta *Pleiadas* ſeu *Vergilias* indigitat; ad quas referuntur dirigunturque & ſementis & meſſis, & generationis fructuum initium & collectio; quemadmodum & Heſiodus ait:

Pleiades Atlantis filiae cum oriuntur,
auſpicanda meſſis eſt; aratio vero, cum occidunt.

& Aratus:

Parvae quidem, nec luminoſae admodum, ſed celebres illae,
mane & veſperi, Deo auctore, volvuntur:
qui eis & aeſtatem & hiemem inſtantem
ſignificare praecepit, advenientemque arationem.

Illas igitur fructuum generationem & perfectam maturitatem hominibus ſignificantes *Pleiadas* perapte poëta

„σοφωτάτου Νέστορος ὁ ποιητὴς ποτηρίῳ· καὶ γὰρ
b τοῦτο τῆς ἑτέρας [1] τροφῆς δεκτικὸν ἀγγεῖον. διὸ καὶ
τῷ Διὶ τὴν ἀμβροσίαν τὰς πελειάδας φέρειν φησί·

Τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλειαι
τρήρωνες, ταί τ' [2] ἀμβροσίην Διὶ πατρὶ φέρουσι.

Οὐ γὰρ τὰς πελειάδας τὰς ὄρνεις φέρειν τῷ Διὶ νομιστέον τὴν ἀμβροσίαν, ὡς πολλοὶ δοξάζουσιν· ἄτεμνον γάρ· ἀλλὰ τὰς Πλειάδας. οἰκεῖον γὰρ τὰς προσημαινούσας τῷ τῶν ἀνθρώπων γένει τὰς ὥρας, ταύτας καὶ τῷ Διὶ φέρειν τὴν ἀμβροσίαν. διόπερ ἀπὸ τῶν πτηνῶν αὐτὰς χωρίζει, λέγων·

c τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι.

Ὅτι δὲ τὰς Πλειάδας τῶν ἐνδοξοτάτων καὶ ἀπλανῶν ἄστρων ὑπείληφε, δῆλον ἐκ τοῦ προτάττειν αὐτὰς κατὰ τὴν ἄλλων συναρίθμησιν·

1 Forſ. ἑκατέρας, aut καὶ τῆς ἑτέρας. τῆς ξηρᾶς corr. Toup. 2 αἵ τ' edd.

»caelatas fecit in ſapientiſſimi Neſtoris poculo: eſt enim hoc vas recipiendo utrilibet generi alimentorum aptum. Quare etiam *Iovi ambroſiam ferre peleiadas* ait:

Hac quidem nec volucres praetervolant, neque peleiae timidae, quae ambroſiam Iovi patri ferunt.

Nec enim exiſtimandum eſt, *peleiadas aves* (i. e. *columbas*) Iovi ambroſiam ferre, ut opinantur multi: parum enim hoc convenit: ſed *Pleiadas*. Conſentaneum eſt enim, ut, quae hominibus anni tempeſtates ſignificant, eaedem Iovi adferant ambroſiam. Itaque a volucribus has diſtinguit, cum ait:

Hac quidem nec volucres praetervolant, neque peleiae.

Habuiſſe vero poëtam Pleiadas in numero celeberrimorum ſiderum non errantium, perſpicuum ex eo fit, quod in aliorum recenſu has primo etiam loco poſuit:

Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ', ὑάδας τε, τό τε σθένος Ὠρίωνος,
Ἄρκτον θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν.

„Ἐπλανήθησαν δ' οἱ πολλοὶ, νομίζοντες τὰς πλειάδας [1] ὄρνεις εἶναι, πρῶτον μὲν ἐκ τοῦ ποιητικοῦ σχηματισμοῦ τοῦ κατὰ τὴν πρόσθεσιν τοῦ γράμματος· [2] ἔπειτα δ' ὅτι τὸ τρήρωνες μόνον ἐδέξαντο εἶναι ἐπίθετον πελειάδων· ἐπεὶ διὰ τὴν ἀσθένειαν εὐλαβὴς ἡ ὄρνις αὕτη· τρεῖν δ' ἐστὶ τὸ εὐλαβεῖσθαι. πιθανὸν δέ ἐστι τὸ ἐπίθετον καὶ ἐπὶ τῶν Πλειάδων τιθέμενον. μυθεύονται γὰρ καὶ αὗται τὸν Ὠρίωνα φεύγειν, διωκομένης τῆς μητρὸς αὐτῶν Πληϊόνης ὑπὸ τοῦ Ὠρίωνος.

LXXX. „Ἡ δὲ τοῦ ὀνόματος ἐκτροπὴ, καθ' ἣν αἱ Πλειάδες λέγονται Πέλειαι καὶ Πελειάδες, παρὰ πολλοῖς

1 πελείαδας malebam. 2 Forſ. τοῦ γράμματος ε. ἔπειτα &c.

Finxit in eo etiam ſidera omnia, quibus coelum redimitum eſt,
Pleiadasque, Hyadasque, inſignemque Oriona,
Urſamque, quam & Plauſtrum vulgo adpellant.

»Qui autem *peleiades* (in Neſtoris poculo) *aves* vulgo intelligunt, hi decepti ſunt, primum, formatione poëticâ nominis, quod inſertam ε literam habet: deinde, quod vocabulum τρήρωνες (i. e. *timidae*) nonniſi *columbarum* epitheton eſſe poſſe exiſtimarunt; quoniam ſuâ naturâ timida ſit haec avis, τρεῖν vero *trepidare* ſonet & *timere*. At non minus probabili ratione in *Pleiadas* valet idem epitheton. Narrant enim veteres fabulae, has quoque fugere Orionem, quoniam matrem ipſarum Pleionem Orion infeſtus perſequatur.

80. »Nominis autem deflexio, qua Pleiades dicuntur *Peleiades* & *Peleiae*, apud multos poëtas reperitur. Pri-

„ἐστι τῶν ποιητῶν. Πρώτη δὲ Μοιρὼ [1] ἡ Βυζαντία καλῶς ἐδέξατο τὸν νοῦν τῶν Ὁμήρου ποιημάτων, ἐν τῇ Μνημοσύνῃ ἐπιγραφομένῃ φάσκουσα τὴν ἀμβροσίαν τῷ Διὶ τὰς Πλειάδας κομίζειν. Κράτης δὲ ὁ κριτικὸς, σφετερισάμενος αὐτῆς τὴν δόξαν, ὡς ἴδιον ἐκφέρει τὸν λόγον. καὶ Σιμωνίδης δὲ τὰς Πλειάδας πελειάδας εἴρηκεν, ἐν τούτοις·

Alii etiam poëtae Pleiadas, *Peleiadas* dixerunt.

f „Δίδωτι δ' εὖ τέ σ' [2] Ἑρμᾶς Ἐναγώνιος, Μαίας
εὐπλοκάμοιο παῖς. ἔτικτε δ' Ἄτλας ἑπτὰ ἰοπλοκάμων Φίλαν θυγατέρων τάν γ' [3] ἔξοχον εἶδος, [4]
αἳ καλέονται Πελειάδες οὐράνιαι."

σαφῶς γὰρ τὰς Πλειάδας, οὔσας Ἄτλαντος θυγατέρας, Πελειάδας καλεῖ. καθάπερ καὶ Πίνδαρος·

— Ἐστὶ δὲ εἰκὸς
ὁρίαν τε [5] πελειάδων

1 Μυρὼ Suid. & al. 2 αὐτὸς coni. Caſ. Διὸς τιν εὖχος Iac. 3 Deeſt γ' edd. ἑπτὰ ἰοπλοκάμως (φίλας) θυγατέρας, τᾶν ἔξοχον εἶδος corr. Caſ. 4 Forſ. ἔξοχον εἶδαν. 5 ὁρειᾶν τε ed. Ven. ὀρειᾶν γε vulgo apud Pind. γε utique rectius videtur.

»ma vero Moero (*ſ.* Myro) Byzantia recte accepit Homericorum poëmatum mentem, quae in carmine cui *Mnemoſyne* titulus, *Pleiadas*, ait, *Iovi ambroſiam adferre.* Crates vero Criticus, ſibi tribuens illius gloriam, eam rationem pro ſua venditat. Sed & Simonides, quae vulgo *Pleiades* vocantur, easdem *Peleiadas* nominavit, ubi ait:

Dat [*gloriam,*] *Mercurius, Certaminum - praeſes, Maiae pulcricomae filius. Genuit vero Atlas ſeptem violaceo - capillo - conſpicuarum dilectarum filiarum praeſtantem ſane formam; quae vocantur Peleiades coeleſtes.*

Perſpicue enim *Pleiadas*, Atlantis filias, *Peleiadas* vocat. Sic & Pindarus:

Eſt autem conſentaneum
oriis a Peliadibus

μὴ τηλόθεν [1] Ὠαρίωνα [2] νεῖσθαι.

„ σύνεγγυς γάρ ἐστιν ὁ Ὠρίων τῇ ἀστροθεσίᾳ τῶν Πλειάδων· διὸ καὶ ὁ περὶ ταύτας μῦθος, ὅτι φεύγουσι μετὰ τῆς μητρὸς τῆς Πληϊόνης τὸν Ὠρίωνα. ὀρίας δὲ λέγει τὰς πλειάδας ἐν ἴσῳ τῷ οὐρίας, κατὰ παράλειψιν τοῦ υ· ἐπειδὴ κεῖνται ἐπὶ τῆς οὐρᾶς τοῦ ταύρου. a καὶ Αἰσχύλος δ' ἐκφανέστερον, προσπαίζων τῷ ὀνόματι κατὰ τὴν ὁμοφωνίαν·

Αἱ δ' ἕπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι,
πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ [3]
κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων
ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες.

ἀπτέρους γὰρ αὐτὰς εἴρηκεν, διὰ τὴν πρὸς τὰς ὄρνεις ὁμωνυμίαν. Ἡ δὲ Μοιρὼ καὶ αὐτὴ τὸν τρόπον τοῦτον φησί·

1 τηλόθι *Epit.* 2 ὠαρίωνα ed. Ven. Ὡρίωνα ed. Baſ. & Caſaub. 3 οὐρανός τε γῆ vulgo. οὐρανοῦ τέγην vel στέγην corrigebant viri docti.

haud procul incedere Orionem.

„Nam in ſiderum poſitu vicinus Pleiadibus eſt Orion: unde etiam de his vulgata eſt fabula, fugere eas cum matre Pleionâ Orionem. *Orias* vero *Pleiadas* dicit perinde ac ſi *urias* dixiſſet, per ellipſin vocalis *y:* quia ſitae ſunt in cauda (τῇ οὐρᾷ) tauri. Aeſchylus vero, apertius etiam ad illam adludens nominum communionem, ait:

Septem vero illae Atlantis inclytae filiae,
patris graviſſimum laborem ſuſtentandi-coeli
deflebant, ubi nocturnorum viſorum
formam habent alis-carentes Peleiades.

Alis-carentes dixit, ob nominis *communionem* cum avibus peleiadibus. Sed & ipſa Moero ad hunc modum loquitur:

Ζεὺς δ' ἄρ' ἐνὶ Κρήτῃ τρέφετο μέγας, οὐ δ' ἄρα Moerûs (l. Myrûs) versus ex Mnemosyne.
b τίς νιν
ἠείδει [1] μακάρων. ὁ δ' ἀέξετο πᾶσι μέλεσσι.
τὸν μὲν ἄρα τρήρωνες ὑπὸ ζαθέῳ τράφον [2] ἄντρῳ,
ἀμβροσίην φορέουσαι ἀπ' ὠκεανοῖο ῥοάων·
νέκταρ δ' ἐκ πέτρης μέγας αἰετὸς αἰὲν ἀΰσσων
γαμφηλῆς, [3] φορέεσκε ποτὸν [4] Διὶ μητιόεντι.
τὸν καὶ, νικήσας πατέρα Κρόνον εὐρύοπα Ζεύς,
ἀθάνατον ποίησε, καὶ οὐρανῷ ἐγκατέναιεν.
ὡς δ' αὕτως τρήρωσι πελειάσιν ὤπασε τιμὴν,
c αἵ δή τοι θέρεος καὶ χείματος ἄγγελοι εἰσίν.
„καὶ Σιμμίας δ', ἐν τῇ Γοργοῖ, φησίν·
Αἰθέρος ὠκεῖαι πρόπολοι πίλναντο πέλειαι.
Ποσίδιππος τ' ἐν τῇ Ἀσωπίᾳ· [5]
Οὐδέ τοι ἀκρόνυχοι ψυχραὶ δύνουσι πελειαί.

1 ἠΰδει edd. 2 τρέφον edd. τράφεν Ms. 3 γαμφηλῆ edd. cum ms. *A*. 4 πετῶν edd. πετὴν Ms. 5 Ποσείδιππος ἐν Ἀσωπίᾳ edd.

Educabatur in Cretâ magnus Iupiter; nec eum ullus
noverat Coelitum: ille autem membris crescebat omnibus.
Nempe alebant eum trerones (columbae) *divino sub*
antro,
ambrosiam ferentes ab oceani fluentis:
nectar vero ex rupe ingens aquila semper hauriens
rostro, potum adferebat Iovi prudenti.
Quem etiam, victo Saturno patre, late sonans Iupiter
immortalem fecit, coeloque locavit.
Paremque timidis columbis (τρήρωσι πελειάσι) *tribuit*
honorem,
quae nunc scilicet aestatis & hyemis nunciae sunt.

»Item Simmias, in Gorgone, ait:

Aetheris veloces ministrae adpropinquabant peleiae.

Et Posidippus, in Asopiâ:

Neque vespertinae occidunt frigidae peleiae.

„Λαμπροκλῆς δ' ὁ διθυραμβοποιὸς καὶ ῥητῶς αὐτὰς εἶπεν ὁμωνυμεῖν ταῖς περιστεραῖς, ἐν τούτοις·

Αἵ τε ποταναῖς ὁμώνυμοι
πελειάσιν αἰθέρι κεῖσθε. [1]

καὶ ὁ τὴν εἰς Ἡσίοδον δὲ ἀναφερομένην ποιήσας Ἀστρονομίαν, ἀεὶ πελειάδας αὐτὰς λέγει·

Τάσδε βροτοὶ καλέουσι Πελειάδας. d

καὶ πάλιν·

Χειμέριαι δύνουσι Πελειάδες. — καὶ πάλιν·
τῆμος ἀποκρύπτουσι Πελειάδες.

Οὐδὲν οὖν ἄπιστον, καὶ Ὅμηρον τὰς Πλειάδας κατὰ ποιητικὸν νόμον Πελειάδας ὠνομακέναι.

LXXXI. Pleiades anſis inſidentes Neſtoridis.

„Ἀποδεδειγμένου οὖν τοῦ, ὅτι Πλειάδες ἦσαν ἐντετορνευμέναι [2] τῷ ποτηρίῳ, καθ' ἕκαστον τῶν ὤτων δύο ὑποθετέον, εἴ τε βούλεταί τις ὀρνιθοφυεῖς κόρας, εἴ

1 κεῖσθαι ed. Ven. & Baſ. cum ms. *A.* κεῖνται ms. *Ep.* 2 ἐντετορευμέναι ms. *Ep.*

»Lamprocles vero, dithyrambicus poëta, diſerte etiam dicit, *Pleiadibus* nomen commune eſſe cum *columbis*. Cuius haec ſunt verba:

Et volucribus cognomines
columbis, in aethere locatae.

Porro etiam Aſtronomiae auctor illius, quae Heſiodo adſcribitur, conſtanter *Peleiadas* eas vocat:

Et quas Peleiadas vocant mortales.

& iterum:

Hybernae occidunt Peleiades. Rurſusque:
tunc occultantur Peleiades.

Quare minime incredibile debet videri, etiam Homerum *Pleiadas* poëtico quodam more *Peleiadas* nominaſſe.

81. »Cum igitur demonſtratum ſit, *Pleiadas* caelatas fuiſſe in Neſtoris poculo, ad utramque anſam duae intelligi debebunt; ſive avium formam ſive humanam ſpe-

„τ' αὖ καὶ ἀνθρωποειδεῖς, ἄστροις δὲ πεποικιλμένας.
e τὸ μέν τοι „ ἀμφὶς ἕκαστον χρύσειαι νεμέθοντο" οὐχ ὡς περὶ ἓν ἕκαστον ἀκουστέον· γενήσονται γὰρ οὕτως ὀκτὼ τὸν ἀριθμόν. ἀλλ', ἐπείπερ ἔσχισται μὲν ἑκάτερον τῶν ὤτων εἰς δύο σχίσεις, τούτων δ' αὖ συνάφεια κατὰ τὴν τελευταίαν ὑπόληξιν· ἕκαστον μὲν ἂν λέγοιτο, καθὸ τέτταρες αἱ πᾶσαι σχίσεις τῶν ὤτων· ἑκάτερον δὲ, καθὸ συμφυῆ πάλιν ἐπὶ τέλει γίνεται τῆς ἀναστάσεως αὐτῶν. ὅταν οὖν εἴπῃ, [1]

— ΔΟΙΑΙ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο, ΔΥΟ δ' ΥΠΟΠΤΟΜΕΝΕΣ
ἦσαν·

f καθ' ἑκατέραν τὴν σχίσιν τῶν ὤτων ἀκουσόμεθα μίαν πελειάδα· ἀς δοιὰς εἶπε, καθὸ συμφυεῖς εἰσιν ἀλλήλαις, καὶ συνεζευγμέναι. τὸ γὰρ δοιοὶ καὶ δοιαὶ [2] σημαίνει καὶ τὸ κατ' ἀριθμὸν εἶδος, τὸ δύο· οἷον,

1 εἶποι edd. 2 καὶ αἱ δοιαὶ edd.

»ciem habuisse cogites puellas, sed eas stellis distinctas. Illud quidem, *circa utramque ansam aureae pascebantur*, non intelligendum *circa unamquamque*: sic enim forent octo numero. Sed quoniam utraque ansa in duas fissa est, duae autem hae fissiones versus extremitatem sese rursus contingunt; *quamque* quidem dixerit poëta, quatenus quatuor fuerunt ansarum segmenta; *utramque* vero, quatenus earum bina rursus in summa extremitate in unum coëunt. Quum igitur ait:

Binae vero Peleiades circa quamque
aureae sedebant, duae autem hypopythmenes erant:

in utroque ansarum segmento intelligemus unam sediisse Peleiadam; quas *binas* dicit, quod sese contingerent & iunctae fuissent. Nam *bini* & *binae* duobus modis intelligi possunt: aut simpliciter tamquam numeri species, nempe *duo*; velut in illo:

Δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῦ τάλαντα.

„καὶ δοιοὶ θεράποντες. σημαίνει δὲ καὶ τὸ συμ-
ζυὲς, καὶ τὸ συνεζευγμένον κατ' ἀριθμόν. ὡς ἐν τούτοις·

— Δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους,
ἐξεμόδεν πεζυῶτας, ὁ μὲν ζυλίης, ὁ δ' ἐλαίης.

γεγήσονται οὖν ἐπὶ τῶν ὤτων τέσσαρες πελειάδες. a

LXXXII. Δύο ὑποπυθμενες πελειάδες.

„Ἔπειθ', ὅταν ἐπενέγκῃ τὸ,

— δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον
χρύσειαι νεμέθοντο, δύο δ' ΥΠΟΠΥΘΜΕΝΕΣ ἦσαν·

ἀκουστέον οὐ πυθμένας δύο, οὐδὲ [1] κατὰ διαίρεσιν ἀναγιωστέον, ὡς ὁ Θρᾷξ Διονύσιος· ἀλλὰ κατὰ σύνθετον ὑποπυθμένες, ὅπως ἐπὶ τῶν πελειάδων ἀκούωμεν· ὅτι τέσσαρες μὲν ἦσαν ἐπὶ τῶν ὤτων, δύο δ' ὑποπυθμένες, τουτέστιν ὑπὸ τῷ πυθμένι, οἷον ὑποπυθμένιοι· ὥστε διακρατεῖσθαι τὸ δέπας ὑπὸ δυεῖν [2]

1 ἀλλ' οὐδὲ edd. cum ms. *A*. 2 δυοῖν ed. Baſ. & Caſ.

Binos tripodas, & decem auri talenta.

„& in illo, *Bini miniſtri.* Significant vero etiam ea, quae ſeſe contingunt & ex duobus iuncta ſunt; velut in illis:

— *Bina autem ſubiit arbuſta*
ex eodem loco enata, alterum oleaſtri, oleae alterum.

Fuerint igitur ſuper anſis Peleiades quatuor.

82. „Deinde, ubi ſubnectit illud,

— *Binae vero Peleiades circa quodque*
aureae paſcebantur, δύο δ' ΥΠΟΠΥΘΜΕΝΕΣ ἦσαν:

non intelligere πυθμένας δύο (*duos fundos*, vel *duas baſes*) debemus, nec diviſis vocibus legere, ut fecit Dionyſius Thrax; ſed coniunctim ὑποπυθμένες, ut de Peleiadibus intelligatur: fuiſſe ſcilicet quatuor quidem ſuper anſis, *duas vero hypopythmenas*, id eſt, *ſub fundo*, quaſi ὑποπυθμένιοι dixiſſet; ita ut teneatur ſuſtententur-

b „Πελειάδων ὑποκειμένων τῷ πυθμένι, ἐξ δὲ τὰς πάσας γενέσθαι πλειάδας· ἐπείπερ ὁρῶνται τοσαῦται, [1] λέγονται δὲ ἑπτά. καθότι καὶ Ἄρατος φησίν·

Ἑπτάπορoι δὴ ταί γε μετ' ἀνδρώποις καλέονται, [2]
ἐξ οἷαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
Οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστὴρ,
ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν· ἀλλὰ μάλ' αὔτως
εἴρηται'. [3] ἑπτὰ δ' ἐκεῖναι ἐπιῤῥήδην καλέονται.

c „Ἐξ οἷαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν." τὸ ὁρώμενον οὖν ἐν τοῖς ἄστροις, καὶ ἐν τῇ φαινομένῃ κατασκευῇ προσηκόντως ἐτόρευσεν. Τοῦτο μέν τοι καὶ ἐπὶ τοῦ Διὸς σημαίνειν πείθονται τὸν ποιητὴν, ὅταν λέγῃ·

Τῇ μὲν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ Πέλειαι
τρήρωνες, ταί τ' [4] ἀμβροσίην Διῒ πατρὶ φέρουσιν.

1 τοιαῦται ed. Caſ. 2 Recte ὑδέονται apud Arat. 3 εἴρεται ed. Caſ. ut vulgo apud Aratum. εἴρηται ed. Ven. & Baſ. cum Msto. 4 αἵ τ' edd.

»que poculum a duabus Peleiadibus fundo ſubiectis, ſintque in univerſum Pleiades ſex: quoniam conſpiciuntur ſex, licet dicantur ſeptem. Quemadmodum etiam Aratus ait:

Quae ſeptem quidem ingredientes nominantur inter homines,
ſex licet ſolum conſpici poſſint oculis.
Nec vero periit ignota e coelo ſtella,
ex quo inde ab initio audivimus: ſed temere admodum
hoc dictum eſt. Septem vero illae nominatim vocantur.

Sex licet, inquit, *ſolum conſpici poſſint oculis.* Ergo id, quod in aſtris patet oculis, convenienter etiam in ſtructurâ oculis ſubiectâ caelatum finxit poëta. Id ipſum vero etiam de Iove indicare poëtam arbitrantur, ubi ait:

Hac quidem neque volucres praetervolant, neque Peleiades timidae, quae ambroſiam Iovi patri ferunt.

Ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς [1] πέτρη·
ἀλλ' ἄλλην ἐνίησι [2] πατὴρ ἐναρίθμιον εἶναι.

„ὑπὸ τῆς ὀξύτητος τῶν πλαγκτῶν πετρῶν καὶ τῆς λειό- d
τητος ἀφαιρεῖσθαι λέγων μίαν τῶν Πλειάδων, ἄλλην
δὲ πρὸς τοῦ Διὸς ἐνίεσθαι χάριν τοῦ σώζειν τὸν ἀριθμὸν
αὐτῶν· ποιητικῶς αἰνιττόμενος, ὅτι, τῶν Πλειάδων ἐξ
ὁρωμένων, ὅμως ὁ ἀριθμὸς αὐτῶν οὐκ ἀπόλλυται, λέ-
γονται δὲ καὶ τῷ ἀριθμῷ καὶ τοῖς ὀνόμασιν ἑπτά.

LXXXIII. Κυκεών. Cocetum.

„Πρὸς δὲ τοὺς λέγοντας, οὐκ οἰκείως τῷ ποτη-
ρίῳ ἐντετυπῶσθαι τὰς Πλειάδας, ξηρῶν τροφῶν οὔσας
σημαντικὰς, λεκτέον ὅτι τὸ δέπας ἀμφοτέρων τῶν τρο-
φῶν ἔστι δεκτικόν. κυκεὼν γὰρ ἐν αὐτῷ γίνεται· τοῦ- e
το δ' ἔστι πόσις ἐν τῷ κράματι τυρὸν ἔχουσα καὶ ἄλ-
φιτον· ἄμφω δὲ ταῦτα κυκώμενα καὶ οὕτω πινόμενα
λέγει ὁ ποιητής·

1 λὶς ed. Ven. & Baſ. cum ms. *A*. 2 *ἐνίησι* edd.

Sed etiam ex iis aliquam ſemper adimit laevis (ſive, *nuda*) *petra:*
at aliam ſubmittit pater, ut numerus conſtet.

»Ab acumine, & laevore (*ſive*, nuditate) errantium ſcopulorum abripi, ait, unam ex Pleiadibus, aliam vero a Iove in illius locum ſubmitti, quo integer ſervetur earum numerus: poëtice innuens, licet ſex ſolum conſpiciantur Pleiades, tamen de numero earum nullam periiſſe; ſed tam numero, quam ipſis nominibus, (recte) ſeptem dici.

83. »His vero qui contendunt, parum convenienter inſculptas poculo Pleiadas eſſe, ut quae ſint aridi alimenti indices, reſpondendum eſt, poculum illud, quod δέπας vocatur, utrumque genus recipere alimentorum. Nam in eo fit *cocetum:* (κυκεών:) eſt autem haec potio, mixtum continens caſeum & farinam; quae duo ſimul miſceri atque ita bibi dicit poëta:

Τοῖσι δὲ τεῦχε κυκειῶ [1] εὐπλόκαμος Ἑκαμήδη·
ἡ σφῶϊν πρῶτον μὲν ἐπὶ προὔηλε τράπεζαν,
[καλὴν κυανόπεζαν] [2] εὔξοον, αὐτὰρ ἐπ' αὐτῆς [3]
χάλκειον κάνεον· ἐπὶ δὲ κρόμυον, ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρὸν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτήν. 5
f πὰρ δὲ δέπας περικαλλὲς, ὃ οἴκοθεν ἦγ' ὁ γεραιὸς,
ἐν τῷ ῥά σφι κύκησε γυνὴ εἰκυῖα θεοῖσιν [4]
οἴνῳ Πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε·
πινέμεναι δ' ἐκέλευεν, [5] ἐπεί ῥ' ὤπλισσε κυκειῶ.

„Τὸ δὲ,

LXXXIV.

Alius quidem multo labore &c.

a Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐὸν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν·
οὐκ ἀκουστέον ἐπὶ μόνων [6] Μαχάονος καὶ Νέστορος,

1 κυκεῶ mssti. κυκεῶν' edd. 2 Absunt duo verba Msto. 3 ἐπ' αὐτῇ edd. 4 θεῇσιν edd. ut vulgo apud Hom. 5 ἐκέλευσεν edd. 6 μόνου edd.

His autem parabat cocetum pulcricoma Hecamede:
quae eis primum quidem adposuit mensam
pulcram, cyaneis instructam pedibus, bene politam; ac
super eâ
aeneam lancem, & in ea cepam, potioni-aptum obsonium,
& mel recens, & sacrae farinae fragmen;
iuxta etiam poculum (δέπας) perpulcrum, quod domo
adtulerat senex:
in quo ipsis miscuit mulier similis Diis
vinum Pramnium; insuper autem caprinum rasit caseum
radulâ aeneâ, superque farinas albas insperſit;
ac bibere iussit postquam confecit coctum.

84. »Quod vero ait:

Alius quidem (Ἄλλος μὲν) non sine labore submovisset de mensâ,
plenum si esset; Nestor vero nullo labore tollebat;

id non de Machaone & Nestore solummodo intelligen-

„ὡς οἴονταί τινες, τὸ ὃς ἀντὶ τοῦ ὁ λαμβάνοντες ἐπὶ τοῦ Μαχάονος, λέγοντες·

Ἀλλ' ὃς μὲν [1] μογέων ἀποκινήσασκε τραπέζης.

ἐπὶ τοῦ Μαχάονος τὸ μογέων δηλοῦσθαι νομίζοντες, ἐπειδὴ τέτρωται. ὅτι δὲ καθ' Ὅμηρον ὁ Μαχάων οὐ τέτρωται, ἐν ἄλλοις δειχθήσεται. Ἀγνοοῦσι δέ, ὅτι τὸ ἄλλος Ὅμηρος οὐκ ἐπὶ μόνων Μαχάονος καὶ Νέστορος ἔθηκεν, (δύο γὰρ οὗτοι πίνουσιν·) ἀλλ' εἶπεν ἂν ἕτερος. τοῦτο γὰρ ἐπὶ δύο τασσεσθαι πέφυκεν, ὡς ἐπὶ τούτων· [2] b

Οἴσετε δ' ἄρνε' ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν.

Ἔπειτα δὲ τὸ ὃς ἀντὶ προτακτικοῦ τοῦ ὁ Ὅμηρος οὐδέ ποτε τιθησι· τοὔμπαλιν δὲ ἀντὶ τοῦ ὃς ὑποτακτικοῦ παραλαμβάνει τὸ προτακτικὸν ὁ. οἷον·

Ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν.

1 Ἀλλ' ὁ μὲν ms. *A.* 2 καὶ ἐπὶ τούτων edd. cum ms. *A.* ὡς τὸ, Οἴσετε ms. *Ep.*

»dum, ut exiſtimant nonnulli, voculam ὃς pro ὁ accipientes de Machaone, & ſic ſcribentes:

Ἀλλ' ὃς μὲν, id eſt, *Et hic quidem non ſine labore ſubmoviſſet de menſâ.*

illud, *non ſine labore*, exiſtimantes de Machaone dici, quod is vulneratus eſſet. At, iuxta Homerum non vulneratum fuiſſe Machaonem, alibi docebimus. Neſciunt vero illi, vocem ἄλλος Homerum non de Machaone & Neſtore ſolis poſiturum fuiſſe, (hi enim duo bibunt:) ſed ἕτερος fuiſſe dicturum: nam hoc poni ſolet ubi de duobus agitur; veluti in iſtis:

Adducite agnos, alterum (ἕτερον) *album, nigram alteram.* (ἑτέρην.)

Praeterea articulum ὃς loco praepoſitivi ὁ numquam ponit Homerus; e contrario, loco poſtpoſitivi ὃς praepoſitivum ὁ (vel ὅ) adhibet: veluti,

Ibi Siſyphus erat, qui (ὅ) *prudentiſſimus fuit mortalium.*

„ Ἐλλείπει οὖν τὸ τὶς μόριον. τὸ γὰρ πλῆρες ἐστίν·
c „ ἄλλος μέν τις μογέων ἀποκινήσασκε τραπέζης,
πλεῖον ἐόν· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν." ὡς
παντὸς ἀνθρώπου μόλις ἂν ἀποκινήσαντος [1] ἀπὸ τῆς
τραπέζης τὸ ποτήριον, τοῦ δὲ Νέστορος αὐτὸ ῥᾳδίως
βασταζοντος δίχα πόνου καὶ κακοπαθείας. τὸ γὰρ
ποτήριον ὑφίσταται μέγα καὶ κατὰ τὸ κύτος, καὶ
βαρὺ τὴν ὁλκήν· ὅπερ Φιλοπώτης [2] ὢν ὁ Νέστωρ ἐκ
τῆς συνεχοῦς συνηθείας ῥᾳδίως βαστάζειν ἔσθενε.

„ Σωσίβιος δὲ ὁ Λυτικὸς, προθεὶς τὰ ἔπη· LXXXV.
Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης Sosibius, ὁ Λυτικός.
d πλεῖον ἐόν· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν.
γράφει κατὰ λέξιν· „ Νῦν [3] τὸ μὲν ἐπιτιμώμενόν ἐστι
τῷ ποιητῇ, ὅτι τοὺς μὲν λοιποὺς ἐστι [4] μογέοντας ἀεί-
ρειν τὸ δέπας, τὸν δὲ Νέστορα μόνον ἀμογητί. ἄλο-

1 ἀποκινήσοντος ed. Ven. cum Ms. 2 φιλοπότης edd. cum ms. *Ep.*
3 Vulgo κατὰ λέξιν νῦν. τὸ μὲν ἐπιτ. 4 λοιποὺς ἔφη malles.

Eratoſthenes undecimo libro de Comoediâ ait, vim illius vocabuli ignorare Lycophronem: »ſunt enim ſimiles (*inquit Eratoſthenes*) umbones phialarum & tholi balneorum; & in illorum nomine haud inconcinne adluditur ad umbilici formam." Apion vero & Diodorus dicunt:

παραπλήσιος ἠθμῷ." Ὁ δὲ Μυρλεανὸς Ἀσκληπιάδης, ἐν τοῖς Περὶ Κρατίνου· „βαλανειόμφαλοι, φησὶ, λέγονται, ὅτι οἱ ὀμφαλοὶ αὐτῶν καὶ τῶν βαλανείων οἱ θόλοι ὅμοιοί εἰσιν." Καὶ Δίδυμος δὲ, τὰ αὐτὰ εἰπὼν, παρατίθεται Λυκόφρονος [1] οὕτως ἔχοντα· „ἀπὸ τῶν ὀμφαλῶν τῶν ἐν ταῖς γυναικείαις πυέλοις, ὅθεν τοῖς σκαφίοις ἀρύουσι." Τίμαρχος δ' ἐν τετάρτῳ Περὶ τοῦ Ἐρατοσθένους Ἑρμοῦ· „Πεπαῖχθαί τις ἂν οἰηθείη,
f φησὶ, τὴν λέξιν, διότι τὰ πλεῖστα τῶν Ἀθήνησι βαλανείων, κυκλοειδῆ ταῖς κατασκευαῖς ὄντα, τοὺς ἐξαγωγοὺς [2] ἔχει κατὰ μέσον, ἐφ' οὗ [3] χαλκοῦς ὀμφαλὸς ἔπεστιν." Ἴων δ' ἐν Ὀμφάλῃ·

Ἴτ', [4] ἐκφορεῖτε παρθένοι κύπελλα καὶ
μεσομφάλους. —

οὕτως δ' εἴρηκε τὰς βαλανειομφάλους, ὧν Κρατῖνος μνημονεύει,

1 Forſ. τὰ Λυκόφρονος. 2 τὰς ἐξαγωγὰς ed. Caſ. cum Euſtath. ſic & ms. *Ep.* in contextu. 3 ἀφ' οὗ mssti. 4 Εἶτ' edd.

»Phialae quaedam, quarum umbo ſive umbilicus ſimilis eſt qualo.« Myrleanus vero Aſclepiades, in Commentario de Cratino: »*Balaniomphalae* dicuntur, inquit, quia earum umbilici & balneorum tholi ſunt ſimiles.« Didymus, poſtquam eadem dixit, adiicit Lycophronis verba, ſic habentia: »(Dictae ſunt illae phialae) ab umbilicis qui ſunt in foliis mulierum, e quibus aqua ſcaphiis exhauritur.« Timarchus vero, quarto libro de Eratoſthenis Mercurio, ait: »Per alluſionem fictum eſſe vocabulum, eo quod pleraque Athenis balnea, quum orbiculari formâ conſtructa ſint, emiſſaria habent in medio, quibus aeneus inſidet umbilicus.« Ion vero, in Omphale:

Ite, efferte, virgines, cupella & phialas
meſomphalas. —

Sic igitur ille vocavit, quas *balaniomphalas* Cratinus in illo verſu,

Δέχεσθε φιάλας τάσδε βαλανειομφάλους.

καὶ Θεόπομπος δ' ἐν Ἀλθαίᾳ [1] ἔφη·

Λαβοῦσα πλήρη χρυσέαν [2] μεσόμφαλον a

Φιάλην. Τελέστης δ' ἄκατον [3] ὠνόμαζέ νιν.

ὡς τοῦ Τελέστου ἄκατον τὴν φιάλην εἰρηκότος. Φερεκράτης δέ, ἢ ὁ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Πέρσας, φησί·

Στεφάνους τε πᾶσι, κώμφαλωτὰς χρυσίδας.

CV.

Phiala ἀργυρὶς, & χρυσίς.

Ἀθηναῖοι δὲ τὰς μὲν ἀργυρᾶς φιάλας, ἀργυρίδας λέγουσι, χρυσίδας δὲ τὰς χρυσᾶς. τῆς δὲ ἀργυρίδος φιάλης Φερεκράτης μὲν, ἐν Πέρσαις, οὕτως μνημονεύει· b

Οὗτος σὺ, ποῖ τὴν ἀργυρίδα τηνδὶ φέρεις;

χρυσίδος δὲ Κρατῖνος, [4] ἐν Νόμοις·

Χρυσίδι σπένδων γέγραφε τοῖς ὄφεσι [5] πιεῖν διδούς.

1 ἐν Ἄλθαι Ms. ἐν Ἀλθαιεῖς edd. 2 χρυσέων vulgo. 3 ἄκρατον vulgo, cum hîc, tum paulo poſt: & ὠνόμαζεν ἵν' ὡς τοῦ Τελ. Et Theopompi verba terminabantur in illis, *μεσόμφαλον φιάλην*. 4 *μνημονεύει* rurſus interſeritur in ed. Caſ. 5 τοῖς ὀφείλουσι corr. Dalec. τοῖς σοφοῖς Caſaub.

Accipite phialas hasce balaniomphalas.

Et Theopompus in Althaea dicit:

Sumtâ plenâ aureâ meſomphalâ

phialâ. Teleſtes autem acaton vocavit illam.

ſignificans, Teleſten pro eo quod eſt phiala, *acaton* dixiſſe. Pherecrates vero, aut quisquis auctor eſt Perſarum, qui illi adtribuuntur, ait:

Coronasque omnibus, & umbilicatas chryſidas.

105. Athenienſes vero argenteas quidem phialas *argyridas* vocant; aureas vero, *chryſidas*. *Argyridis* phialae Pherecrates in Perſis meminit, his verbis:

Heus tu! quo fers hanc argyridem?

Chryſidis vero Cratinus, in Legibus:

Chryſide libans ſcripſit ſerpentibus bibendum dans.

καὶ Ἕρμιππος ἐν Κέρκωψι·

Χρυσίδ' οἴνου παυσέληνον ἐκπιὼν ὑφείλετο.

Ἐκαλεῖτο [1] δέ τις καὶ βαλανωτὴ φιάλη· ἧς τῷ πυθμένι χρυσοῖ ὑπέκειντο ἀστράγαλοι. Σῆμος δέ, ἐν Δήλῳ ἀνακεῖσθαι, φησὶ, χαλκοῦν φοίνικα, Ναξίων ἀνάθημα, καὶ καρυωτὰς φιάλας χρυσᾶς. Ἀναξανδρίδης δὲ φιάλας Ἄρεος καλεῖ τὰ ποτήρια ταῦτα. Αἰολεῖς δὲ τὴν φιάλην ἀρακὶν [2] καλοῦσι.

ΦΘΟΪΣ. Πλατεῖαι φιάλαι ὀμφαλωτοί. Εὔπολις· CVI. Phthoïs.

Σὺν φθοῖσι προπεπωκώς. [3]

ἔδει δὲ ὀξύνεσθαι, ὡς Καρσὶ, παισὶ, Θειρσί.

ΦΙΛΟΤΗΣΙΑ. Κύλιξ τις, ἣν κατὰ φιλίαν προὔπινον, ὥς φησι Πάμφιλος. Δημοσθένης δὲ φησί· „καὶ φιλοτησίαν [4] προὔπινεν.“ Ἄλεξις· Philotesia.

1 Haec, usque ad ΧΥΤΡΙΔΕΣ (cap. 107.) desiderantur in Opere pleniore, suppleta ex Epitoma. 2 ἀράκην Hesych. 3 προσπεπταχώς mssti. 4 φιλοτησίας apud Demosth.

& Hermippus, in Cercopibus:

Rotundam chrysidem vini plenam postquam ebibit, abstulit.

Nominata vero etiam est phiala quaedam *glandulata:* cuius fundo aurei suppositi erant astragali. Semus vero ait, Deli dedicatam esse aeneam palmam arborem, Naxiorum donarium, & *amygdalatas* phialas aureas. Anaxandrides autem *phialas Martis* adpellat haec pocula. Aeoles vero phialam vocant *aracin.*

106. *Phthois.* Amplae phialae umbilicatae. Eupolis:

Cum phthoibus propinavit.

Oportebat autem, non φθοῖσι, sed acute φθοισὶ scribi, ut Καρσὶ, παισὶ, φθειρσί.

Philotesia. » Calix quidam, quem benevolentiae causa propinabant: « ait Pamphilus. Demosthenes vero ait: *Et philotesiam propinabat.* Alexis φιλοτησίαν κύλικα dixit:

— — Φιλοτησίαν σοι τήνδ' ἐγὼ
ἰδίᾳ τε καὶ κοινῇ τὴν κύλικα προπίνομεν. [1]

Ἐκαλεῖτο δὲ καὶ τὸ ἑταιρικὸν συνευωχούμενον, Φιλοτήσιον. Ἀριστοφάνης·

„Ἑπτάπους γοῦν ἡ σκιά ἐστιν ἡ πὶ τὸ δεῖπνον· ὡς ἤδη καλεῖ μ' ὁ χορὸς [2] ὁ Φιλοτήσιος."

Διὰ δὲ τὴν τοιαύτην πρόποσιν ἐκαλεῖτο καὶ κύλιξ, Φιλοτησία. ὡς ἐν Λυσιστράτῃ·

Δέσποινα Πειθοῖ, καὶ κύλιξ Φιλοτησία.

Chonni. ΧΟΏΝΟΙ. Παρὰ Γορτυνίοις ποτηρίου εἶδος, ὅμοιον θηρικλείῳ, χάλκεον· ὃ δίδοσθαι τῷ ἁρπασθέντι ὑπὸ τοῦ ἐραστοῦ φησιν Ἑρμώναξ.

Chalcidica pocula. ΧΑΛΚΙΔΙΚΑ ποτήρια. ἴσως ἀπὸ τῆς Χαλκίδος τῆς Θρᾳκικῆς εὐδοκιμοῦντα.

CVII.

Chytrides. ΧΥΤΡΙΔΕΣ. Ἄλεξις, ἐν Ὑποβολιμαίῳ·

1 Forſ. προπίομαι. 2 ὁ χρόος Mss.

— — *Philoteſium tibi hunc ego*
& privato & publico nomine calicem propino.

Sed & ſodalitium hominum una epulantium, *philoteſium* vocabatur. Ariſtophanes:

Septem pedes metitur umbra, coenae hora:
quare iam me vocat philoteſius chorus.

Propter huiusmodi vero propinationem etiam ipſe calix *philoteſius* adpellatus eſt: ut in Lyſiſtrata:

O Suada domina, & philoteſius calix.

Chonni. Apud Gortynios poculi ſpecies aenei, thericleo ſimilis; quod rapto puero ab amatore dono dari ſolitum tradit Hermonax.

Chalcidica pocula. Fortaſſe a Thracica Chalcide nomen & famam conſecuta.

107. *Chytrides.* (*Ollulae*, ſive *Urceoli.*) Alexis, in Suppoſititio:

Ἐγὼ Πτολεμαίου τοῦ βασιλέως τέτταρα
χυτρίδ' ἀκράτου τῆς τ' ἀδελφῆς προσλαβὼν
τῆς τοῦ βασιλέως, ταῦτ' ἐκπνευστὶ [1] ἐκπιὼν,
ὡς ἄν τις ἥδιστ' ἴσον ἴσῳ κεκραμένον.
e καὶ τῆς ὁμονοίας διατὶ νῦν μὴ κωμάσω 5
ἄνευ λύχνου πρὸς τὸ τηλικοῦτον φῶς; [2]

Ἡρόδοτος δ', ἐν τῇ πέμπτῃ τῶν Ἱστοριῶν· „Νόμον, φησὶ, θέσθαι Ἀργείους καὶ Αἰγινήτας, Ἀττικὸν μηδὲν προσφέρειν πρὸς τὰς θυσίας, μηδὲ κέραμον· ἀλλ' ἐκ χυτρίδων ἐπιχωρίων τὸ λοιπὸν αὐτόθι εἶναι πίνειν." καὶ Μελέαγρος δ' ὁ Κυνικὸς ἐν τῷ Συμποσίῳ οὑτωσὶ γράφει· „Καὶν τοσούτῳ πρόποσιν αὐτῷ βαρεῖαν διέδωκε, χυτρίδια [3] βαθέα δώδεκα."

CVIII. Pfycter, Frigidarium.

Ψυγετὲς, ἢ Ψυκτήρ. Πλάτων Συμποd σίῳ· „Ἀλλὰ φέρε, παῖ, φάναι τὸν ψυκτῆρα ἐκεῖ-

1 ἐκπνευστ' vulgo. ἀπνευστὶ malebam. 2 Forſ. πρὸς τηλικοῦτον φῶς ἐγώ; 3 χυτρίδα edd.

Ego Ptolemaei regis in honorem quatuor
chytridia meri & ſororis regis
ſumens, uno haec ſpiritu ebibi,
quam ſuaviſſime par pari mixtum ebibat quiſpiam.
Et huius concordiae cauſſâ quidni comeſſaret
ſine lucernâ, in hâc tam ſplendida luce!

Herodotus, quinto libro Hiſtoriarum, narrat »lege ſanxiſſe Argivos & Aeginetas, ne ullum Atticum vas ad ſacra facienda adhiberetur, ne fictile quidem: ſed ut in poſterum nonniſi ex *chytridibus* (ſive *ollis*) gentilibus ibidem bibere liceret.« Et Meleager Cynicus in Sympoſio ita ſcribit: »Et interim propinationem ei gravem propoſuit, *chytridia* profunda duodecim.«

108. *Pſygeus*, ſive *Pſycter*. (*Vas frigidarium.*) Plato, in Sympoſio: »Sed adfer, puer, ait, pſycte-

νον, ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. τοῦτον οὖν [1] ἐμπλησάμενον, πρῶτον μὲν αὐτὸν ἐκπιεῖν· ἔπειτα τῷ Σωκράτει κελεύειν ἐγχεῖν. [2] * Παραμηκύνειν ἐγχειροῦντος τοῦ Ἀρχεβούλου, εὐκαιρότατα προχέων ὁ παῖς τοῦ οἰναρίου ἀνατρέπει τὸν ψυκτῆρα." Ἄλεξις ἐν Οἰκιζομένῳ φησὶ „τρικότυλον ψυγέα." Διώξιππος, Φιλαργύρῳ·

Παρ' Ὀλυμπίχου δὲ θηρικλείους ἔλαβεν ἓξ, [3]
ἔπειτα τοὺς δύο ψυκτῆρας. —

Μένανδρος δ', ἐν τῷ ἐπιγραφομένῳ δράματι Χαλκεῖα, φησί·

— Τοῦτο δὴ τὸ νῦν ἔθος,
ἄκρατον, ἐβόων. τὴν μεγάλην ψυκτῆρα τις
προὔπινεν αὐτοῖς, [4] ἀθλίους ἀπώλλυεν. [5]

1 τοῦτον μὲν οὖν ed. Caſ. 2 Intercidiſſe videtur alterius auctoris nomen. 3 ἔλαβεν ἐξιτάτους δύο vulgo. ἓξ. εἶτα τοὺς δύο corr. Caſaub. 4 αὐτοὺς vulgo. 5 ἀπόλλυον vulgo. ἀπολλύων corr. Bentl.

rem illum; quem ſcilicet viderat plusquam octo cotulas capientem. Hunc igitur impletum primus ipſe ebibit, dein Socrati iuſſit infundi. « * » Quum in longum trahere adgrederetur Archebulus, peropportune puer vinum fundens evertit *pſyctherem*. « Alexis in Colono ait: *tricotylum pſyctherem*: (ψυγέα). Dioxippus, in Argenti cupido:

Ab Olympicho thericleos accepit ſex,
dein duos illos pſyctheres. —

Menander vero in fabulâ cui titulus Χαλκεῖα: (*id eſt*, Vulcanalia:)

— *Quod nunc in more eſt,*
Merum! inclamabant. Magnum (calicem) *pſyctherem*
aliquis
porrexit illis; miſerosque perdidit.

Ἐπιγένης δ' ἐν Ἡρωΐνῃ, καταλέγων πολλὰ ποτήρια, καὶ τοῦ ψυγέως οὕτως μνημονεύει·

Τὴν θηρίκλειον δεῦρο καὶ τὰ Ῥοδιακὰ
κόμισον λαβὼν τοὺς παῖδας. εἰτοίσεις μόνος
ψυκτῆρα, κύαθον, κυμβία. —

Στράττις, Ψυχασταῖς·

Ὁ δέ τις ψυκτῆρ', ὁ δέ τις κύαθον
χαλκοῦν κλέψας ἀπορῶν κεῖται,
κοτυλίδ' ἀνὰ χοίνικα μάττει. [1]

f Ἄλεξις δ', ἐν Ἱππίσκῳ, ψυκτηρίδιον καλεῖ, διὰ τούτων·

— Ἀπήντων τῷ ξένῳ [2]
εἰς τὴν κατάλυσιν ἢ συνῆν [3] αἴθων ἀνήρ.
τοῖς παισί τ' εἶπα, (δύο γὰρ ἦγον οἰκόθεν)
τ' ἀκπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, τ' ἀκπώματα

1 Vix sana oratio. 2 τῇ ξένῃ corr. Grot. 3 ποόνην vulgo. οὗτος ἦν δ' corr. Caſ.

Epigenes in Heroinâ, multa recenſens poculorum nomina, pſycteris etiam meminit, his verbis:

Thericleum huc & Rhodiaca
adfer adſumtis pueris. Solus intro feres
pſyctererem, cyathum, cymbia. —

Strattis, in Pſychaſtis:

Alius pſyctererem, alius cyathum
aeneum furatus, dubius iacet,
cotylidem cum choenice quaerit.

Alexis, in Hippisco, *pſycteridium* vocat his verbis:

— Ad hoſpitem me contuli
in diverſorium: aderat niger homo.
Pueris que dixi, (duos enim domo adduxeram)
pocula in propatulo bene terſa
ponerent. Erat autem cyathus argenteus; pocula

ἦγεν δύο δραχμὰς, κυμβίον δὲ τέτταρας· ψυκτηριδιόν τε [1] δύ' ὀβολοὺς, [2] Φιλιππίδου λεπτότερον. — a

CIX.

Ψυκτηρία & ψυκτήριον.

Ἡρακλέων δὲ ὁ Ἐφέσιος· „Ὃν ἡμεῖς, φησὶ, ψυγέα καλοῦμεν, ψυκτηρίαν τινὲς ὀνομάζουσιν. τοὺς δ' Ἀττικοὺς καὶ κωμῳδεῖν τὸν ψυγέα, ὡς ξενικὸν ὄνομα." Εὐφορίων ἐν Ἀποδιδούσῃ·

Ἐπὰν δὲ καλέσῃ ψυγέα τὴν ψυκτηρίαν,
τὸ σευτλίον δὲ τεῦτλα, [3] φακέα τὴν φακῆν,
τί δεῖ ποιεῖν; εὖ γὰρ εἶπον, [4] ὥσπερ χρυσίου,
φωνῆς ἀπότισον, [5] Πυργόθεμι, καταλλαγήν. b

Ἀντιφάνης, Ἱππεῦσι·

Πῶς οὖν διαιτώμεσθα; [6] τὸ μὲν ἐφίππιον
στρῶμ' ἐστὶν ἡμῖν· ὁ δὲ καλὸς πῖλος, καλὸς

1 ψυκτήριόν τε ed. Baſ. & Caſaub. Alibi vero ante iſta verba inſerta haec, ἴσως ἑτέρας. 2 Alibi δύ' ὀβολούς. 3 Immo inverſe, τὸ τευτλίον δὲ σεῦτλα. 4 Forſ. σὺ γὰρ εἶπόν. *Dic tu ipſa.* 5 ἀπότισιν ed. Caſaub. 6 διαιτώμεθα edd.

pendebant duas drachmas; cymbium vero, quatuor; & pſyctherium duos obolos, Philippide tenuius.

109. Heracleon vero Epheſius ſcribit: » Quem nos ψυγέα vocamus, eam nonnulli *pſyctheriam* nominant. Atticos vero comicos (ait) vocabulum ψυγεὺς perſtringere, ut peregrinum nomen.« Euphorion in Apodiduſa: (*i. e.* Reſtituente:)

Pſyctheriam ſi quis ψυγέα *vocaverit;*
& quod eſt τεῦτλα, σεύτλιον *dixerit; &* φακέα *pro* φακῆν;
huic quid facias? Recte equidem dixi, ſicut auri,
ſic & ſermonis permutati intertrimentum, Pyrgothemi, ſolvere debes.

Antiphanes, Equitibus:

Qualem igitur vitam agemus? Ephippium quidem
ſtratum eſt nobis: pulcra vero galea, pulcer

ψυκτήρ! τί βούλει; πάντ' Ἀμαλθείας κέρας.

Ἐν δὲ τῇ Κάρνῃ [1] σαφῶς δηλοῦται, ὅτι τούτῳ ἐχρῶντο οἰνοχοοῦντες κυάθῳ. εἰπὼν γάρ,

— τρίποδα καὶ κάδον [2]

παραθέμενος ψυκτῆρα τ', οἴνου μεθύσκεται.

ἐν τοῖς ἑξῆς ποιεῖ αὐτὸν [3] λέγοντα·

c „Πότος ἔσται σφοδρότερος. οὐκοῦν, εἰ φράσαι τις, οὐκ ἔτι ἔξεστι κυαθίζειν γάρ, [4] τὸν δὲ κάδον ἔξω καὶ τὸ ποτήριον λαβὼν, ἀπόφερε τἄλλα πάντα."

Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος, ἐν τῷ Περὶ Ὀνομάτων „τὸν ψυγέα, φησὶν, ἐκάλουν οἱ ἀρχαῖοι δῖνον." Νίκανδρος δ' ὁ Θυατειρηνὸς [5] καλεῖσθαί φησι ψυκτῆρας [6] καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἐστιν ἀναψύξαι. Αἰσχύλος, Νεανίσκοις·

1 Forſ. Καρίνῃ. 2 κάδδον vulgo. 3 τὸν αὐτὸν forſ. 4 καὶ pro γὰρ habent ed. Baſ. & Caſ. 5 Θειατειρ. edd. 6 ψυκτῆρα ms. *A*. ψυκτήρια debuiſſe videtur.

pſyctēr: quid ais? omnia Amaltheae cornu.

In Carnâ [*ſ.* Cariâ] vero perſpicue declarat, *pſyctere* pro cyatho uſos eſſe vinum fundentes. Nam poſtquam dixit:

— Menſâ & cado

adpoſitis, & pſyctere, vino inebriatur:

in ſequentibus eumdem facit dicentem:

» *Compotatio erit acrior. Igitur, ſi quis dixerit, non licere porro poculis indulgere, cado hoc excepto & poculo, reliqua cuncta auferr.* «

Dionyſius vero Tryphonis, [diſcipulus, puto] in libro de Nominibus ait: » Quem ψυγέα vocamus, eum veteres *dinum* dixere. « Nicander vero Thyatirenus monet, *pſyctēres* nominari etiam nemoroſa & umbroſa loca Diis conſecrata, in quibus frigus licet captare. Aeſchylus, in Adoleſcentulis:

Αὔρας [1] ὑποσκίοισιν [2] ἐν ψυκτηρίοις.

Εὐριπίδης, Φαέθοντι· d

— Ψυκτήρια

δένδρεα, [3] φίλαισιν [4] ὠλέναισιν δέξεται. [5]

καὶ ὁ τὸν Αἰγίμιον δὲ ποιήσας, εἰ θ' Ἡσίοδός ἐστιν, ἢ Κέρκωψ ὁ Μιλήσιος·

Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν.

CX. Odos, poculum.

Ὠιδός. Οὕτως ἐκαλεῖτο τὸ [6] ποτήριον, φησὶ Τρύφων ἐν τοῖς Ὀνομαστικοῖς, [7] τὸ ἐπὶ τῷ σκολιῷ [8] διδόμενον· ὡς Ἀντιφάνης παρίστησιν, ἐν Διπλασίοις·

A. Τί οὖν ἐνέσται τοῖς θεοῖσιν; B. Οὐδὲ ἓν,

ἐὰν μὴ κεράσῃ τίς. A. Ἴσχε. τὸν ᾠδὸν λάμβανε. e

ἔπειτα μηδὲν τῶν ἀπηρχαιωμένων

τούτων περάνῃς, τὸν [9] Τελαμῶνα, μηδὲ τὸν

1 Σαύρας vulgo. 2 ὑπηκόοισιν edd. cum ms. *A*. 3 δένδρη corr. Valck. 4 φίλοισιν Ms. 5 λέξεται vulgo. 6 Deest artic. edd. 7 Ὀνοματικοῖς Ms. 8 σκοδίῳ Ms. 9 τόν τε Τελαμ. edd.

Lenes auras umbrosis in psycteriis.

Euripides, Phaëthonte:

— *Umbracula praebentes*

arbores (ψυκτήρια δένδρεα) *amicis ulnis eum complectebantur.*

Et Aegimii auctor, sive is Hesychius est, sive Cercops Milesius:

Ibi tandem mihi umbraculum (ψυκτήριον) *erit, o dux populorum.*

110. *Odos.* Sic vocabatur, ait Tryphon in Onomasticis, poculum quod datur ei qui Scolion canit: ut docet Antiphanes in Duplicibus:

A. *Quid ergo erit pro Diis?* B. *Nihil quidquam, nisi quis infundat.* A. *Tene; accipe odon.*

Deinde vero nihil ex obsoletis istis

exsequere, nec Telamonem, nec

Παιῶνα, μήδ' Ἁρμόδιον.

Ὠοσκύφια. Περὶ τῆς ἰδέας τῶν ποτηρίων Ooscyphia.
Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν τῷ Περὶ τῆς Νεστορίδος φησὶν, ὅτι δύο πυθμένας ἔχει, ἕνα μὲν τὸν κατὰ τὸ κύτος αὐτῷ συγκεχαλκευμένον, ἕτερον δὲ τὸν προσθετὸν, ἀπ' ὀξέος ἀρχόμενον, καταλήγοντα δὲ εἰς πλατύτεραν· ἐφ' οὗ [1] ἵσταται τὸ ποτήριον.

Ὠόν. Δίνων, ἐν τρίτῳ Περσικῶν, φησὶν οὕτως· Ovum, poculum.
„Ἔστι δὲ ποτίβαξις, ἄρτος κρίβινος καὶ πύρινος ὀπτὸς, καὶ κυπαρίσσου στέφανος, καὶ οἶνος κεκραμένος ἐν ᾠῷ χρυσῷ, οὗ αὐτὸς βασιλεὺς πίνει."

CXI.

Τοσαῦτα εἰπὼν ὁ Πλούταρχος, καὶ ὑπὸ πάντων κροταλισθεὶς, ᾔτησε Φιάλην, ἀφ' ἧς σπείσας ταῖς Μούσαις, καὶ τῇ τούτων Μνημοσύνῃ μητρὶ, προὔπινε πᾶσι φιλοτησίαν, ἐπειπών· „Φιάλαν ὡς εἴ τις ἀφ-ανείας [2] ἀπὸ χειρὸς ἑλὼν, ἔνδον ἀμπέλου καχλάζοισαν In orbem bibere.

1 ἀφ' οὗ vulgo. 2 ἀφνιᾶς ms. *A.* & *Ep.*

Patonem, nec Harmodium.

Ooscyphia. De horum poculorum formâ Asclepiades Myrleanus in libro de Nestoride ait, habere illa duos fundos: unum in ipso corpore poculi, simul cum illo cusum; alterum illi extrinsecus adpositum, ab acuto incipientem, & desinentem in latius, cui insistat poculum.

Ovum. Dinon, tertio libro Rerum Persicarum, ita scribit: »Est autem *potibaxis*, panis hordaceus & triticeus coctus, & cupressina corona, & vinum mixtum in aureo ovo, de quo ipse rex bibit.«

111. Haec tam multa postquam dixisset Plutarchus, omniumque adplausu esset exceptus, popposcit phialam: e qua quum libasset Musis earumque matri Mnemosynae, poculum manu tenens invitavit omnes, simul dicens: *Phialam veluti si quis divite manu sumens, vitis in-*

δρόσῳ,[1] δωρήσεται· " οὐ μόνον νεανίᾳ γαμβρῷ προπίων, ἀλλὰ καὶ πᾶσι τοῖς Φιλτάτοις, ἔδωκε τῷ παιδὶ, περισοβεῖν ἐν κύκλῳ κελεύσας· τὸ κύκλῳ πίνειν τοῦτ' εἶναι λέγων, παρατιθέμενος Μενάνδρου ἐκ Περινθίας·

— Οὐδὲ μίαν ἡ γραῦς ὅλως
κύλικα παρῆκεν, ἀλλὰ πίνει τὴν κύκλῳ.

καὶ πάλιν ἐκ Θεοφορουμένης·

— Καὶ ταχὺ
πάλιν τὸ πρῶτον περισοβεῖ ποτήριον
αὐτοῖς ἀκράτου. —

καὶ Εὐριπίδης δ' ἐν Κρήσσαις· b

Τὰ δ' ἄλλα χαῖρε[2] κύλικος ἐρπούσης κύκλῳ.

Αἰτοῦντος δὲ τοῦ γραμματικοῦ Λεωνίδου μεῖζον ποτήριον, καὶ εἰπόντος· Κρατηρίζωμεν, ἄνδρες Φίλοι· Κρατηρίζειν. (οὕτως δὲ τοὺς πότους Λυσανίας[3] φησὶν ὁ Κυρηναῖος

1 Abeſt vulgo δρόσῳ. 2 χαίροι malebat Musgr. 3 Δυσανίας vulgo.

ius bulliente rore, dono dederit: & non modo *iuveni genero propinans*, verum etiam omnibus cariſſimis, dedit illud puero, iubens in orbem circumferre: idque dixit eſſe quod aiunt *in orbem bibere*, recitans Menandri verba ex Perinthiâ:

— *Ne unum quidem anus haec omnino*
praetermiſit calicem, quin biberet, circumeuntem.

Rurſusque ex Theophorumenâ: (*i. e.* Fanaticâ:)

Et mox iterum illis circumagit
primum meri poculum.

Et Euripides, in Mulieribus-Cretenſibus:

Valeatis reliqua omnia, in orbem eunte poculo.

Tum vero maius poculum poſcente Leonidâ Grammatico, dicenteque, *Crateriꝛemus*, amici viri! (ſic enim compotationes, ut Lyſanias Cyrenaeus tradit, dixerat He-

Ἡρόδωρον εἰρηκέναι ἐν τούτοις· „ἐπεὶ δὲ [1] θύσαντες πρὸς δεῖπνον, καὶ κρατῆρας καὶ εὐχὰς καὶ παιῶνας ἐτράποντο.“ καὶ ὁ τοὺς Μίμους δὲ πεποιηκὼς, οὓς ἀεὶ διὰ χειρὸς ἔχειν Δοῦρίς φησι τὸν σοφὸν Πλάτωνα, λέγει που, κηκεκρατηρίχημες,[2] ἀντὶ τοῦ πεπώκειμεν.) c Ἀλλὰ μὴν, πρὸς θεῶν, ὁ Ποντιανὸς ἔφη, οὐ δεόντως ἐκ μεγάλων πίνετε ποτηρίων, τὸν ἥδιστον καὶ χαριέστατον Ξενοφῶντα πρὸ ὀφθαλμῶν ἔχοντες, ὃς ἐν τῷ Συμποσίῳ φησίν· „Ὁ δ' αὖ Σωκράτης εἶπεν, ἀλλὰ πίνειν μὲν, ὦ ἄνδρες, καὶ ἐμοὶ πάνυ δοκεῖ. τῷ γὰρ ὄντι ὁ οἶνος ἅρδων τὰς ψυχὰς, τὰς μὲν λύπας, ὥσπερ ὁ μανδραγόρας ἀνθρώπους, κοιμίζει· τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον [3] φλόγας [4] ἐγείρει. δοκεῖ μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν [5] σώματα τὰ αὐτὰ πάσχειν, ἅπερ καὶ τὰ τῶν ἐν γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα, d ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν ἀθρόως ποτίζῃ, οὐ δύνα- Socrates in Xenophontis Convivio.

1 Forſ. ἔπειτα. 2 κὴν κρατῆρι κημέσαντί του vulgo. 3 Deſunt tria verba msstis & ed. Ven. 4 φλόγα ed. Baſ. & Caſ. ex Xenoph. 5 ἀνθράπων ms. *Ep.* in contextu.

rodorus, ubi ait: *Deinde peractis ſacris, ad coenam & ad crateras & ad preces & paeanas ſe converterunt.* Et qui Mimos illos conſcripſit, quos ſemper in manu habere ſapientem Platonem Duris ait, alicubi dicit, *& craterizaveramus*, pro *biberamus*.) At, per Deos, ait Pontianus, minime convenit ut maioribus bibatis poculis: ſed ſuaviſſimum venuſtiſſimumque Xenophontem cogitate, qui in Sympoſio ait: »Tum rurſus Socrates, Enimvero, inquit, o viri, etiam mihi utique videtur bibendum. Revera quippe vinum, dum animos rigat, moerores, perinde ac mandragoras homines, ſopit; & hilaritates, perinde ac oleum flammas, excitat. Videturque mihi hominum corporibus idem accidere quod iis rebus quae e terra gignuntur. Nam illae, quum nimio imbre rigantur de coelo, neque rectae ſtare, nec ſuo tempore ex-

ται ὀρθοῦσθαι, οὐδὲ ταῖς ὥραις διαπλοῦσθαι· [1] ὅταν δὲ ὅσῳ ἥδεται, τοσοῦτο [2] πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται, καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν. οὕτω δὴ καὶ ἡμεῖς, ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῶν [3] καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται, καὶ οὐδ' ἀναπνεῖν, μὴ ὅτι λέγειν, [4] δυνησόμεθα· ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι μικρὰ ἐπιψακάζωσιν, [5] ἵνα καὶ ἐγὼ Γοργείοισιν [6] ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι μεθύειν ὑπὸ τοῦ οἴνου, ἀλλ' ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα." e

CXII.

Platonis & Xenophontis aemulatio.

Εἰς ταὐτά τις ἀποβλέπων τὰ τοῦ καλοῦ Ξενοφῶντος, ἐπιγινώσκειν δυνήσεται, ἢν εἶχε πρὸς αὐτὸν ὁ λαμπρότατος Πλάτων ζηλοτυπίαν. ἢ τάχα φιλονείκως εἶχον ἀρχῆθεν πρὸς ἑαυτοὺς οἱ ἄνδρες οὗτοι, αἰσθόμενοι τῆς ἰδίας ἑκάτερος ἀρετῆς, καὶ ἴσως καὶ περὶ πρω-

1 οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι ed. Baſ. & Caſ. ex Xenoph. 2 τοσοῦτω ed. Ven. cum msstis. 3 ὑμῶν edd. 4 λέγειν τι ed. Baſ. & Caſ. ex Xenoph. 5 πυκνὰ ἐπιψεκάζωσιν eaedem editiones. 6 ἐγὼ ἐν Γοργ. eaedem.

pandi [*al.* nec auris perflari] poſſunt: quum vero non ultra quam quod ipſis gratum eſt bibunt, tum maxime & erecta augentur, & florentia ad fructuum generationem perveniunt. Pariter igitur nos ſi immodicum potum infundimus, mox & corpora nobis & animi vacillabunt, ac ne quidem reſpirare, nedum loqui poterimus: ſin minoribus poculis minutatim pueri nobis irroraverint, (ut & ego Gorgianis utar verbis) ita non per vim a vino ad temulentiam abripiemur, ſed blande invitati ad ludos iocosque deſcendemus. «

112. Haec qui reſpicit elegantis Xenophontis dicta, intelligere is potuerit quid ſit quod zelotypiâ adverſus illum adfectus fuerit ſplendidiſſimus Plato. Niſi forte inde ab initio aemuli inter ſeſe fuere illi viri, uterque ſuas vires ſentiens; ac fortaſſe de principatu inter ſe

τείων διεφέροντο· οὐ μόνον ἐξ ὧν περὶ Κύρου εἰρήκασι τεκμαιρομένοις ἡμῖν, ἀλλὰ καὶ κ τῶν αὐτῶν ὑποθέσεων. Συμπόσια μὲν γὰρ γεγράφασιν ἀμφότεροι, καὶ ἐν f αὐτοῖς ὁ μὲν τὰς αὐλητρίδας ἐκβάλλει, ὁ δὲ εἰσάγει· καὶ ὁ μέν, ὡς πρόκειται, παραιτεῖται πίνειν μεγάλοις ποτηρίοις· ὁ δὲ τὸν Σωκράτην παράγει τῷ ψυκτῆρι πίνοντα μέχρι τῆς ἕω. Καὶν τῷ περὶ Ψυχῆς δὲ ὁ Πλάτων καταλεγόμενος ἕκαστον τῶν παρατυχόντων, οὐδὲ κατὰ μικρὸν τοῦ Ξενοφῶντος μέμνηται. Καὶ περὶ τοῦ Κύρου οὖν, ὁ μὲν λέγει ὡς ἐκ πρώτης ἡλικίας ἐπεπαίδευτο πάντα τὰ πάτρια· ὁ δὲ Πλάτων, ὥσπερ a ἐναντιούμενος, ἐν τρίτῳ Νόμων φησί· „Μαντεύομαι δὲ περὶ Κύρου, τὰ μὲν ἄλλα στρατηγὸν αὐτὸν ἀγαθὸν εἶναι καὶ φιλόπονον, [1] παιδείας δὲ ὀρθῆς οὐδὲ ἥφθαι τὸ παράπαν· οἰκονομίας δ' οὐδὲν τὸν νοῦν [2] προσε-

1 φιλόπολιν ed. Baſ. & Caſaub. 2 οὐ δή τινι οὖν ed. Ven. cum Ms.

contenderunt. Quod non modo ex iis quae de Cyro dixerunt, ſed & ex eorum ſcriptis ſimili argumento editis coniectamus. *Sympoſium* enim ſcripſit uterque: quibus in ſcriptis alter tibicinas eiicit, alter introducit: & alter, ut modo dictum, recuſat bibere maioribus poculis; alter vero Socratem ex pſyctere facit bibentem ad auroram usque. In libro vero de Anima Plato omnes qui aderant recenſens, ne verbo quidem mentionem facit Xenophontis. Iam de Cyro alter ait, a primâ inde aetate omnibus patriis inſtitutis fuiſſe eum innutritum: Plato vero, velut illi contra dicturus, tertio libro Legum ait: »De Cyro vero auguror, fuiſſe quidem caeteroquin bonum imperatorem & induſtrium, ſed rectam inſtitutionem omnino ne attigiſſe quidem: ad rei domeſticae vero adminiſtrationem animum numquam adplicuiſſe. Videtur vero

σχηκέναι. ἔοικε δ' ἐκ νέου στρατεύεσθαι, παραδούς τε [1] τοὺς παῖδας ταῖς γυναιξὶ τρέφειν." Πάλιν ὁ μὲν Ξενοφῶν, συναναβὰς Κύρῳ εἰς Πέρσας μετὰ τῶν μυρίων Ἑλλήνων, καὶ ἀκριβῶς εἰδὼς τὴν προδοσίαν τοῦ Μένωνος τοῦ Θεσσαλοῦ, ὅτι αὐτὸς αἴτιος ἐγένετο τοῖς περὶ Κλέαρχον τῆς ἀπωλείας τῆς ὑπὸ Τισσαφέρνου γενομένης, καὶ, οἷός τις ἦν τὸν τρόπον, ὡς χαλεπὸς, ὡς b ἀσελγὴς, διηγησάμενος ἐφαίνετο· ὁ δὲ καλὸς [2] Πλάτων, μονονουχὶ εἰπών· „Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος," [3] ἐγκώμια αὐτοῦ διεξέρχεται, ὁ τοὺς ἄλλους ἁπαξαπλῶς [4] κακολογήσας· ἐν μὲν τῇ Πολιτείᾳ Ὁμηρον ἐκβάλλων, καὶ τὴν μιμητικὴν ποίησιν, αὐτὸς δὲ τοὺς διαλόγους μιμητικῶς γράψας, ὧν τῆς ἰδέας οὐδ' αὐτὸς εὑρετής ἐστιν. πρὸ γὰρ αὐτοῦ τοῦθ' εὗρε τὸ εἶδος τῶν λόγων ὁ Τήϊος Ἀλεξαμενὸς, [5] ὡς Νικίας ὁ

Menon Theſſalus.

Alexamenus.

1 Aut *delenda τε* particula, aut παραδοῦναί τε ſcribendum. 2 διηγησαμένου ὁ καλὸς ms. *A.* διηγησαμένου, ὁ καλὸς ed. Ven. διηγησάμενος ὁ καλὸς ed. Baſ. διηγησάμενος· ὁ καλὸς ed. Caſaub. 3 ὁ λόγος absque οὗτος ms. *Ep.* 4 ἅπαξ ἁπλῶς ed. Baſ. & Caſ. 5 Ἀλεξάμενος edd. & dein Ἀλεξαμένου & Ἀλεξάμενον.

inde ab adoleſcentia in bellis verſatus, filios ſuos educandos mulieribus tradidiſſe.« Rurſus Xenophon, Cyrum cum decem millibus Graecorum adverſus Perſas comitatus, cum exploratum haberet Menonis Theſſali proditione Clearchum a Tiſſapherne eſſe occiſum, perſpicue etiam expoſuit quali ingenio ille fuerit, quam durus, quam protervus: at pulcher Plato, tantum non diſertis verbis dicens, *Non eſt verus hic ſermo;* laudes illius hominis exſequitur, is qui alios omnes maledictis eſt infectatus. Idem in libris de Republicâ Homerum eiecit, & imitatricem poëſin; ipſe vero dialogos imitatrice arte conſcripſit; cuius tamen generis ne ipſe quidem inventor eſt. Nam ante illum genus hoc ſermonum invenerat Alexamenus Teius, ut Nicias Nicaeenſis docet & Soterion.

c Νικαεὺς ἱστορεῖ καὶ Σωτίων. [1] Ἀριστοτέλης δὲ ἐν τῷ Περὶ Ποιητῶν οὕτως γράφει· „Οὐκοῦν οὐδὲ ἐμμέτρους τοὺς καλουμένους Σώφρονος Μίμους μὴ Φῶμεν εἶναι λόγους [2] καὶ μιμήσεις, ἢ τοὺς Ἀλεξαμενοῦ τοῦ Τηίου τοὺς πρώτους γραφέντας τῶν Σωκρατικῶν διαλόγων·“ ἄντικρυς Φάσκων ὁ πολυμαθέστατος Ἀριστοτέλης, πρὸ Πλατωνος διαλόγους γεγραφέναι τὸν Ἀλεξαμενόν. Διαβάλλει δὲ ὁ Πλάτων καὶ Θρασύμαχον τὸν Χαλκηδόνιον· σοφιστὴν ὅμοιον εἶναι λέγων τῷ ὀνόματι. ἔτι d δὲ Ἱππίαν, καὶ Γοργίαν, καὶ Παρμενίδην, καὶ ἐνὶ διαλόγῳ τῷ Πρωταγόρᾳ πολλούς, ὁ τοιαῦτα ἐν τῇ Πολιτείᾳ εἰπών· „Ὅταν (οἶμαι) δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κακῶν οἰνοχόων τύχῃ, καὶ ἀκράτου αὐτῆς μεθυσθῇ.“

CXIII. Falsa fingit Plato in Dialogis.

Λέγεται δὲ, ὡς καὶ [3] ὁ Γοργίας αὐτὸς, ἀναγνοὺς τὸν ὁμώνυμον αὐτῷ [4] διάλογον, πρὸς τοὺς συνήθεις

1 Σωτηρίων vulgo. 2 εἶναι διαλόγους corrigit Valck.
3 καὶ ὡς edd. 4 ὁμων. αὐτοῦ edd.

[*sive*, Sotion.] Aristoteles vero in libro de Poëtis scribit: »Igitur ne metris quidem comprehensos Sophronis mimos qui vocantur, dicemus esse sermones [*sive*, dialogos] & imitationes, aut Alexameni Teii dialogos, qui ante Socraticos conscripti sunt.« Quibus verbis perspicue declarat doctissimus Aristoteles, ante Platonem Dialogos scripsisse Alexamenum. Insectatur vero Plato *Thrasymachum* etiam Chalcedonium; *sophistam* dicens *esse similem nomini quod gerat*. Item Hippiam, & Gorgiam, & Parmenidem; & uno dialogo, qui Protagoras inscribitur, multos; is qui in Republica haec dixit: *Puto quum civitas, populari statu utens, & libertatem sitiens, malos pincernas nacta fuerit, & meră illâ fuerit inebriata.*«

113. Narrant vero, ipsum etiam Gorgiam, postquam legisset cognominem sibi dialogum, dixisse ad familiares,

ἔφη· „Ὡς καλῶς οἶδε Πλάτων ἰαμβίζειν!“ Ἕρμιππος δὲ ἐν τῷ περὶ Γοργίου· „Ὡς ἐπεδήμησε, φησὶ, ταῖς Ἀθήναις Γοργίας [1] μετὰ τὸ ποιήσασθαι τὴν ἀνάθεσιν τῆς ἐν Δελφοῖς ἑαυτοῦ χρυσῆς εἰκόνος· εἰπόντος τοῦ Πλάτωνος ὅτε ἴδεν αὐτόν· „Ἧκει ἡμῖν ὁ καλός τε καὶ χρυσοῦς Γοργίας·“ ἔφη ὁ Γοργίας· „Ἦ καλόν γε αἱ Ἀθῆναι καὶ νέον τοῦτον Ἀρχίλοχον ἐνηνόχασιν.“ Ἄλλοι δέ φασιν, ὡς ἀναγνοὺς ὁ Γοργίας τὸν Πλάτωνος διάλογον, πρὸς τοὺς παρόντας εἶπεν, ὅτι οὐδὲν τούτων οὔτε εἶπεν, οὔτε ἤκουσε παρὰ Πλάτωνος.[2] ταὐτὰ φασὶ [3] καὶ Φαίδωνα εἰπεῖν, [4] ἀναγνόντα τὸν περὶ Ψυχῆς. διὸ καλῶς ὁ Τίμων περὶ αὐτοῦ ἔφη·

Ὡς ἀνέπλαττε Πλάτων [5] πεπλασμένα θαύματα εἰδώς.

Παρμενίδῃ μὲν γὰρ καὶ ἐλθεῖν εἰς λόγους τὸν τοῦ Πλάτωνος Σωκράτην, μόλις ἡ ἡλικία συγχωρεῖ· οὐχ ὡς

1 ὁ Γοργίας edd. 2 Immo παρὰ Σωκράτους. 3 ταῦτά φασι edd. 4 Deeſt εἰπεῖν edd. 5 ἀνέπλαττεν ὁ Πλάτων ms. *A*.

Quam pulcre iambis uti novit Plato! Hermippus vero, in libro de Gorgia, ſcribit: »Cum Athenas reverſus eſſet Gorgias, poſtquam auream ſuam ſtatuam Delphis poſitam dedicaſſet, Platone ubi primum in conſpectum venit dicente, *Ecce nobis pulcrum aureumque Gorgiam!* Gorgias ait: *Profecto pulcrum hunc quoque novum Archilochum tulerunt Athenae!*« Alii vero aiunt, lecto Platonis dialogo ad eos qui unà aderant dixiſſe Gorgiam, nihil iſtorum ſe umquam vel dixiſſe vel a Platone [*immo*, a Socrate] audiviſſe. Eademque etiam *Phaedonem* aiunt dixiſſe, poſtquam dialogum *de Animâ* legiſſet. Quare recte in eum Timon dixit:

Quam ficta Plato ſciens miracula finxit!

Cum *Parmenide* vero ut in colloquium veniret Platonicus Socrates, per aetatem vix fieri potuerat, nedum

καὶ τοιούτους εἰπεῖν ἢ ἀκοῦσαι λόγους. τὸ δὲ πάντων σχετλιώτερον, [1] καὶ τὸ εἰπεῖν οὐδεμιᾶς κατεπειγούσης χρείας, ὅτι παιδικὰ γεγόνοι τοῦ Παρμενίδου Ζήνων ὁ πολίτης αὐτοῦ. Ἀδύνατον δὲ καὶ Φαίδρον οὐ μόνον κατὰ Σωκράτην εἶναι, ἥπου γε καὶ ἐρώμενον αὐτοῦ γεγονέναι. Ἀλλὰ μὴν οὐ δύνανται Πάραλος καὶ Ξάνθιππος οἱ Περικλέους υἱοὶ, τελευτήσαντες τῷ λοιμῷ,
a Πρωταγόρᾳ [2] διαλέγεσθαι, ὅτε δεύτερον ἐπεδήμησε ταῖς Ἀθήναις, οἱ ἔτι [3] πρότερον τελευτήσαντες. Πολλὰ δ' ἔστι καὶ ἄλλα λέγειν περὶ αὐτοῦ καὶ δεικνύναι, ὡς ἔπλαττε τοὺς διαλόγους.

CXIV. Plato malevolus in multos.

Ὅτι δὲ καὶ δυσμενὴς ἦν πρὸς ἅπαντας, δῆλον καὶ ἐκ τῶν ἐν τῷ Ἴωνι ἐπιγραφομένῳ. [4] ἐν ᾧ πρῶτον μὲν κακολογεῖ πάντας τοὺς ποιητὰς, ἔπειτα καὶ τοὺς ὑπὸ τοῦ δήμου προαγομένους, Φανοσθένη τὸν Ἀνδριον,

1 σχετλιάτατον edd. 2 τῷ Πρωταγ. ms. *Ep.* 3 οἱ ε'. ἔτει (id est, πέμπτῳ ἔτει) πρότερον corr. Casaub. 4 ἐπιγραφομέναν ed. Ven. & Bas. cum Ms.

ut tales vel diceret vel ab illo audiret sermones. Illud vero etiam indigniſſimum, quod nullâ prorſus urgente neceſſitate dixit, puerum delicatum Parmenidis fuiſſe Zenonem, civem illius. Nec vero fieri poteſt ut Phaedrus Socratis aetate floruerit, nedum ut illius fuerit amaſius. Nec vero Paralus & Xanthippus, Periclis filii, saeviente peſte mortui, cum *Protagora* colloqui potuerunt, quum ſecundo adventu Athenis moraretur; qui iam ante id tempus in vivis eſſe deſierant. Multa vero inſuper alia de eo dici poſſent, quibus oſtenderetur quo pacto dialogos ſuos finxerit.

114. Fuiſſe autem malevolum in omnes Platonem, ex iis etiam liquet quae in dialogo dicit qui *Ion* inſcribitur: in quo maledictis infectatur primum poëtas omnes, dein etiam viros qui a populo ad ſummas dignitates erant promoti, Phanoſthenem Andrium, Apollodorum

Ἀπολλόδωρον τὸν Κυζικηνὸν, ἔτι δὲ τὸν Κλαζομένιον Ἡρακλείδην. ἐν δὲ τῷ [1] Μένωνι καὶ τοὺς μεγίστους παρ' Ἀθηναίοις γενομένους, Ἀριστείδην καὶ Θεμιστοκλέα· Μένωνα δὲ ἐπαινεῖ, τὸν τοὺς Ἕλληνας προδόντα. ἐν δὲ τῷ Εὐθυδήμῳ αὐτὸν [2] καὶ τὸν ἀδελφὸν αὐτοῦ Διονυσιόδωρον προπηλακίζων, καὶ καλῶν ὀψιμαθεῖς ἔτι τε ἐριστὰς ὀνομάζων, ὀνειδίζει αὐτοῖς καὶ τὴν ἐκ Χίου τῆς πατρίδος φυγὴν, ἀφ' ἧς ἐν Θουρίοις κατῳκίσθησαν. ἐν δὲ τῷ Περὶ Ἀνδρείας Μελησίαν, τὸν Θουκυδίδου τοῦ ἀντιπολιτευσαμένου Περικλεῖ, καὶ Λυσίμαχον τὸν Ἀριστείδου τοῦ Δικαίου, τῆς τῶν πατέρων ἀρετῆς ἀναξίους εἶναι φάσκων. Ἃ δὲ περὶ Ἀλκιβιάδου εἴρηκεν ἐν τῷ Συμποσίῳ, οὐδ' εἰς φῶς λέγεσθαί ἐστιν ἄξιον, ἔν τε τῷ προτέρῳ τῶν εἰς αὐτὸν διαλόγων· ὁ γὰρ δεύτερος ὑπό τινων Ξενοφῶντος εἶναι λέγεται,

1 Deest artic. ed. Bas. & Cas. 2 Deest αὐτὸν Msto.

Cyzicenum, & Clazomenium Heraclidem. In Menone vero etiam illos, quos summos viros Athenienses habuerant, Aristidem & Themistoclem; Menonem vero laudat, eum qui prodidit Graecos. In Euthydemo, & hunc ipsum & fratrem eius Dionysiodorum contumeliose tractat, ad honesta omnia addiscenda tardos & hebetes, itemque contentiosos vocans, exprobransque etiam quod ex patria Chio profugissent, & Thurios habitatum migrassent. In dialogo De Fortitudine Melesiam, Thucydidis illius qui in administratione reipublicae Pericli adversatus erat, & Lysimachum Aristidis Iusti filium, indignos ait esse patrum virtute. Quae vero de Alcibiade dixit in Symposio, ne palam quidem repetere decet; itemque quae in priori ex eis dialogis, quibus nomen illius inscriptum est: nam posterior perhibetur a nonnullis esse Xenophontis, quemadmodum Alcyon fer-

ὡς καὶ ἡ Ἀλκυὼν Λέοντος τοῦ Ἀκαδημαϊκοῦ, ὥς φησι Νικίας ὁ Νικαεύς. τὰ μὲν οὖν κατὰ Ἀλκιβιάδου [1] λεχθέντα σιωπῶ. ὅτι δὲ [2] τὸν Ἀθηναίων δῆμον εἰκαῖον εἶρηκε κριτὴν εὐπρόσωπον· Λακεδαιμονίους δὲ ἐπαινῶν, ἐπαινεῖ καὶ τοὺς πάντων Ἑλλήνων ἐχθροὺς Πέρσας. καὶ τὸν ἀδελφὸν δὲ τοῦ Ἀλκιβιάδου Κλεινίαν [3] μαι-
d νόμενόν τε ἀποφαίνει, [4] καὶ τοὺς υἱοὺς αὖ τοῦ Περικλέους [5] ἠλιθίους, Μειδίαν τε ὀρτυγοκόπον, [6] καὶ τὸν τῶν Ἀθηναίων δῆμον εὐπρόσωπον μὲν εἶναι, δεῖν δ' αὐτὸν ἀποδύσαντας [7] θεωρεῖν· ὀφθήσεται γὰρ φησὶν περίβλεπτον ἀξίωμα περικείμενος [8] κάλλους οὐκ ἀληθινοῦ.

CXV. Platonis Dialogus *Cimon?*

Ἐν δὲ τῷ Κίμωνι, [9] οὐδὲ τῆς Θεμιστοκλέους [10] φείδεται κατηγορίας, οὐδὲ τῆς Ἀλκιβιάδου καὶ Μυ-

1 κατὰ Ἀλκιβιάδην edd. 2 ἔτι δὲ corr. Casaub. 3 καὶ Νικίαν vulgo. 4 ἀποκαλεῖ *Epit.* 5 τοὺς υἱοὺς αὐτοῦ ἠλιθίους vulgo. 6 ὀρτυγοτρόφον hodie vulgo apud Platonem. 7 ἀποδύσαντα ms. *Ep.* in contextu. ἀποδύντα apud Plat. 8 περικείμενον edd. 9 Suspectum nomen Κίμωνι. 10 Περικλέους pro Θεμιστ. habet ms. *Epit.* Utrumque nomen videtur adponendum fuisse.

tur esse Leontis Academici, ut ait Nicias Nicaeensis. Igitur, quae ad Alcibiadem spectant, silentio praetereo: sed illud tacere non possum, quod populum Athenienſem temerarium iudicem dixit bene personatum: Lacedaemonios vero laudans, etiam Persas laudat hostes Graecorum omnium: & fratrem Alcibiadis Cliniam insanum esse ait, & Periclis filios stolidos, & Midiam feriendis coturnicibus unice operam dare, & populum Athenienſium bene quidem personatum esse, sed oportere detractâ personâ eum spectare: sic enim adparebit, ait, circumiectum habere speciosum decus fictae falsaeque pulcritudinis.

115. In Cimone vero, neque Themistoclis parcit accusationi, nec Alcibiadis & Myronidae; (*sive*, Miltia-

ρωνίδου,[1] ἀλλ' οὐδ' αὐτοῦ τοῦ Κίμωνος. καὶ ὁ Κρίτων δ' αὐτοῦ Σοφοκλέους περιέχει καταδρομήν. ὁ δὲ Γοργίας οὐ μόνον ἀφ' οὗ τὸ ἐπίγραμμα, ἀλλὰ καὶ Ἀρχελάου τοῦ Μακεδονίας βασιλέως· ὃν οὐ μόνον ἐπο- e
νειδιστον γένος ἔχειν, ἀλλ' ὅτι καὶ ἀπέκτεινε τὸν δεσπότην. οὗτος δ' ἐστὶ [2] Πλάτων, ὃν Σπεύσιππός φησι φίλτατον ὄντα Ἀρχελάῳ, Φιλίππῳ τῆς βασιλείας αἴτιον γενέσθαι. γράφει γοῦν Καρύστιος ὁ Περγαμηνὸς ἐν τοῖς Ἱστορικοῖς Ὑπομνήμασιν οὕτως· „ Σπεύσιππος πυνθανόμενος Φίλιππον βλασφημεῖν περὶ Πλάτωνος, εἰς ἐπιστολὴν ἔγραψέ τι τοιοῦτον· Ὥσπερ ἀγνοοῦντας τοὺς ἀνθρώπους, ὅτι καὶ τὴν ἀρχὴν τῆς βασιλείας Φί-
Euphraeus Orita. λιππος διὰ Πλάτωνος ἔσχεν. Εὔφραιον [3] γὰρ ἀπέ- f
στειλε τὸν Ὠρείτην πρὸς Περδίκκαν Πλάτων, ὃς ἔπει-
σεν ἀπομερίσαι τινὰ χώραν Φιλίππῳ. διατρέφων δ' ἐνταῦθα δύναμιν, ὡς ἀπέθανε Περδίκκας, ἐξ ἑτοίμου

1 Μιλτιάδου ed. Caſ. 2 οὗτός ἐστι edd. 3 Εὔφρανον ms. *Ep.* & ſic inferius edd. cum msstis. Εὐφραῖον h. l. edd.

dis;) immo ne ipſius quidem Cimonis. Porro Crito eius continet in Sophoclem invectivam: Gorgias vero, non modo in eum a quo nomen habet, ſed & in Archelaum Macedoniae regem; cui non ſolum ignobile genus exprobrat, ſed etiam dominum ait interfeciſſe. Hic vero Plato eſt, quem Speuſippus ait, cum amiciſſimus fuiſſet Archelai, Philippo operam contuliſſe ad adipiſcendum regnum. Scribit certe Caryſtius Pergamenus, in Commentariis Hiſtoricis, in hunc modum: »Speuſippus cum cognoviſſet Philippum calumniari Platonem, in epiſtolâ quadam tale quidpiam ſcripſit: *Quaſi vero ignorarent homines, Platonis operâ regnum etiam adeptum eſſe Philippum.* Euphraeum enim Oritam ad Perdiccam miſerat Plato, qui illi perſuaſit, ut Philippo aliquam regionem tribueret. In qua cum ille milites aleret, mortuo Perdiccâ

δυνάμεως ὑπαρχούσης, ἐπέπεσε τοῖς πράγμασι." Τοῦτο δ' εἰπὲρ οὕτως ἀληθείας ἔχει, θεὸς ἂν εἰδείη. Ὁ δὲ καλὸς αὐτοῦ Πρωταγόρας πρὸς τῷ [1] καταδρομὴν ἔχειν πολλῶν ποιητῶν καὶ σοφῶν ἀνδρῶν, ἐκθεατριζόμενον ἔχει καὶ τὸν Καλλίου βίον μᾶλλον τῶν Εὐπόλιδος Κολάκων. ἐν δὲ τῷ Μενεξένῳ οὐ μόνον Ἱππίας ὁ Ἠλεῖος χλευάζεται, ἀλλὰ καὶ ὁ Ῥαμνούσιος Ἀντιφῶν, καὶ ὁ μουσικὸς Λάμπρος. ἐπιλείποι δ' ἄν με [2] a ἡ ἡμέρα, εἰ πάντας ἐθελήσαιμι ἐπελθεῖν τοὺς κακῶς ἀκούσαντας ὑπὸ τοῦ σοφοῦ. Ἀλλὰ μὴν οὐδ' Ἀντισθένη ἐπαινῶ. καὶ γὰρ καὶ οὗτος πολλοὺς εἰπὼν κακῶς, οὐδ' αὐτοῦ τοῦ Πλάτωνος ἀπέσχετο· ἀλλὰ καλέσας αὐτὸν Φορτικῶς Σάθωνα, τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκεν.

Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν τοῖς Ὑπομνήμασι, CXVI.
Περὶ τῆς πρὸς πάντας τοῦ Πλάτωνος κακοηθείας λέ-

1 πρὸς τὸ edd. 2 ἐπιλείποι ἂν μι edd. ἐπιλίπῃ δ' ἂν μι ms. *Ep.*

in parato habens copias, rerum potitus est.« Sed hoc quidem an vere dictum sit, Deus noverit. Pulcher vero illius Protagoras, praeterquam quod in poëtas multos & sapientes viros vituperationem continet, etiam Calliae vitam multo acerbius perstringit quam Eupolidis Adsentatores. In Menexeno vero non modo Hippias Eleus ridetur, verum etiam Rhamnusius Antiphon, & Musicus Lamprus. Sed dies me deficeret, si omnes vellem commemorare qui ab hoc sapiente male audiverunt. Nec vero idcirco Antisthenem laudo: qui cum alios multos maledictis insectatus est, tum nec ab ipso Platone abstinuit; sed odiose *Sathonem* eum adpellans, dialogum edidit cui inscriptum illud nomen est.

116. Hegesander vero Delphensis in Commentariis, ubi de illâ Platonis adversus omnes malevolentiâ disputat, et-

Arrogans Plato, & invidus in condiſcipulos.

γων, γράφει καὶ ταῦτα· „Μετὰ τὴν Σωκράτους τε-
λευτὴν, ἐπιπλεῖον τῶν συνήθων ἀθυμούντων ἔν τινι συν-
ουσίᾳ, Πλάτων συμπαρὼν, λαβὼν τὸ ποτήριον, παρε- b
καλεῖ μὴ ἀθυμεῖν αὐτοὺς, ὡς ἱκανὸς αὐτὸς εἴη ἡγεῖ-
σθαι τῆς σχολῆς, καὶ προέπιεν [1] Ἀπολλοδώρῳ. καὶ
ὃς εἶπεν, Ἥδιον ἂν παρὰ Σωκράτους τὴν τοῦ Φαρμά-
κου κύλικα εἰλήφειν, ἢ παρὰ σοῦ τὴν τοῦ οἴνου πρόπο-
σιν. Ἐδόκει γὰρ Πλάτων φθονερὸς εἶναι, καὶ κατὰ τὸ
ἦθος οὐδαμῶς εὐδοκιμεῖν. καὶ γὰρ Ἀρίστιππον πρὸς
Διονύσιον ἀποδημήσαντα ἔσκωπτεν, αὐτὸς τρὶς εἰς Σι-
κελίαν ἐκπλεύσας· ἅπαξ μὲν τῶν ῥυάκων [2] χάριν, ὅτε
καὶ τῷ πρεσβυτέρῳ Διονυσίῳ συγγενόμενος ἐκινδύνευ-
σεν· δὶς δὲ πρὸς τὸν νεώτερον Διονύσιον. Αἰσχίνου τε c
πένητος ὄντος, καὶ μαθητὴν ἕνα ἔχοντος Ξενοκράτην,
τοῦτον περιέσπασεν. καὶ Φαίδωνι δὲ τὴν τῆς δουλείας

1 προέπινεν edd. 2 ῥυαχῶν edd.

iam hoc ſcripſit: » Poſt Socratis e vivis diſceſſum, quum familiares eius in convivio quodam triſtes admodum eſſent, Plato unus e convivis, ſumto poculo, hortatus eos eſt, *ne animum deſponderent; ſe enim idoneum eſſe qui ſcholae praeeſſet:* atque ita propinavit poculum Apollodoro. At ille, *lubentius ſe a Socrate veneni calicem fuiſſe accepturum*, ait, *quam iſtam a Platone invitationem.* Videtur enim Plato invidioſus fuiſſe, & moribus minime probis. Nam & Ariſtippum cavillatus eſt, quod ad Dionyſium eſſet peregrinatus, cum ipſe ter in Siciliam navigaſſet: ſemel quidem igneorum Aetnae profluviorum cauſſâ; quo tempore etiam cum ſeniore Dionyſio congreſſus, periculum vitae adiit: bis vero ad iuniorem Dionyſium. Idem, quum pauper eſſet Aeſchines, unumque haberet diſcipulum Xenocratem, hunc ab illo abſtraxit. Idem deprehenſus eſt id agere ut Phaedoni litem intentaret, qua

ἐφιστὰς δίκην ἐφωράθη· καὶ τὸ καθόλου πᾶσι τοῖς Σωκράτους μαθηταῖς ἐπεφύκει μητριᾶς ἔχων διάθεσιν. διόπερ Σωκράτης οὐκ ἀηδῶς περὶ αὐτοῦ στοχαζόμενος, ἐνύπνιον ἔφησεν ἑωρακέναι πλειόνων παρόντων. δοκεῖν γάρ, ἔφη, τὸν Πλάτωνα κορώνην γενόμενον ἐπὶ τὴν κεφαλήν μου ἀναπηδήσαντα, [1] τὸ φαλακρόν μου κατασκαριφᾶν, καὶ κρατεῖν περιβλέπουσαν. [2] δοκῶ οὖν
d σε, ὦ [3] Πλάτων, πολλὰ κατὰ τῆς ἐμῆς ψεύδεσθαι [4] κεφαλῆς. Ἦν δὲ ὁ Πλάτων, πρὸς τῇ κακοηθείᾳ, καὶ φιλόδοξος· ὅστις ἔφησεν „Ἔσχατον [5] τὸν τῆς δόξης χι- Novissima exuitur gloriae cupido.
τῶνα ἐν τῷ θανάτῳ αὐτῷ ἀποδυόμεθα, [6] ἐν διαθήκαις, ἐν ἐκκομιδαῖς, [7] ἐν τάφοις·" ὡς φησι Διοσκουρίδης ἐν τοῖς Ἀπομνημονεύμασι. Καὶ τὸ πόλιν δὲ θελῆσαι κτίσαι, καὶ τὸ νομοθετῆσαι, τίς οὐ φήσει πάθος εἶναι φιλοδοξίας; δῆλον δέ ἐστι τοῦτο ἐξ ὧν ἐν τῷ

1 Forſ. ἀναπηδήσασαν. 2 καὶ κροτεῖν περιλέπουσαν corr. Coray. 3 Deeſt ὦ edd. 4 ψεύσασθαι ms. *Ep.* ψεύσεσθαι malebam. 5 Forſ. ὅτι ἔσχατον. 6 Verba ὅστις ἔφησεν - - ἀποδυόμεθα parentheſeos notis incluſa in ed. Caſaub. 7 Perperam ἐν κομιδαῖς ed. Ven. & Baſ.

in ſervitutem ille denuo detruderetur: omninoque in omnes Socratis diſcipulos novercalem animum geſſit. Quare etiam Socrates, recte de eo coniectans, praeſentibus multis non illepide dixerat, *viſum ſibi per inſomnium Platonem, in cornicem mutatum, capiti ipſius inſiluiſſe, calvitiemque perfodientem, & firmiter capiti inſidentem, circumcirca proſpectaſſe. Quare exiſtimo*, inquit, *multa te, Plato, adverſus caput meum eſſe mentiturum.* Erat vero Plato non malevolus ſolum, verum etiam gloriae cupidus; is qui dixerat: *Extremam tunicam, gloriae cupiditatem, in ipſa morte deponimus, in teſtamentis, in exſequiis, in ſepulcrorum monumentis:* ut tradit Dioscorides in Memorabilibus. Quod vero civitatem voluit condere, & legibus eam inſtruere, quis neget eſſe hominis gloriae cupiditate inſigniter adfecti? Adparet hoc autem ex his quae in Timaeo ipſe ait: *Equi-*

Τιμαίῳ λέγει· „Πέπονθά τι πάθος πρὸς τὴν πολιτείαν, ὥσπερ ἂν εἰ ζωγράφος ἐβούλετο τὰ ἑαυτοῦ ἔργα κινούμενα καὶ ἐνεργὰ ἰδεῖν, οὕτω κἀγὼ τοὺς πολίτας οὓς διαγράφω.“

CXVII. Ridetur Platonis ratio Immortalitatis animorum.

Περὶ δὲ τῶν ἐν τοῖς διαλόγοις αὐτοῦ λελεγμένων, τί ἂν καὶ λέγοι τις; Ἡ μὲν γὰρ ψυχὴ ἡ διαπλατομένη ἀθάνατος ὑπ' αὐτοῦ, καὶ κατὰ τὴν ἀπόλυσιν χωριζομένη τοῦ σώματος, παρὰ πρώτῳ εἴρηται Ὁμήρῳ. οὗτος γὰρ εἶπεν, ὡς ἡ τοῦ Πατρόκλου ψυχὴ

— ἀΐδοσδε κατῆλθεν,

ὃν πότμον γοόωσα, λιποῦσ' ἀδρότητα καὶ ἥβην.

Εἰ δ' οὖν, καὶ Πλάτωνος, φήσειέν τις, εἶναι τὸν λόγον· οὐχ ὁρῶ, τίν' ἐσχήκαμεν ἀπ' αὐτοῦ ὠφέλειαν. ἐὰν γὰρ καὶ συγχωρήσῃ τις, μεβίστασθαι τὰς τῶν τετελευτηκότων ψυχὰς εἰς ἄλλας φύσεις, καὶ πρὸς τὸν μετεωρότερον καὶ καθαρώτερον ἀνέρχεσθαι τόπον, ἅτε κου-

dem adverſus Rempublicam meam ſimiliter adfectus ſum, atque pictor adverſus ſua opera: quae ſicut ille viva cupit videre ſeſeque moventia; ſic ego cives, quos informo.

117. De rebus vero, quas in Dialogis ſuis diſputavit, quid dicemus? Quam enim animam immortalem ille fingit, etiam poſtquam corpore ſoluta & ſeparata eſt, eamdem prior Homerus talem dixerat. Hic enim ait, *Patrocli animam*

— ad inferos deſcendiſſe,

ſuum lamentantem fatum, relicto vigore & iuventâ.

Quod ſi quis dixerit, at a Platone rationem etiam eſſe expoſitam; non video equidem, quid ſit quod per eum profecerimus. Nam ſi quis etiam conceſſerit, in alias ſedes migrare animas poſt diſceſſionem e corpore, & in ſublimiorem purioremque locum adſcendere, quippe

φότητος μετεχούσας, τί πλέον ἡμῖν; ὧν γὰρ [1] μήτ' ἀνάμνησίς ἐστιν οὔ ποτε ἦμεν, μήτ' αἴσθησις [2] εἰ καὶ τὸ σύνολον ἦμεν, τίς χάρις ταύτης τῆς ἀθανασίας; Οἱ δὲ συντεθέντες ὑπ' αὐτοῦ Νόμοι, καὶ τούτων ἔτι Eiusdem Respublica & Leges.
a πρότερον ἡ Πολιτεία, τί πεποιήκασιν; καί τοι γε ἔδει, καθάπερ τὸν Λυκοῦργον τοὺς Λακεδαιμονίους, καὶ τὸν Σόλωνα τοὺς Ἀθηναίους, καὶ τὸν Ζάλευκον τοὺς Θουρίους, καὶ αὐτὸν, εἴπερ ἦσαν χρήσιμοι, πεῖσαί τινας τῶν Ἑλλήνων αὐτοῖς χρήσασθαι. Νόμος γάρ ἐστιν, ὥς φησιν Ἀριστοτέλης, λόγος ὡρισμένος καθ' ὁμολογίαν κοινὴν πόλεως, μηνύων πῶς δεῖ πράττειν ἕκαστα. ὁ δὲ Πλάτων πῶς οὐκ ἄτοπος, τριῶν Ἀθηναίων γενομένων νομοθετῶν, τῶν γε δὴ γνωριζομένων, Δράκοντος, καὶ αὐτοῦ τοῦ Πλάτωνος, καὶ Σόλωνος, τῶν μὲν τοῖς
b νόμοις ἐμμένειν τοὺς πολίτας, τῶν δὲ τοῦ Πλάτωνος

1 ὅπου γὰρ malim cum Caſ. aut οἷς γὰρ &c. 2 αἴσθησις ᾖ, εἰ καὶ edd. cum ms. *A*.

quae leviores ſint, quid inde quaeſo lucramur? Quibus enim nulla manet recordatio ubi olim fuerimus, neque ſenſus ullus fuiſſe nos omnino, quaenam gratia eſt huiusmodi immortalitatis? Iam quae ab illo conditae ſunt Leges, atque ante illas etiam Respublica, quemnam habuere effectum? Atqui, ſi utiles fuerunt, oportebat eum perſuadere Graecis nonnullis civitatibus, ut illis uterentur; quemadmodum Lycurgus perſuaſerat Lacedaemoniis, & Solon Athenienſibus, & Zaleucus Thuriis. Eſt enim Lex, ut ait Ariſtoteles, communi civitatis conſenſu definita ratio, indicans quo pacto agere quaeque debeamus. Ineptum igitur quidni fateamur fuiſſe Platonem, quod, cum tres fuerint Athenienſium legumlatores, qui nomen aliquod ſint conſecuti, Dracon & Plato ipſe & Solon, illorum quidem leges obſervent cives, Plato-

καὶ προσκαταγελᾶν. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῆς Πολιτείας· εἰ καὶ πασῶν ἐστιν αὕτη βελτίων, μὴ πείθοι [1] δ' ἡμᾶς, τί πλέον; Ἔοικεν οὖν ὁ Πλάτων οὐ [2] τοῖς οὖσιν ἀνθρώποις γράψαι τοὺς νόμους, ἀλλὰ τοῖς ὑπ' αὐτοῦ διαπλαττομένοις, ὥστε καὶ ζητεῖσθαι τοὺς χρησομένους. ἐχρῆν οὖν, ἃ πείσει λέγων, [3] ταῦτα καὶ γράφειν· καὶ μὴ ταὐτὰ ποιεῖν τοῖς εὐχομένοις, ἀλλὰ τοῖς τῶν ἐνδεχομένων ἀντεχομένοις.

CXVIII. Nec in aliis scientiis excellit Plato.

Χωρὶς τοίνυν τούτων, εἴ τις διεξίοι τοὺς Τιμαίους αὐτοῦ καὶ τοὺς Γοργίας, καὶ τοὺς ἄλλους δὲ τοὺς c τοιούτους διαλόγους, ἐν οἷς καὶ περὶ τῶν ἐν τοῖς μαθήμασι διεξέρχεται, καὶ περὶ τῶν κατὰ φύσιν, καὶ περὶ πλειόνων ἄλλων, οὐδ' ὡς διὰ ταῦτα θαυμαστέος ἐστίν. ἔχει γάρ τις καὶ παρ' ἑτέρων ταῦτα λαβεῖν ἢ

1 μὴ πείθει edd. 2 μὴ τοῖς οὖσιν edd. 3 ἐχρῆν οὖ ἄπεισι λέγων ms. *A*. ἐχρῆν οὖν οὐ εἰσὶ λέγειν ταῦτα ms. *Ep*. Forſ. ἃ πείσει, λέγειν ταῦτα καὶ γρ.

nis vero ſpernant atque etiam derideant? Eadem eſt ratio Reipublicae illius: etiamſi enim melior haec eſſet omnibus aliis; ſi perſuadere nobis non poteſt eſſe meliorem, quid inde promovetur? Videtur igitur Plato non his, qui in rerum natura ſunt, hominibus leges ſcripſiſſe, ſed iis qui ab ipſo ficti ſunt; ita ut quaerendi ſint qui illis uti velint. Oportebat autem, quae perſuaderi poſſunt hominibus, ea dicere ſcribereque: nec ſimiliter eis facere qui ad preces & vota confugiunt; ſed his, qui, quae adſunt, ea capeſſunt.

118. Sed, ut haec mittamus, ſi quis Timaeos illius & Gorgias perlegerit, atque etiam reliquos eius generis dialogos, in quibus res tractat ad ſcientias pertinentes, & ad rerum naturam, multaque alia; ne ſic quidem ob iſta admirabilis admodum videri debet. Poſſunt enim ea-

βέλτιον λεχθέντα, ἢ μὴ χεῖρον. καὶ γὰρ Θεόπομπος ὁ Χῖος, ἐν τῷ Κατὰ τῆς Πλατωνος Διατριβῆς· „Τοὺς πολλοὺς, φησὶν, τῶν διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευδεῖς ἄν τις εὕροι· ἀλλοτρίους δὲ τοὺς πλείους, ὄντας d ἐκ τῶν Ἀριστίππου διατριβῶν, ἐνίους δὲ καὶκ [1] τῶν Ἀντισθένους, πολλοὺς δὲ καὶκ τῶν Βρύσωνος τοῦ Ἡρακλεώτου.“ Ἀλλὰ τὰ κατὰ τὸν ἄνθρωπον ἅπερ ἐπαγγέλλεται, καὶ ἡμεῖς ζητοῦμεν ἐκ τῶν ἐκείνου λόγων, ὅπερ [2] οὐχ εὑρίσκομεν· ἀλλὰ συμπόσια μὲν, καὶ λόγους ὑπὲρ ἔρωτος εἰρημένους, καὶ μάλα ἀπρεπεῖς, οὓς καταφρονῶν τῶν ἀναγνωσομένων συνέθηκεν, ὥσπερ καὶ οἱ πολλοὶ τῶν μαθητῶν αὐτοῦ τυραννικοί τινες καὶ διάβολοι γενόμενοι.

CXIX. Platonis discipuli pravi & tyrannici.

Εὔφραιος [3] μὲν γὰρ παρὰ Περδίκκᾳ τῷ βασιe λεῖ διατρίβων ἐν Μακεδονίᾳ, οὐχ ἧττον αὐτοῦ ἐβασίλευε, Φαῦλος ὢν καὶ διάβολος. ὃς οὕτω ψυχρῶς

1 καὶ τῶν Ἀντισθ. edd. 2 Forſ. οὔπερ. 3 Εὔφρατος vulgo h. l.

dem & ab aliis accipi aut melius dicta aut certe non deterius. Nam & Theopompus Chius in libro contra Platonis Scholam: *Plerosque*, ait, *Platonis dialogos inutiles atque mendaces invenias: maioremque partem alienos, desumtos partim ex Aristippi Disputationibus, nonnullos ex Antisthenis, multos vero etiam ex Brysonis Heracleotae.* Iam quae de homine (& praestanti eius naturâ) profiterur, ea nos quoque in illius dialogis quaerimus, nec vero ibi reperimus: sed convivia quidem reperimus, & sermones super amore habitos, eosque indecoros admodum, quos ille spernens lectores composuit: quemadmodum etiam plurimi ex illius discipulis tyrannico quodam ingenio fuere & calumniatores.

119. Nam *Euphraeus* quidem, cum apud Perdiccam regem in Macedoniâ versaretur, non minus quam ille regnavit, & pravus & calumniator fuit: qui regis soda-

συνέταξε τὴν ἑταιρίαν τοῦ βασιλέως, ὥστε οὐκ ἐξῆν τοῦ συσσιτίου μετασχεῖν, εἰ μή τις ἐπίσταιτο [1] τὸ γεωμετρεῖν ἢ τὸ Φιλοσοφεῖν. ὅθεν Φιλίππου τὴν ἀρχὴν παραλαβόντος, Παρμενίων αὐτὸν ἐν Ὠρεῷ λαβὼν ἀπέκτεινεν, ὥς φησι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν. καὶ Κάλλιππος δὲ ὁ Ἀθηναῖος, μαθητὴς καὶ αὐτὸς Πλάτωνος, ἑταῖρος Δίωνος καὶ συμμαθητὴς γενόμενος, καὶ συναποδημήσας αὐτῷ εἰς Συρακούσας, f ὁρῶν ἤδη τὸν Δίωνα ἐξιδιοποιούμενον τὴν μοναρχίαν, ἀποκτείνας αὐτὸν, καὶ αὐτὸς τυραννεῖν ἐπιχειρήσας ἐπεσφάγη. Εὐάγων [2] δὲ ὁ Λαμψακηνὸς, ὥς φησιν Εὐρύπυλος, καὶ Δικαιοκλῆς ὁ Κνίδιος ἐν ἐνενηκοστῷ [3] καὶ πρώτῳ Διατριβῶν, ἔτι δὲ [4] Δημοχάρης ὁ ῥήτωρ ἐν τῷ Ὑπὲρ Σοφοκλέους πρὸς Φίλωνα, δανείσας τῇ πατρίδι ἀργύριον ἐπὶ ἐνεχύρῳ τῇ Ἀκροπόλει, καὶ ἀφυ-

1 ἐπίσταται edd. 2 Εὐαίων apud Laërt. 3 ἐν ἐνηκοστῷ Ms. ἐν εἰκοστῷ edd. 4 ἔτι δὲ καὶ Δημ. edd.

litatem ita frigide ordinavit, ut nemo ad convivium eius admitteretur, nisi qui Geometriam aut Philosophiam calleret. Quare postquam Philippus regno potitus est, Parmenio Orei eum nactus occidit; ut Carystius narrat in Commentariis Historicis. *Callippus* vero *Athenienſis*, qui & ipse discipulus Platonis fuerat, familiaris Dionis & condiscipulus; Syracusas cum Dione profectus, quum eum videret regnum iam sibi vindicare, illum interfecit; mox vero ipse, cum ad se rapere tyrannidem esset adgressus, occisus est. *Euagon* (sive, *Euaeon*) vero *Lampſacenus*, ut tradunt Eurypylus, & Dicaeocles Cnidius nonagesimo primo Commentationum libro, item Demochares orator in libro pro Sophocle contra Philonem, cum patriae civitati pecuniam foenori dedisset, oppignerata arce, ubi iusto tempore pecunia ei reddita non est, de ca-

στερήσας,[1] τυραννεῖν ἐβουλεύετο, ἕως συνδραμόντες ἐπ' αὐτὸν οἱ Λαμψακηνοὶ, καὶ τὰ χρήματα ἀποδιδόντες,
a ἐξέβαλον. Τίμαιος[2] δ' ὁ Κυζικηνὸς, ὡς ὁ αὐτὸς Δημοχάρης φησὶ, χρήματα καὶ σῖτον ἐπιδοὺς τοῖς πολίταις, καὶ διὰ ταῦτα πιστευθεὶς εἶναι χρηστὸς παρὰ τοῖς Κυζικηνοῖς, μικρὸν ἐπισχὼν χρόνον, ἐπέβετο τῇ πολιτείᾳ[3] δι' Ἀριδαίου. κριθεὶς δὲ, καὶ ἁλοὺς, καὶ ἀδοξήσας, ἐν μὲν τῇ πόλει ἐπέμενε παλαιὸς καὶ γεγηρακὼς, ἀτίμως δὲ καὶ ἀδόξως διαζῶν. Τοιοῦτοι δ' εἰσὶ καὶ νῦν τῶν Ἀκαδημαϊκῶν τινες, ἀνοσίως καὶ ἀδόξως βιοῦντες. χρημάτων γὰρ ἐξ ἀσεβείας καὶ παρὰ
b φύσιν κυριεύσαντες διὰ γοητείαν νῦν εἰσι περίβλεπτοι· ὥσπερ καὶ Χαίρων ὁ Πελληνεὺς, ὃς οὐ μόνον Πλάτωνι ἐσχόλακεν, ἀλλὰ καὶ Ξενοκράτει. καὶ οὗτος οὖν τῆς πατρίδος πικρῶς τυραννήσας, οὐ μόνον τοὺς ἀρί-

1 ἀποστερήσας edd. Forſ. ἀφυστερησάσης. 2 Τιμέλαος apud Laërt. 3 τῇ πατρίδι ms. *Ep.*

peſſenda tyrannide conſilium iniit; donec adverſus eum concurſu facto *Lampſaceni*, repraeſentatâ pecuniâ, arce eum eiecerunt. *Timaeus Cyzicenus*, ut idem ait Demochares, pecuniam & frumentum largitus civibus, eoque habitus vir probus apud Cyzicenos, brevi poſt tempore evertere rempublicam per Aridaeum molitus eſt. Quare in iudicium vocatus, convictusque, infamiâ notatus eſt: & in civitate quidem permanſit ſenex & annis gravis, ſed inglorius & infamis vitam traduxit. Tales etiam nunc ſunt Academicorum nonnulli, inhoneſtam vitam & ſceleratam agentes. Nam pecuniâ ex impietate & praeter naturam ſuis praeſtigiis collectâ nunc ſunt conſpicui: quemadmodum & *Chaeron* ille *Pellenenſis*, qui non modo Platoni operam dederat, ſed & Xenocrati. Nam hic quoque acerbâ tyrannide patriam pre-

στους τῶν πολιτῶν ἐξήλασεν, ἀλλὰ καὶ τοῖς τούτων δούλοις τὰ κτήματα [1] τῶν δεσποτῶν χαρισάμενος, καὶ τὰς ἐκείνων γυναῖκας συνῴκισε πρὸς γάμου κοινωνίαν· ταῦτ' ὠφελεθεὶς ἐκ τῆς καλῆς Πολιτείας καὶ τῶν παρανόμων Νόμων.

CXX.

Platonicos ridet Ephippus comicus.

Διὸ καὶ Ἔφιππος ὁ κωμῳδιοποιὸς ἐν Ναυάγῳ Πλάτωνά τε αὐτὸν, καὶ τῶν γνωρίμων τινὰς κεκωμῴδηκεν, ὡς καὶ ἐπ' ἀργυρίῳ συκοφαντοῦντας, ἐμφαίνων ὅτι καὶ πολυτελῶς ἠσκοῦντο, καὶ ὅτι τῆς εὐμορφίας τῶν καθ' ἡμᾶς ἀσελγῶν πλείονα πρόνοιαν ἐποιοῦντο. λέγει δὲ οὕτως·

Ἐπεὶ [2] καταστὰς εὔστοχος νεανίας,
τῶν ἐξ Ἀκαδημίας τις ὑπὸ Πλάτωνα καὶ
Βρύσωνα θρασυμαχειοληψικερμάτω, [3]
πληγεὶς ἀνάγκῃ, ληψολιγομίσθῳ [4] τέχνῃ

1 χρήματα edd. 2 Forſ. Ἔπειτα. 3 Vulgo Βρύσων ὁ θρασυμαχειοληψικερμάτων. 4 ληψιγομισθῳ edd. λιψιγομίσθῳ Ms.

mens, non modo civium optimos civitate eiecit, verum etiam ſervos illorum bonis herorum donatos matrimonio cum eorumdem uxoribus iunxit: hoc ſcilicet fructu capto ex praeclara illa Platonica Republica & ex Legibus illis naturae leges evertentibus.

120. Quare etiam Ephippus Comicus, in Naufrago, cum ipſum Platonem, tum nonnullos ex eius familiaribus traduxit, ut homines lucri cauſſa calumniantes; ſimul ſignificans pretioſe ornari ſolitos eſſe & de formâ corporis magis fuiſſe ſolicitos, quam ii qui apud nos laſcivi habentur. Verba eius haec ſunt:

Deinde ſurgens aliquis ingenioſus iuvenis
ex Academiâ, Platonis alumnus
Bryſonisque traſymachorum – lucripetarum,
neceſſitate adactus, arte levem – mercedem – aucupante

d συνών τισιν [1] οὐκ ἄσκεπτα δυνάμενος λέγειν·
εὖ μὲν μαχαίρᾳ ξύστ' ἔχων τριχώματα,
εὖ δ' ὑποκαθιεὶς ἄτομα [2] πώγωνος βάθη,
εὖ δ' ἐν πεδίλῳ πόδα [3] τιθεὶς, ὑποξύων [4]
κνήμας ἱμάντων ἰσομέτροις ἑλίγμασιν, [5]
ὄγκῳ τε χλανίδος εὖ τεθωρακισμένος,
σχῆμ' ἀξιόχρεων ἐπικαθεὶς βακτηρίᾳ,
ἀλλότριον, οὐκ οἰκεῖον, ὡς ἐμοὶ δοκεῖ,
e ἔλεξεν· „Ἄνδρες τῆς Ἀθηναίων χθονός.“ . . .
Μέχρι τούτων δὲ [6] ἡμῖν πεπεραιώσθω [7] καὶ ἥδε ἡ συναγωγὴ, Φίλτατε Τιμόκρατες. ἐξῆς δὲ ἐροῦμεν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων.

1 συνάν τις vulgo. συνοῦσιν coni. Coray. 2 ὑποκαθιεῖσα τἀμὰ edd. 3 πολλὰ vulgo. 4 Vulgo ὑπὸ ξυρὸν, & deinde κνήμης ἱματίων ἰσομ. ἑλίγ. 5 εἰλίγμασι Grot. 6 Μέχρι τούτων καὶ ἡμῖν vulgo. 7 πεπαιράσθω vulgo.

in hominum congreſſu haud inconſulte valens dicere:
pulcre novaculâ raſos capillos habens,
pulcre promittens intonſam barbae longitudinem,
pulcre in calceo pedem ponens, tibiam inferne
acuens corrigiarum gyris aequidiſtantibus,
ſuperbâque chlanide pulcre loricatus,
habitum gravem innitens baculo,
alienum, non proprium, ut mihi videtur,
dixit: » O viri terrae Atticae! « . . .

Sed hîc finem imponamus huic quoque disputationi, cariſſime Timocrates. Proxime vero de iis ſumus dicturi, quos luxus & mollities famoſos reddidit.

ΑΘΗΝΑΙΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

I. Argumentum huius libri.

Ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς, κατὰ τὸν Ἀλέξιδος Τυνδάρεων, ἑταῖρε Τιμόκρατες. p. 510 a

Κἀκεῖ γὰρ ἄν τις ἐπὶ τὸ δεῖπνον ἕνα καλῇ,
πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι, καὶ δέκα
ἅρματα, συνωρίδες τε [1] πεντεκαίδεκα·
τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν,
ὥστ' ἦν κράτιστον μηδὲ καλέσαι μηδένα.

Καὶμοὶ δ' ἦν κράτιστον σιωπᾶν, καὶ μὴ ἐπὶ τοσούτοις

1 τε deest msstis.

ATHENAEI DEIPNOSOPHISTARUM

LIBER DUODECIMUS.

VIDERIS tu mihi homo Cyrenaeus esse, mi Timocrates, secundum Alexidis Tyndareum.

Nam & ibi si quis unum ad coenam vocavit,
adsunt octodecim alii, & decem
vehicula, & synorides quindecim;
atque his omnibus oportet cibos ingerere:
optimum ut sit, vocare neminem.

Et mihi quoque optimum erat tacere, nec tot dictis alia

b προειρημένοις ἕτερα προστιθέναι· ἀλλ' ἐπεὶ πάνυ λιπαρῶς ἡμᾶς ἀπαιτεῖς καὶ τὸν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων λόγον, καὶ τῆς τούτων ἡδυπαθείας.

II. Voluptatis cum virtute contentio.

Ἡ γὰρ ἀπόλαυσις δήπου μετ' ἐπιθυμίας πρῶτον, ἔπειτα μεθ' ἡδονῆς. καί τοι Σοφοκλῆς γε ὁ ποιητὴς, τῶν ἀπολαυστικῶν γε[1] εἷς ὤν, ἵνα μὴ κατηγορῇ τοῦ γήρως, εἰς σωφροσύνην ἔθετο τὴν ἀσθένειαν αὐτοῦ τὴν περὶ τὰς τῶν ἀφροδισίων ἀπολαύσεις, φήσας ἀσμένως ἀπηλλάχθαι αὐτῶν ὥσπερ τινὸς δεσπότου. Ἐγὼ δέ φημι, c καὶ τὴν τοῦ Πάριδος κρίσιν ὑπὸ τῶν παλαιοτέρων πεποιῆσθαι ἡδονῆς πρὸς ἀρετὴν οὖσαν σύγκρισιν. προκριθείσης γοῦν τῆς Ἀφροδίτης, αὕτη δ' ἐστὶν ἡ[2] ἡδονὴ, πάντα συνεταράχθη. καί μοι δοκεῖ καὶ ὁ καλὸς ἡμῶν Ξενοφῶν τὸν περὶ τὸν Ἡρακλέα καὶ τὴν ἀρετὴν μῦθον ἐντεῦθεν πεπλακέναι. κατὰ γὰρ τὸν Ἐμπεδοκλέα,

1 Ignorat posterius γε ms. *Ep.* 2 Deest artic. edd. & ms. *A.*

adiicere: nisi quod tu sermonem etiam de his qui luxuriae nomine famam sunt consecuti, de eorumque mollitie, a me obnixe admodum expostulas.

2. Nam fruitio videlicet primum ad explendum adpetitum pertinet, deinde vero ad voluptatem. Et Sophocles quidem poëta, cum unus fuisset ex iis qui voluptatem sectantur, ne accusaret senectutem, impotentiam veneris qua languebat, temperantiam interpretatus est; dicens, *libenter se a rebus venereis, tamquam ab aliquo* (furioso) *domino profugisse.* Ego vero autumo, etiam Paridis iudicium a veteribus fictum esse tamquam voluptatis cum virtute contentionem. Postquam igitur praelata Venus est, (ea autem est voluptas,) turbata sunt omnia. Ac videtur mihi elegans noster Xenophon suam de Hercule & Virtute fabulam indidem effinxisse. Nam, secundum Empedoclem,

Οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς, οὐδὲ κυδοιμὸς,
οὐδὲ Ζεὺς βασιλεὺς, οὐδὲ Κρόνος, οὐδὲ Ποσειδῶν, [1] d
ἀλλὰ Κύπρις βασίλεια.
τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκονται,
γραπτοῖς δὲ ζώοισι, μύροισί τε δαιδαλεόδμοις, 5
σμύρνης τ' ἀκρήτου θυσίαις λιβάνου τε θυώδους,
ξανθῶν τε σπονδὰς μελίτων [2] ῥίπτοντες ἐς οὖδας.

καὶ Μένανδρος δ', ἐν Κιθαριστῇ, περί τινος μουσικευομένου λέγων, [3] φησί·

— Φιλόμουσον εἶν' αὐτὸν [4] πάνυ, a
ἀκούσματ' εἰς τρυφήν τε παιδεύεσθ' ἀεί.

III. Καί τοι τινὲς φασὶ, κατὰ φύσιν εἶναι τὴν ἡδονὴν, ἐκ τοῦ πάντα ζῶα δεδουλῶσθαι ταύτῃ· ὡς εἴπερ [5] οὐχὶ καὶ δειλίας καὶ φόβου καὶ τῶν ἄλλων παθημάτων κοινῶς μὲν ἐν ἅπασιν ὄντων, παρὰ δὲ τοῖς λογισ-

Voluptas fortes enervat.

1 οὐδ' ὁ Κρον. οὐδ' ὁ Ποσ. apud Porphyr. 2 ξουθῶν τε σπονδὰς μελιτῶν corr. Caſaub. ex Porphyr. 3 Deeſt λέγων edd. 4 εἶναι αὐτὸν vulgo. 5 ὥσπερ edd. cum ms. *A*.

Non Deus armorum Mars illis, nullaque bella,
ſed nec Neptunus, nec Iupiter, aut Saturnus:
at regina Venus.
Quam ſacris ſtatuis pictisque animalibus olim
placabant, varie unguentis redolentibus, atque
ſincerae myrrhae ſuffitu ac thuris odore,
iactique ad terram flavi libamine mellis.

Et Menander in Citharistâ, de quodam muſices ſtudioſo loquens, ait:

— *Philomuſum eſſe eum admodum,*
& quae auribus voluptatem adferant diſcere ſemper.

3. Dicunt quidem nonnulli, ſecundum naturam eſſe voluptatem, quoniam ei ſerviant animalia cuncta. Quaſi vero non & ignavia & metus & aliae adfectiones perinde in omnibus eſſent; quae tamen improbantur ab his

μῷ χρωμένοις ἀποδοκιμαζομένων. Τὸ οὖν ἡδονὰς διώκειν προπετῶς, λύπας ἐστὶ θηρεύειν. διόπερ Ὅμηρος ἐπονείδιστον βουλόμενος ποιῆσαι τὴν ἡδονὴν, καὶ τῶν θεῶν φησι τοὺς μεγίστους οὐδὲν ὑπὸ τῆς σφετέρας
b ὠφελεῖσθαι δυνάμεως, ἀλλὰ τὰ μέγιστα βλάπτεσθαι, προενεχθέντας ὑπ' αὐτῆς. ὅσα μὲν γὰρ ἀγρυπνῶν ὁ Ζεὺς ἐφρόντιζεν [1] ὑπὲρ τῶν Τρώων, ταῦτ' ἀπώλεσε μεθ' ἡμέραν ὑφ' ἡδονῆς κρατηθείς. καὶ ὁ Ἄρης, ἀλκιμώτατος ὢν, ὑπὸ τοῦ ἀσθενεστάτου Ἡφαίστου συνεποδίσθη, καὶ ὤφλεν [2] αἰσχύνην καὶ ζημίαν, ἐκδοὺς ἑαυτὸν ἔρωσιν ἀλογίστοις. φησὶ γοῦν πρὸς τοὺς θεοὺς, ὅτ' ἦλθον αὐτὸν θεασόμενοι δεδεμένον·

Οὐκ ἀρετᾶ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν·
c ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
χωλὸς ἐὼν τέχνῃσι· τὸ [3] καὶ ζωάγρι' [4] ὀφέλλει.

1 ἐφρόντισεν edd. 2 ὤφλεν edd. 3 τέχνη· τῷ καὶ edd. 4 μοιχάγρι' apud Hom.

qui ratione utuntur. Igitur voluptates cupidius sectari, est molestias & dolores venari. Quare Homerus probro dignam esse voluptatem ostensurus, maximis etiam Deorum nihil prodesse, ait, suam potentiam, sed gravissima damna eosdem accipere, si ab illa se abripi patiantur. Nam, quae (noctu) Iupiter vigilans curabat Troianorum caussâ, ea medio die perdidit, voluptatis vi subactus. Et Mars, Deorum fortissimus, ab infirmissimo Vulcano colligatus est, & probro noxâque multatus, cum se illicitis amoribus tradidisset. Dicit igitur Diis, cum vinctum spectaturi venissent:

Non succedunt improba facta: velocem adsequitur tardus:
sicut nunc Vulcanus, quamvis tardus, Martem cepit,
velocissimum Deorum Olympum tenentium,
claudus ille, artificio. Quare capturae poenam ei debet.

Οὐδεὶς δὲ λέγει τὸν Ἀριστείδου βίον ἡδύν, ἀλλὰ τὸν Σμινδυρίδου τοῦ Συβαρίτου, καὶ τὸν Σαρδαναπάλλου. [1] καί τοι κατά γε τὴν δόξαν, φησὶν ἐν τῷ Περὶ Ἡδονῆς Θεόφραστος, οὐχ [2] ὁμοίως λαμπρός ἐστιν· ἀλλ' οὐκ ἐτρύφησεν, ὥσπερ ἐκεῖνοι. οὐδὲ τὸν Ἀγησιλάου τοῦ Λακεδαιμονίων βασιλέως· ἀλλὰ μᾶλλον, εἰ ἔτυχεν, τὸν Ἀνάνιος, οὕτως [3] ἀφράτου κατὰ δόξαν ὄντος. οὐδὲ τὸν τῶν ἡμιθέων τῶν ἐπὶ Τροίας· ἀλλὰ πολλῷ μᾶλλον τῶν νῦν. καὶ τοῦτ' εἰκότως. ὁ μὲν γὰρ, ἀκατάσκευος, καὶ καθάπερ ἀνάρτυτος [4] ἦν, οὔτ' ἐπιμιξίας οὔσης, οὔτε τῶν τεχνῶν διηκριβωμένων· ὁ δὲ, πᾶσιν ἐξηρτυμένος πρὸς ῥαστώνην καὶ πρὸς ἀπόλαυσιν, καὶ πρὸς τὰς ἄλλας διαγωγάς.

IV. Πλάτων δὲ ἐν τῷ Φιλήβῳ φησίν· „Ἡδονὴ μὲν

1 Σαρδαναπάλου edd. & ms. *Ep.* 2 Delet negationem Dalec. 3 ὄντως forſ. 4 ἀτεύρετος vulgo.

Nemo vero Ariſtidis vitam *ſuavem* aut *voluptariam* (ἡδύν: unde nomen ἡδονὴ, *voluptas*) adpellat; ſed Smindyridae Sybaritae, & Sardanapalli: quamquam quod ad gloriam adtinet, ut ait Theophraſtus in libro de Voluptate, ita ſplendida illa fuit, ut cum horum vita non poſſit conferri: ſed mollitiei non ſtuduit ille, ſicuti hi. Nec Ageſilai vitae, regis Spartanorum, nomen illud tribuerit quisquam: ſed potius vitae quam geſſit Ananis; homo, ſi gloriam ſpectes, obſcuriſſimus. Nec rurſus heroum ad Troiam vitam *ſuavem mollemque* vocaveris; ſed multo magis eam, quam noſtra aetate ſectantur homines. Nam illorum vita absque adparatu, & (ut ita dicam) absque condimento fuit, cum nec dum commercium exiſteret, nec artes ſubtilius excultae: at horum vita omnibus rebus condita, quae ad mollitiem & ad voluptatum fruitionem ad omneque oblectationis genus ſpectant.

4. Plato vero in Philebo ait: »Voluptate quidem ni-

γὰρ ἁπάντων ἀλαζονίστατον. [1] ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὰ ἀφροδίσια, ἃ δὴ μέγιστα [2] δοκοῦσιν εἶναι, καὶ τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν· ὥσπερ, καθάπερ παίδων, τῶν ἡδονῶν οὐδὲ τὸν λογισμὸν [3] κεκτημένων." Ἐν δὲ τῷ ὀγδόῳ τῆς Πολιτείας ὁ αὐτὸς Πλάτων πρότερος ὑπέθεικε τὸ ὑπὸ τῶν Ἐπικουρείων θρυλλούμενον, ὅτι τῶν [4] ἐπιθυμιῶν αἱ μὲν, εἰσὶ φυσικαὶ μὲν, οὐκ ἀναγκαῖαι δέ· αἱ δὲ, οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι· γράφων οὕτως· „Ἆρ' οὖν οὐχ ἡ τοῦ φαγεῖν μέχρις [5] ὑγιείας καὶ εὐεξίας, καὶ αὐτοῦ [6] σίτου καὶ ὄψου, ἀναγκαίως ἂν εἴη; [7] [Οἶμαι.] [8] Ἡ μέν γε που τοῦ σίτου κατ' ἀμφότερα ἀναγκαία, ἥ τε ὠφέλιμος, ἥ τε παῦσαι πεινῶντας [9] δυνατή. Ναί. Ἡ δὲ ὄψου, εἴ πῃ τινὰ ὠφέλειαν πρὸς εὐε-

Plato de Voluptate & Cupiditatibus.

1 ἀλαζονέστατον ed. Baſ. & Caſ. 2 Rectius apud Plat. αἳ δὴ μέγισται. 3 νοῦν οὐδὲ τὸν ὀλίγιστον apud Plat. 4 τῶν μὲν ἐπιθ. αἱ μὲν edd. 5 μέχρι apud Plat. 6 καὶ τοῦ σίτου edd. 7 Aut ἔχῃ videtur leg. aut τῶν ἀναγκαίων ἂν εἴη. 8 Deeſt verbum ed. Ven. & Ms. 9 ζῶντα ed. Baſ. & Caſaub. ζῶντας Ms.

hil eſt inſolentius. Et, ut fert fama, in venereis voluptatibus, quae videntur eſſe maximae omnium, etiam periurium veniam impetravit a Diis: quippe quoniam, ut pueri, ſic voluptates non habeant rationis uſum. « Octavo vero libro De Republica idem Plato prior docuit illud deinde ab Epicureis decantatum, cupiditatum alias naturales eſſe quidem, ſed non neceſſarias; alias vero nec naturales, nec neceſſarias. Verba eius haec ſunt: »Nonne igitur comedendi adpetentia, & ipſius cibi & obſonii, quoad pertinet ad ſalubritatem & ad bonam corporis habitudinem, neceſſaria eſt? [Puto equidem.] Certe cibi uſus duplici de cauſſa neceſſarius, & quia utilis eſt, & quia ad ſedandam valet famem. Ita eſt. Obſonii vero uſus, quatenus quidem aliquid ad bonam

ξίαν παρέχεται. Πάνυ μὲν οὖν. Τί δαί; [1] ἡ πέρα τούτων καὶ ἀλλοίων ἐδεσμάτων ἢ τοιούτων [2] ἐπιθυμία, δυνατὴ δὲ κολαζομένη ἐκ νέων [3] ἀπαλλάττεσθαι, καὶ βλαβερὰ μὲν σώματι, βλαβερὰ δὲ ψυχῇ πρός τε a
Φρόνησιν, καὶ πρὸς τὸ σωΦρονεῖν, ἆρά γε ὀρθῶς οὐκ ἀναγκαία [4] ἂν καλοῖτο; Ὀρθότατα μὲν οὖν."

V.

Heraclides Ponticus, voluptatis patronus.

Ἡρακλείδης δὲ ὁ Ποντικὸς, ἐν τῷ περὶ Ἡδονῆς, τάδε λέγει· „Οἱ τύραννοι καὶ οἱ βασιλεῖς, τῶν ἀγαθῶν ὄντες κύριοι, καὶ πάντων εἰληΦότες πεῖραν, τὴν ἡδονὴν προκρίνουσι, μεγαλοψυχοτέρας ποιούσης τῆς ἡδονῆς τὰς τῶν ἀνθρώπων Φύσεις. ἅπαντες γοῦν οἱ τὴν ἡδονὴν τιμῶντες, καὶ τρυΦᾶν προῃρημένοι, μεγαλόψυχοι καὶ μεγαλοπρεπεῖς εἰσίν· ὡς Πέρσαι, καὶ Μῆδοι. μάλιστα γὰρ τῶν ἄλλων ἀνθρώπων τὴν ἡδονὴν οὗ- b
τοι καὶ τὸ τρυΦᾶν τιμῶσι, ἀνδρειότατοι καὶ μεγαλο-

1 Τί δέ; apud Plat. 2 ἢ τούτων apud Plat. 3 In ed. Baſ. & Caſ. ex Plat. inſeritur καὶ παιδευομένη ἐκ τῶν πολλῶν. 4 ὀρθῶς καὶ ἀναγκ. ed. Ven. cum Ms.

corporis habitudinem confert. Utique. Quid vero? quae ultra haec progreditur & aliorum praeter talia edulio-rum adpetitio; quae, ſi inde a prima aetate coërceatur, removeri poteſt, quae autem & corpori nocet, & animo obeſt cum ad prudentiam tum ad temperantiam, recte-ne haec minime neceſſaria dicetur? Rectiſſime vero. «

5. Heraclides vero Ponticus, in libro de Voluptate, haec ſcribit: »Tyranni & reges, in quorum poteſtate ſunt bona, & qui omnium experimentum ceperunt, voluptatem praeferunt, ut quae hominis naturam animoſiorem reddat & excelſiorem. Voluptati certe quicumque ſtudent, & luxurioſum vitae genus ſequuntur, magnanimi ſunt & magnifici; ut Perſae, & Medi. Hi enim cum omnium hominum maxime voluptates & delicias

ψυχότατοι τῶν βαρβάρων ὄντες. Ἔστι γὰρ τὸ μὲν ἥδεσθαι καὶ τὸ τρυφᾶν, ἐλευθέρων· ἀνίησι γὰρ τὰς ψυχὰς, καὶ αὔξει. τὸ δὲ πονεῖν, δούλων καὶ ταπεινῶν· διότι καὶ συστέλλονται οὗτοι καὶ τὰς φύσεις. Καὶ ἡ Ἀθηναίων πόλις, ἕως ἐτρύφα, μεγίστη τε ἦν, καὶ μεγαλοψυχοτάτους ἔτρεφεν ἄνδρας. ἀλουργῆ μὲν γὰρ ἠμπίσχοντο ἱμάτια, ποικίλους δ' ὑπέδυνον χιτῶνας·
c κορύμβους δ' ἀναδούμενοι τῶν τριχῶν, χρυσοῦς τέττιγας περὶ τὸ μέτωπον καὶ τὰς κόμας ἐφόρουν· ὁκλαδίας τε αὐτοῖς δίφρους ἔφερον οἱ παῖδες, ἵνα μὴ καθίζοιεν ὡς ἔτυχεν. καὶ οὗτοι ἦσαν οἱ τοιοῦτοι, οἱ τὴν ἐν Μαραθῶνι νικήσαντες μάχην, καὶ μόνοι τὴν τῆς Ἀσίας ἁπάσης δύναμιν χειρωσάμενοι. Καὶ οἱ φρονιμώτατοι δὲ, φησὶν, καὶ μεγίστην δόξαν ἐπὶ σοφίᾳ ἔχοντες, μέγιστον ἀγαθὸν τὴν ἡδονὴν εἶναι νομίζουσι. Σιμωνίδης μὲν, οὑτωσὶ λέγων·

colant, omnium barbarorum fortiſſimi ſunt animoque excelſiſſimo. Eſt enim oblectari & in luxu vivere, hominum liberorum: liberat enim animos curis, & auget. Laborioſam vero agere vitam, ſervorum eſt & hominum humilium: itaque horum ingenia animique contrahuntur. Et Athenienſium civitas, quamdiu luxui indulſit, fuit florentiſſima, aluitque maximi viros animi. Purpurea enim amicti pallia, ſubtus variegatas tunicas erant induti: capillis in corymborum formam colligatis, aureas cicadas in fronte & in comis geſtabant: & plicatiles ſellas pediſſequi circumferebant pueri, ne temere utcumque fors ferret ſederent. Et hi tales erant illi, qui ad Marathonem victoriam reportarunt, & ſoli totius Aſiae copias ſubegerunt. Atque etiam prudentiſſimi viri, ait, & qui ſapientiae nomine maximam famam ſunt conſecuti, voluptatem ſummum bonum eſſe cenſuerunt. Simonides quidem, cum ſic ait:

Τίς γὰρ ἀδονᾶς ἄτερ
θνητῶν [1] βίος πόθεινος,
ἢ ποία τυραννίς;
τᾶς δ' ἄτερ οὐδὲ d
θεῶν ζηλωτὸς αἰών.

Πίνδαρος, παραινῶν Ἱέρωνι τῷ Συρακουσίων ἄρχοντι·

Μηδὲ ἀμαύρου (φησὶ) τέρψιν ἐν βίῳ·
πολύ τοι [2] φέριστον ἀνδρὶ τερπνὸς αἰών.

καὶ Ὅμηρος δὲ τὴν εὐφροσύνην καὶ τὸ εὐφραίνεσθαι „τέλος φησὶν εἶναι χαριέστερον, ὅταν δαιτυμόνες μὲν ἀοιδοῦ ἀκουαζωνται, παρὰ δὲ πλήθωσι τράπεζαι." τοὺς δὲ θεούς φησιν εἶναι „ῥεῖα ζώοντας·" τὸ δὲ ῥεῖα, ἐστὶν ἀπόνως· ὥσπερ ἐνδεικνύμενος, ὅτι μέγιστόν ἐστι τῶν κακῶν ἡ περὶ τὸ ζῆν ταλαιπωρία καὶ ὁ πόνος."

VI. Διόπερ καὶ Μεγακλείδης ἐπιτιμᾷ τοῖς μεθ' e
Ὅμηρον καὶ Ἡσίοδον ποιηταῖς, ὅσοι περὶ Ἡρακλέους

1 Θνατῶν scripserit Simonides: & dein ζαλατός. 2 πολύ τε ms. *Ep.*

Quae enim voluptate carens
optabilis vita mortalium,
quaeve tyrannis?
Absque illa ne Deorum quidem
desiderabilis vita.

Pindarus, Hieronem Syracusarum regem cohortans, ait:

Neque obscures iucunditatem in vita:
longe homini optimum est, vita iucunda.

Atque etiam Homerus *gratissimam rem omnium* ait *esse laetitiam & oblectationem, ubi cantorem audiunt convivae, plenaeque adsunt mensae.* Idem, *Deos*, ait, *facile vivere:* sonat autem *facile, sine labore:* quo significat, summum malum esse vitam molestiae laborisque plenam. «

6. Quare etiam Megaclides reprehendit poëtas illos Homero & Hesiodo posteriores, qui de Hercule dixe-

εἰρήκασιν, ὡς στρατοπέδων ἡγεῖτο, καὶ πόλεις ἥρει· ὃς μεθ' ἡδονῆς πλείστης τὸν μετ' ἀνθρώπων βίον διετέλεσε, πλείστας μὲν γυναῖκας γήμας, ἐκ πλείστων δὲ λάθρα παρθένων παιδοποιησάμενος. εἶποι γὰρ ἄν τις πρὸς τοὺς οὐ [1] ταῦτα παραδεχομένους· Πόθεν, ὦ οὗτοι, τὴν περὶ τὰς ἑδωδὰς αὐτῷ σπουδὴν ἀνατίθετε; ἢ, πόθεν παρῆλθεν εἰς τοὺς ἀνθρώπους τὸ τῆς λοιβαίας κύλικος f μηδὲν ὑπολείπεσθαι, εἰ μὴ τὰ περὶ τὰς ἡδονὰς ἐδοκίμαζεν; ἢ, διὰ τί τὰ θερμὰ λουτρὰ τὰ φαινόμενα ἐκ τῆς γῆς πάντες Ἡρακλέους φασὶν εἶναι ἱερά; ἢ, διὰ τί τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας εἰώθασι καλεῖν, εἰ κατεφρόνει τῶν ἡδέως ζώντων; Τοῦτον οὖν, φησὶν, οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν λῃστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στησίa χορον τὸν Ἱμεραῖον. καὶ Ξάνθος δ' ὁ μελοποιὸς, πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος

Hercules voluptatis sectator: ex Megaclide.

1 οὐ abest ms. *Ep.*

runt, duxisse eum exercitus, & oppida expugnasse: qui nonnisi fere in voluptatibus vitam inter homines transegit, plurimas ducens uxores, ex plurimisque virginibus clam liberos procreans. Quod qui non admittunt, eis recte dicas: Quare igitur vos ipsi illud epulandi studium eidem tribuitis? aut, unde obtinuit inter homines, ut, Herculi cum libamus, nihil in calice relinquatur; nisi voluptates ille probasset? aut, cur calidae aquae, e terrâ scaturientes, omnes Herculi sacrae habentur? aut, cur mollia stragula *Herculei* vocari solent *lecti*, si contemsit ille delicate viventes? Hunc igitur, ait, iuniores poëtae fingunt nonnisi latronis habitu terras peragrantem; clavam manu tenentem, & leoninam pellem telaque gestantem: quae primum finxisse, ait, Stesichorum Himeraeum. Atqui Xanthus, lyricus poëta, Stesichoro supe-

μαρτυρεῖ, ὡς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολὴν, ἀλλὰ τὴν Ὁμηρικήν. πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην. Ἀντισθένης δὲ „τὴν ἡδονὴν ἀγαθὸν εἶναι" φάσκων, προσέθηκε „τὴν ἀμεταμέλητον."

VII. Ulysses Homericus voluptatis studiosus.

Ὁ δὲ παρὰ τῷ Ὁμήρῳ Ὀδυσσεὺς ἡγεμὼν δοκεῖ γεγενῆσθαι Ἐπικούρῳ τῆς πολυθρυλλήτου Ἡδονῆς, ὥσπερ φησίν·

Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι, b
ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα·
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν· μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος παρέχησι, [1] καὶ ἐγχείῃ δεπάεσσιν.
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

1 φορέῃσι apud Hom. προχέῃσι apud Max. Tyr.

rior, ipſo Steſichoro teſte, ut ait idem Megaclides, non hunc ei cultum tribuit, ſed Homericum. At multa Xanthi pervertit Steſichorus, quemadmodum & *Oreſteam* quae vocatur. Antiſthenes vero, *voluptatem bonum eſſe* dicens, adiecit, *eam cuius non poeniteat.*

7. Sed dux & auctor Epicuro illius, quam ſemper in ore habet, Voluptatis fuiſſe videtur Homericus Ulyſſes; quippe qui ait:

Non enim ego ullum puto eventum gratiorem eſſe
quam cum laetitia quidem teneat populum univerſum,
convivaeque per domum audiant cantorem,
ſedentes ordine, iuxtaque plenae ſint menſae
pane & carnibus, vinumque ex cratere hauriens
pincerna praebeat infundatque poculis.
Hoc meo animo pulcerrimum eſſe videtur.

Ὁ δὲ Μεγακλείδης φησὶ, τὸν Ὀδυσσέα καθομιλοῦντα τοὺς καιροὺς ὑπὲρ τοῦ δοκεῖν ὁμοήθης τοῖς Φαίακ ξιν εἶναι, τὸ ἀβροδιαίτατον αὐτῶν ἀσπάζεσθαι, προπυθόμενον τοῦ Ἀλκίνου· [1]

Αἰεὶ δ' ἡμῖν δαίς τε φίλη, κίθαρίς τε, χοροί τε,
εἵματα τ' ἐξημοιβὰ, λοετρά τε θερμὰ, καὶ εὐναί.

Μόνως γὰρ οὕτως ὠφθη, ὧν ἤλπιζε μὴ διαμαρτεῖν. Τοιοῦτός ἐστιν καὶ ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδί·

Ὦ τέκνον, ποντίου θηρὸς πετραίου χρωτὶ
μάλιστα νόον προσφέρων, πάσαις πολίεσσιν [2] ὁμίλει· τῷ παρέοντι δ' ἐπαινήσαις
d ἐκὼν, ἄλλοτ' ἀλλοῖα φρόνει.

ὁμοίως φησὶ καὶ Σοφοκλῆς ἐν Ἰφιγενείᾳ·

Νέει πρὸς ἀνδρὶ σῶμα πουλύπους [3] ὅπως
πέτρᾳ τραπέσθαι γνησίου φρονήματος. [4]

1 Ἀλκινόου ed. Baſ. & Caſ. 2 πολέεσσιν edd. 3 πουλύπου ed. Baſ. & Caſ. 4 An γνήσια φρονήματα?

Megaclides vero ait, temporibus ſeſe adcommodantem Ulyſſem, quo videretur Phaeacibus eodem eſſe cum illis ingenio eisdemque moribus, mollitiem eorum laudaſſe, poſtquam ex Alcinoo prius audiviſſet:

Semper nobis convivium gratum, citharaque, chorique, veſtesque mutatoriae, & lavacra calida, lectulique.

Eâ enim unâ ratione exiſtimaverat ſe ſuâ ſpe non iri fruſtratum. Eiusdem generis eſt etiam is, qui Amphilochum filium hortatur:

O fili! marinae beſtiae ſaxatilis cuti maxime ſimilis verſare in civitatibus omnibus. Praeſentique adſentiens ultro, aliàs alia cogita.

Similiter & Sophocles loquitur in Iphigeniâ:

Diſce adverſus hominem, ut polypus ſuum corpus pro diverſo lapide, ſic tui animi cogitata mutare.

καὶ ὁ Θέογνις·

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου. —

Item Homerus ipſe. Εἰσὶ δ' οἱ φασὶ ταύτης εἶναι τῆς γνώμης τὸν Ὅμηρον, προτάττοντα τοῦ σπουδαίου βίου πολλάκις τὸν καθ' ἡδονήν· λέγοντα·

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
Νέκταρ ἐωνοχόει, τοὶ δὲ χρυσείοις δεπάεσσι e
δειδέχατ' ἀλλήλους.

Καὶ ὁ Μενέλαος δὲ παρ' αὐτῷ φησίν·

— Οὐδέ κεν ἡμέας
ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε.

καί·

Ἥμεθα δαινύμενοι κρέατ' ἄσπετα καὶ μέθυ ἡδύ.

Διόπερ καὶ Ὀδυσσεὺς τρυφὴν καὶ λαγνείαν τέλος τοῦ βίου παρὰ τῷ Ἀλκινόῳ [1] τίθεται.

1 Ἀλκίνῳ ms. *Ep.*

& Theognis:

Polypi mentem tene verſipellis.

Sunt vero qui dicant, id ipſum (quod Ulyſſem dicentem fecit) ſenſiſſe Homerum, honeſtae & induſtriae vitae ſaepius praeponentem vitam voluptariam, dicentemque:

Dii interim apud Iovem ſedentes conſultabant
aureo in pavimento: interque hos veneranda Hebe
Nectar miniſtrabat; illi autem aureis poculis
ſe invicem ſalutabant.

Et apud eumdem Menelaus ait:

— Nec vero nos
aliud diremiſſet amantes invicem obleſtantesque.

&:

Sedebamus epulantes carnes immenſas & vinum dulce.

Quare etiam Ulyſſes apud Alcinoum luxuriam & laſciviam ſummum vitae bonum eſſe ſtatuit.

VIII.

PERSARUM mollities.

Διαβόητοι δὲ ἐπὶ τρυφῇ ἐγένοντο πρῶτοι πάντων
f ἀνθρώπων Πέρσαι. ὧν καὶ οἱ βασιλεῖς ἐχείμαζον
μὲν ἐν Σούσοις, ἐθέριζον δ' ἐν Ἐκβατάνοις. κληθῆναι
δὲ τὰ Σοῦσα φησὶν Ἀριστόβουλος καὶ Χάρης, διὰ
τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ εἶναι τῇ Ἑλ-
λήνων φωνῇ τὸ κρῖνον. [1] ἐν Περσεπόλει δὲ διατρίβουσι
φθινόπωρον, καὶ ἐν Βαβυλῶνι τὸ λεῖπον τοῦ ἐνιαυτοῦ
μέρος. καὶ οἱ Πάρθων δὲ βασιλεῖς ἐαρίζουσι μὲν ἐν Ῥα-
γαῖς, χειμάζουσι δὲ ἐν Βαβυλῶνι, [διάγουσι δ' ἐν
a Ἑκατομπύλῳ] [2] τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ. Καὶ τὸ παρά-
σημον δὲ ὃ ἐπετίθεντο τῇ κεφαλῇ οἱ τῶν Περσῶν βα-
σιλεῖς, οὐδ' αὐτὸ ἠρνεῖτο τὴν τῆς ἡδυπαθείας ἀπόλαυ-
σιν. κατεσκευάζετο γὰρ, ὥς φησιν Δίνων, ἐκ σμύρ-
νης, καὶ τοῦ καλουμένου λαβύζου. [3] εὐώδης δ' ἐστὶν ἡ
λάβυζος, καὶ πολυτιμότερον [4] τῆς σμύρνης. ὁπότε δὲ
καὶ ἀπὸ τοῦ ἅρματος κατίοι, φησὶ, βασιλεὺς, οὔτε

1 κρῖνον edd. cum ms. *Ep.* 2 Verba ex Casauboni coni. adiecta. 3 καὶ λαβύζου, ἣ ἐστιν εὐώδης πολυτιμοτέρα σμύρνης ms. *Ep.* 4 πολυτιμώτερον edd.

8. *Luxuriae nomine* primi omnium hominum *celebrati* sunt *Persae.* Quorum reges hyemem transigebant Susis, aestatem vero Ecbatanis. Nomen autem inveniſſe urbem *Susa*, tradit Ariſtobulus & Chares, ex loci amoenitate: *ſuſon* enim Graece *lilium* ſonare. Perſepoli vero traducunt autumnum, & Babylone reliquum anni tempus. Similiter Parthorum reges ver transigunt Rhagis, hiemem vero Babylone; reliquum autem anni tempus [Hecatompyli.] Iam & ipſum inſigne, quod capiti impoſitum geſtabant Perſarum reges, voluptatis ſtudium, quo tenebantur, declarat. Inſtructum enim erat, ut ait Dinon, ex myrrha & ex labyzo, quae vocatur: eſt autem labyzus fragrantiſſima, & pretioſior myrrhâ. Quoties vero de curru (inquit) deſcenderet rex, neque deſiliebat, et-

καθήλλετο, ὀλίγου ὄντος ἐπὶ τὴν γῆν τοῦ ὕψους, οὔτε διὰ χειρῶν ἐρειδόμενος, ἀλλ' ἀεὶ αὐτῷ χρυσοῦς δίφρος ἐτίθετο, καὶ τούτῳ ἐπιβαίνων κατήει· καὶ ὁ βασιλέως διφροφόρος εἰς τοῦτο εἵπετο. Φυλάσσουσί τε αὐτὸν καὶ b τριακόσιαι γυναῖκες, ὡς ἱστορεῖ ὁ Κυμαῖος Ἡρακλείδης ἐν πρώτῃ Περσικῶν. αὗται δὲ τὰς μὲν ἡμέρας κοιμῶνται, ἵνα νυκτὸς ἐγρηγορῶσι· τῆς δὲ νυκτὸς ᾄδουσαι καὶ ψάλλουσαι διατελοῦσι, λύχνων καιομένων. χρῆται δὲ αὐταῖς καὶ πολλάκις ὁ βασιλεὺς διὰ τῆς τῶν μηλοφόρων αὐλῆς. ἦσαν δὲ οὗτοι τῶν δορυφόρων, καὶ τῷ γένει πάντες Πέρσαι, ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες, χίλιοι τὸν ἀριθμὸν, ἀριστίνδην [1] ἐκλεγόμενοι ἐκ τῶν μυρίων Περσῶν τῶν Ἀθανάτων καλου- c μένων. καὶ διήει διὰ τῆς τούτων αὐλῆς πεζὸς ὑποτιθεμένων ψιλοταπίδων Σαρδιανῶν, ἐφ' ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ βασιλεύς. Ὅτε δὲ εἰς τὴν ἐσχάτην

1 ἀριστίνδην ms. *A*.

iamsi exigua foret a terrâ altitudo, neque manibus circumstantium innitebatur, sed semper adponebatur aurea sella, cui ille insistens descendebat: cuius rei caussâ semper gestator regiae sellae sequebatur. Custodiuntque eum trecentae mulieres, ut narrat Cumaeus Heraclides primo libro Persicorum. Hae interdiu dormiunt, noctu vero vigilant: & per noctem perpetuo canunt citharamque pulsant, ardentibus lucernis. Saepius autem familiariter his utitur rex per *melophororum* aulam. Erant autem hi satellitum quoddam genus, omnes origine Persae, aurea mala hastis praefixa gestantes, mille numero, pro fortitudinis laude ex illorum decem millium Persarum numero delecti, qui *Immortales* vocantur. Horum igitur per aulam transibat rex pedibus, substratis glabris tapetibus Sardianis, super quibus nemini alii praeter regem incedere licebat. In extremam aulam ubi perveniebat

αὐλὴν ἔλθοι, ἀνέβαινεν ἐπὶ τὸ ἅρμα, [1] ἐνίοτε δὲ καὶ ἐφ' ἵππου· πεζὸς δὲ οὐδέποτε ἐωράθη ἔξω τῶν βασιλείων. εἰ δὲ ἐπὶ θήραν [2] ἐξίοι, [3] καὶ αἱ παλλακίδες αὐτῷ συνεξήεσαν. Ὁ δὲ θρόνος, ἐφ' ᾧ ἐχρημάτιζε καθήμενος, χρυσοῦς ἦν· ὃν περιειστήκεσαν τέσσαρες κιονίσκοι λιθοκόλλητοι χρυσοῖ, ἐφ' ὧν διετέτατο ἱμάτιον ποικίλον πορφυροῦν.

IX.

d Κλέαρχος δὲ ὁ Σολεὺς, ἐν τετάρτῳ Βίων, προειπὼν περὶ τῆς Μήδων τρυφῆς, καὶ ὅτι διὰ ταύτης πολλοὺς εὐνουχίσαιεν τῶν περικτιόνων, ἐπιφέρει καὶ „τὴν παρὰ Μήδων γενέσθαι Πέρσαις μηλοφορίαν μὴ μόνον [4] ὧν ἔπαθον τιμωρίαν, ἀλλὰ καὶ τῆς τῶν δορυφορούντων τρυφῆς, εἰς ὅσον ἦλθον ἀνανδρίας, ὑπόμνημα. δύναται γὰρ, ὡς ἔοικεν, ἡ παράκαιρος ἅμα καὶ μάταιος αὐτῶν περὶ τὸν βίον τρυφὴ καὶ τοὺς ταῖς λόγ-

A Medis mollitiem acceperunt Perſae.

1 ἐφ' ἅρματος ms. *Ep.* 2 Temere ἐπὶ θύραν ed. Baſ. & Caſaub. 3 ἐξείη edd. 4 μὴ μόνων Ms.

rex, currum conſcendebat; aliquando etiam equum: ſed pedibus incedens numquam conſpiciebatur. Venatum vero exeuntem pellices comitabantur. Thronus, in quo ſedens ius dicebat aut reſponſa dabat legationibus, aureus erat: circa quem quatuor ſtabant columellae aureae, gemmis diſtinctae: ſuperne praetentum erat purpureum aulaeum variegatum.

9. Clearchus vero Solenſis, quarto libro Vitarum, poſtquam de *Medorum luxuria* verba fecit, a quibus eâ cauſſâ multos, ait, e circumvicinis caſtratos eſſe; ſubiicit deinde: » a Medis acceptam *melophoriam* Perſis fuiſſe non modo ultionem eorum quae paſſi eſſent, verum etiam admonitionem, quae (Medos) commoneſaceret priſtinae ſatellitum mollitiei, quousque effoeminati animi fuiſſent delapſi. Poteſt enim, ut videtur, immodica illorum & ſtolida in omni vita mollities etiam ex hominibus

χαις καθωπλισμένους, ἀγύρτας ἀποφαίνειν." καὶ προελθὼν δέ γράφει· „Τοῖς γοῦν πορίσασί τι αὐτῷ e ἡδὺ βρῶμα δίδους ἆθλα τοῦ πορισθέντος, οὐχ ἑτέραις ἡδύνων ταῦτα τιμαῖς παρετίθει, πολὺ δὲ μᾶλλον αὐτὸς ἀπολαύειν [1] αὐτῶν νοῦν ἔχων· [2] τοῦτο μὲν γάρ ἐστιν ὁ λεγόμενος, οἶμαι, καὶ Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος." Χάρης [3] δ' ὁ Μιτυληναῖος ἐν τῇ πέμπτῃ τῶν Περὶ Ἀλέξανδρον Ἱστοριῶν· [4] „Εἰς τοῦτο, φησὶν, ἦκεν τρυφῆς οἱ τῶν Περσῶν βασιλεῖς, ὥστε ἔχεσθαι τῆς βασιλικῆς κλίνης ὑπὲρ κεφαλῆς οἴκημά τι πεντάκλινον, ἐν ᾧ χρυσίου πεντακισχίλια διὰ παντὸς ἔκειντο τάλαντα· καὶ τοῦτο ἐκαλεῖτο προσκεφά- f λαιον βασιλικόν. καὶ πρὸς ποδῶν ἕτερον οἴκημα τρίκλινον, οὗ τάλαντα τρισχίλια ἔκειτο ἀργυρίου, καὶ προσηγορεύετο βασιλικὸν ὑποπόδιον. ἦν δ' ἐν τῷ κοιτῶνι καὶ λιθοκόλλητος ἄμπελος χρυσῆ ὑπὲρ τῆς κλί-

1 Forſ. ἀπέλαυεν, & *comma* ponendum poſt αὐτῶν. 2 Inferius ſcribitur νοῦν οὐκ ἔχαν. 3 Temere Χάρις ed. Caſ. 4 Ἱστορίᾳ ed. Caſ.

lanceis armatis meros facere agyrtas. « Tum in progreſſu libri ait: » Iis igitur qui delicatiorem aliquem cibum ei excogitaverunt, praemia dans inventi, non aliis honoribus condiens cibos tales adponebat, ſed ipſe ſolus his fruebatur; quae eius ſapientia erat. Hoc enim eſt, opinor, quod dicitur & *Iovis* ſimul & *Regis cerebrum.*« Chares vero Mitylenaeus, quinto libro Hiſtoriarum Alexandri: » Eo luxuriae, inquit, progreſſi ſunt Perſarum reges, ut a capite lecti regii ſit coenaculum quinque lectulis ſtratum, in quo conſtanter quinque millia talentorum auri ſunt repoſita: adpellabantque illud *cervical regis.* Aliudque eſt a pedibus coenaculum tribus lectulis ſtratum, in quo depoſita erant tria talentorum millia: idque *ſcabellum regis* nominabatur. Erat vero in illius cubiculo, ſuper lecto, etiam vitis aurea gemmis diſtincta. « Eam vitem,

νης." Τὴν δὲ ἄμπελον ταύτην, Ἀμύντας φησὶν ἐν τοῖς Σταθμοῖς, καὶ βότρυας ἔχειν ἐκ τῶν πολυτελεστάτων
a ψήφων συντεθειμένους· οὐ μακράν τε ταύτης ἀνακεῖσθαι κρατῆρα χρυσοῦν, Θεοδώρου τοῦ Σαμίου ποίημα. Ἀγαθοκλῆς δ', ἐν τρίτῳ Περὶ Κυζίκου, ἐν Πέρσαις φησὶν εἶναι καὶ χρυσοῦν καλούμενον ὕδωρ. εἶναι δὲ τοῦτο λιβάδας ἑβδομήκοντα, καὶ μηδένα πίνειν ἀπ' αὐτοῦ ἢ μόνον βασιλέα, καὶ τὸν πρεσβύτατον αὐτοῦ τῶν παίδων· τῶν δ' ἄλλων ἐάν τις πίῃ, θάνατος ἡ ζημία.

X. Medorum & Persarum mollities: ex Xenoph.

Ξενοφῶν δ' ἐν ὀγδόῳ Παιδείας· „Ἐχρῶντο, φησὶν, ἔτι τότε τῇ ἐκ Περσῶν παιδείᾳ, καὶ τῇ Μήδων στολῇ καὶ ἁβρότητι. νῦν δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην, τὴν δὲ τῶν Μήδων
b μαλακίαν διασώζονται. σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. ἐκείνοις γὰρ πρῶτον μὲν οὐκ ἔτι τὰς εὐνὰς [1] μόνον ἀρκεῖ μαλακῶς ὑποστόρνυσθαι, [2] ἀλλ'

1 πρ. μὲν τὰς εὐνὰς οὐ μόνον ed. Baf. & Caf. 2 ὑποστρώννυσθαι vulgo apud Xen.

ait Amyntas in Stationibus, (*ſive* Manſionibus) uvas habere e pretioſiſſimis lapidibus compoſitas: indeque non procul poſitum eſſe craterem aureum, Theodori Samii opus. Agathocles vero, tertio libro de Cyzico, ait, eſſe etiam in Perſarum terra *auream aquam* quam adpellant: eſſe autem ſeptuaginta ſcaturigines, neminemque de illa aqua bibere, niſi unum regem & filium eius natu maximum. Alius quisquis fuerit, qui de illa bibit, capite plectitur.

10. Xenophon vero, octavo libro de Cyri Inſtitutione, ſcribit: »Utebantur eo tempore adhuc Perſicâ diſciplinâ, ſed cultu & deliciis Medorum. Nunc vero Perſicam fortitudinem & laborum patientiam prorſus extingui ſinunt, Medicam vero retinent mollitiem. Lubet autem, qualis ſit illorum delicata vita, declarare. Primum enim, non iam illis ſatis eſt, ut lecti molliter ſternantur:

ἤδη καὶ τῶν κλιτῶν τοὺς πόδας ἐπὶ ταπήδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ' ὑπείκωσιν αἱ τάπιδες. καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν, ὅσα τε πρότερον εὑρητο, οὐδεν αὐτῶν ἀφῄρηται, ἄλλα τε καινὰ ἀεὶ ἐπιμηχανῶνται, καὶ ὄψα γε ὡσαύτως· καὶ γὰρ καινοποιητὰς ἀμφοτέρων τούτων κέκτηνται. ἀλλὰ [1] καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ σῶμα c καὶ πόδας αὐτοῖς [2] ἀρκεῖ ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις ταῖς χερσὶ χειρίδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς οὔθ' αἱ τῶν δένδρων οὔθ' αἱ τῶν πετρῶν σκιαί· ἀλλ' ἐν ταύταις ἑτέρας σκιὰς ἄνθρωποι μηχανώμενοι αὐτοῖς παρεστᾶσιν." [3] κἀν τοῖς ἑξῆς δέ φησι περὶ αὐτῶν οὑτωσί· „Νῦν δὲ στρώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων, ἢ [4] ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς ἱππείας οὕτως, ὡς τοῦ μαλακῶς καθῆσθαι, ἐπιμέλονται. καὶ d

1 ἀλλὰ μὴν ed. Baf. & Caf. ex Xen. 2 αὐτοὺς ed. Ven. cum Ms.
3 Perperam παριστᾶσιν ed. Ven. & Baf. & παριστᾶσιν ed. Caf.
4 ἢ τότε vel ἢ πρὶν malis cum Cafaub.

verum etiam pedes lectorum tapetibus imponunt, ne obniratur pavimentum, ſed cedant nonnihil tapetes. Tum, quae in menſae uſum coquuntur, quaecumque prius inventa fuerant, eorum nihil praetermittitur, ac praeterea alia nova ſemper excogitantur: idemque fit in obſoniis: nam in utroque habent homines, quorum id negotium eſt novi quidpiam ſubinde invenire. Porro, hyberno tempore non ſufficit illis, & corpus & pedes tectos habere; verum etiam circa extremas manus manualia geſtant villoſa & digitalia. Aeſtate non ſufficiunt illis arborum nec rupium umbrae: ſed adſtant eis homines qui in his ipſis umbris alia inſuper umbracula machinantur.« Tum, nonnullis interiectis, haec de iisdem adiicit: »Nunc ſtragula plura ſuper equis habent, quam ſuper lectis: non enim tam laborant ut bene equitent, quam ut molliter equo in-

τοὺς θυρωροὺς δὲ καὶ τοὺς σιτοποιοὺς καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους, καὶ παρατιθέντας καὶ ἀναιροῦντας, καὶ κατακοιμίζοντας καὶ ἀνιστάντας, καὶ τοὺς κοσμητὰς οἳ ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτοὺς, καὶ τἆλλα ῥυθμίζουσιν. . ."

XI. LYDORUM mollities.

Λυδοὶ δὲ εἰς τοσοῦτον ἦλθον τρυφῆς, ὡς καὶ πρῶτοι γυναῖκας εὐνουχίσαι, ὡς ἱστορεῖ Ξάνθος ὁ Λυδὸς, ἢ ὁ εἰς αὐτὸν τὰς ἀναφερομένας Ἱστορίας συγγεγραφὼς, Διονύσιος ὁ Σκυτοβραχίων, ὡς Ἀρτέμων
e φησὶν ὁ Κασανδρεὺς ἐν τῷ περὶ συναγωγῆς Βιβλίων· ἀγνοῶν ὅτι Ἔφορος ὁ συγγραφεὺς μνημονεύει αὐτοῦ ὡς παλαιοτέρου ὄντος, καὶ Ἡροδότῳ τὰς ἀφορμὰς δεδωκότος. ὁ δ' οὖν Ξάνθος ἐν τῇ δευτέρᾳ τῶν Λυδιακῶν, Ἀδραμύτην [1] φησὶ τῶν Λυδῶν βασιλέα πρῶτον γυναῖκας εὐνουχίσαντα, χρῆσθαι αὐταῖς ἀντὶ ἀνδρῶν εὐνούχων. Κλέαρχος δ' ἐν τῇ τετάρτῃ περὶ Βίων· „Λυ-

1 Ἀνδραμύτην vulgo.

sideant. Porro (habent) ianitores & pistores & obsoniorum coquos & pincernas, & qui mensas adponunt, & qui auferunt, & qui cubitum euntibus praesto sunt, rursusque qui surgentibus, & comtores qui sublinendo & infricando eos exornant, & reliqua omnia eleganter componunt. «

11. *Lydi* vero eo mollitiei progressi sunt, ut etiam foeminas castrarent; quod tradit Xanthus Lydius, sive qui Historias conscripsit quae illi tribuuntur, Dionysius Scytobrachion, ut ait Artemon Cassandrensis in commentario de Librorum Collectione; nescius scilicet, Ephorum Historiarum scriptorem illius tamquam vetustioris meminisse, qui etiam Herodoto materiam scribendi suppeditasset. Xanthus igitur, secundo libro Rerum Lydiacarum, Adramyten, ait, Lydorum regem, primum foeminas castrasse, eisque usum esse loco virorum eunuchorum. Clearchus vero, quarto libro de Vitis, ita scri-

δοὶ, φησὶ, διὰ τρυφὴν παραδείσους κατασκευασάμενοι, καὶ κηπαίους αὐτοὺς [1] ποιήσαντες ἐσκιατροφοῦντο, τρυφερώτερον ἡγησάμενοι τὸ μηδ' αὐτοῖς ὅλως ἐπιπίπτειν τὰς τοῦ ἡλίου αὐγάς. καὶ τέλος πόρρω προά- f
γοντες [2] ὕβρεως, τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τὸν τόπον τὸν διὰ τὴν πρᾶξιν Ἀγνεῶνα κληθέντα συνάγοντες, ὕβριζον. καὶ τέλος τὰς ψυχὰς ἀποθηλυνθέντες, ἠλλάξαντο τὸν τῶν γυναικῶν βίον. διόπερ καὶ γυναῖκα τύραννον ὁ βίος εὕρετο [3] αὐτοῖς, μίαν τῶν ὑβρισθεισῶν, Ὀμφάλην· ἥτις πρώτη κατῆρξε μὲν τῆς εἰς Λυδοὺς πρεπούσης τιμωρίας. τὸ γὰρ ὑπὸ γυναικὸς ἄρχεσθαι ὑβριζομένους, [4] σημεῖόν ἐστι βίας. οὖσα οὖν καὶ αὐτὴ ἀκόλαστος, καὶ ἀμυνομένη a
τὰς γενομένας αὐτῇ πρότερον ὕβρεις, τοῖς ἐν τῇ πόλει δούλοις τὰς τῶν δεσποτῶν παρθένους ἐξέδωκεν ἐν ᾧ τό-

1 αὐτοὺς legebat vel intelligebat Dalec. vertens *& in hortos ſecedentes.* 2 προαγαγόντες edd. 3 εὕρατο ms. *Ep.* 4 ὑβριζομένης corr. Dalec.

bit: »Lydi, vitae mollitie ſoluti, viridaria inſtruxere, quibus pro hortis utentes umbram ſectabantur; delicatius exiſtimantes, ſi omnino ſolis radiis nullis ferirentur. Ad extremum vero eo progreſſi ſunt contumeliae, ut aliorum uxoribus & virginibus certum in locum coactis, qui ex ea re *Hagneon* nominatus eſt, vim inferrent. Denique animis cum eſſent prorſus effoeminatis, virilem vitam muliebri mutarunt. Itaque reginam etiam tyrannicam progenuit illorum aetas, unam ex his quae vim paſſae erant, Omphalen: quae prima exorſa eſt meritas a Lydis poenas exigere. Nam foeminae imperio parere, quae contumeliâ adſicit ſubditos, [*ſive*, quae contumeliam paſſa erat,] ſatis argumenti eſt imperii per vim parati. Haec igitur cum & ipſa per ſe feroci eſſet ingenio, & ulciſci vellet contumelias ſibi olim inlatas, ſervis qui in civitate erant filias dominorum matrimonio

πῳ πρὸς ἐκείνων ὑβρίσθη· εἰς τοῦτον οὖν συναθροίσασα μετ' ἀνάγκης συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποίνας. ὅθεν οἱ Λυδοὶ τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι, τὸν τόπον καλοῦσι Γυναικῶν ἀγῶνα, Γλυκὺν ἀγκῶνα. Οὐ μόνον δὲ Λυδῶν γυναῖκες ἄφετοι οὖσαι τοῖς ἐντυχοῦσιν, ἀλλὰ καὶ Λοκρῶν τῶν Ἐπιζεφυρίων, ἔτι δὲ τῶν περὶ Κύπρον, καὶ πάντων ἁπλῶς τῶν ἑταιb ρισμῷ τὰς ἑαυτῶν κόρας ἀφοσιούντων, παλαιᾶς τινος ὕβρεως ἔοικεν [1] εἶναι πρὸς ἀληθειαν ὑπόμνημα καὶ τιμωρία. πρὸς ἣν εἷς τῶν Λυδῶν εὐγενὴς ἀνὴρ ὁρμήσας, καὶ τῇ παρ' αὐτοῖς Μίδου βασιλείᾳ βαρυνθείς· τοῦ μὲν Μίδου ὑπ' ἀνανδρίας [2] καὶ τρυφῆς καὶ ἐν πορφύρᾳ κειμένου, καὶ ταῖς γυναιξὶν ἐν τοῖς ἱστοῖς συνταλασιουργοῦντος, Ὀμφάλης δὲ πάντας τοὺς συγκατακλιθέντας αὐτῇ ξενοκτονούσης· ἀμφοτέρους ἐκόλασε·

1 ἐοίκασιν ms. *Ep.* 2 ἀνανδρείας edd. cum ms. *A.*

iunxit eodem in loco, ubi ipsa ab illis contumeliam passa erat. In hunc locum per vim congregatas dominas concluſit unà cum servis. Quare Lydi acerbitatem rei indignitatemque verbo lenientes, locum illum vocant *mulierum certamen, dulcem anconem.* (i. e. *dulcem cubitum;* vel, *dulcem amplexum.*) Nec vero solae Lydorum mulieres libidini cuiusvis prostitutae, sed & Locrorum Epizephyriorum, itemque Cypriorum, & omnino omnium qui meretriciae consuetudini filias suas consecrant, verum si quaeris, videntur esse admonitio & ultio pristinae cuiusdam quae illos populos adfixisset contumeliae. Adversus illam igitur coortus unus e Lydis vir nobilis, Midae etiam apud ipsos imperio offensus; quum Midas ignavus & deliciis torpens in purpurâ iaceret, & cum mulieribus lanificio operam daret, Omphale autem omnes qui cum ipsa concubuerant hospites interficeret; de ambobus

τὸν μὲν, ὑπὸ ἀπαιδευσίας κεκωφημένον, τῶν ὤτων ἐξελκύσας, ὃς διὰ τὴν τοῦ φρονεῖν ἔνδειαν τοῦ πάντων ἀναισθητοτάτου ζώου τὴν ἐπωνυμίαν ἔσχε· τὴν c δὲ * *." [1]

XII. Caryca.

Πρῶτοι δὲ Λυδοὶ καὶ τὴν καρύκην ἐξεῦρον· περὶ ἧς τῆς σκευασίας οἱ τὰ Ὀψαρτυτικὰ συνθέντες εἰρήκασι, Γλαῦκος τε ὁ Λοκρὸς, καὶ Μίθαικος, καὶ Διονύσιος, Ἡρακλεῖδαί τε δύο γένος Συρακόσιοι, [2] καὶ Ἄγις, καὶ Ἐπαίνετος, καὶ Διονύσιος, ἔτι τε Ἡγήσιππος, καὶ Ἐρασίστρατος, καὶ Εὐθύδημος, καὶ Κρίτων· πρὸς τούτοις δὲ Στέφανος, Ἀρχύτας, Ἀκέστιος, Ἀκεσίας, Διοκλῆς, Φιλιστίων. [3] τοσούτους γὰρ οἶδα γράψαντας ὀψαρτυτικά. Καὶ κάνδαυλον δέ τινα ἔλεγον οἱ Λυδοὶ, οὐχ ἕνα, ἀλλὰ τρεῖς· οὕτως ἐξήσκηντο d πρὸς τὰς ἡδυπαθείας. γίνεσθαι δ' αὐτὸν φησιν ὁ Ταραντῖνος Ἡγήσιππος ἐξ ἑφθοῦ κρέως, καὶ κνηστοῦ ἄρ-

Artis coquinariae scriptores.

Candaulus, edulium Lydicum.

1 ἐπωνυμίαν ἔσχε. πρῶτοι δὲ &c. edd. cum ms. *A*. 2 Συρακούσιοι edd. 3 Φιλιστίων vulgo h. l.

poenas sumsit: illi quidem, rudi homini & stolido, aures in longum extrahens; cui, quoniam sensu communi carebat, stupidissimi omnium animalium cognomen impositum est: hanc vero * *."

12. Primi etiam Lydi *carycam* invenere: cuius de paratu loquuntur Artis coquinariae scriptores, Glaucus Locrus, Mithaecus, Dionysius, duo Heraclidae Syracusii genere, Agis, Epaenetus, Dionysius; tum Hegesippus, Erasistratus, Euthydemus, Criton; porro Stephanus, Archytas, Acestius, Acesias, Diocles, Philistion: tantus enim est numerus eorum, quos novimus Artis coquinariae scriptores. Atque etiam *candaulon* cibarium quoddam nominavere Lydi: nec illius unum genus, sed tria: adeo fuerunt artis parandarum deliciarum periti. Confici autem candaulum, ait Tarentinus Hegesippus, ex elixa

του, καὶ Φρυγίου τυροῦ, ἀνήθου τε καὶ ζωμοῦ πίονος. μνημονεύει δ' αὐτοῦ Ἄλεξις ἐν Παννυχίδι ἢ Ἐρίφοις· μάγειρος δ' ἐστὶν ὁ προσδιαλεγόμενος·

A. Ἔτι [1] δέ σοι παρὰ τοῦτο κάνδαυλόν τινα παραθήσομεν. B. Κάνδαυλον οὐκ ἐδήδοκα, ἀλλ' [2] οὐδ' ἀκήκο' οὐδέποτε. [3]

A. Θαυμαστὸν ἐμὸν εὕρημα. πάνυ [4] πολὺν δ' ἐγὼ
e ἐὰν παραθῶ σοι, προσκατεδεῖ [5] τοὺς δακτύλους 5
σαυτῷ γε [6] χαίρων. ἔρια [7] μὲν ποιήσομεν
ἄνθρωπε ποίει λευκὰ καὶ βλέπεις ἐπὰν
ἀπὸ τῶν κοινῶν ταρίχους ἰχθύων, κρεῶν βατανίων
εὐθέως
διπυρον παραθήσεις ὠὸν ἐπιτετμημένον,
πυὸν μέλιτος [8] ὀξύβαφον ἀπὸ τηγάνου [9] 10
τυροῦ τροφάλια χλωρὰ Κυθνίου παρατεμών,

1 Ὅτι Ms. Προσέτι malebam. 2 Abeſt ἀλλ' Ms. 3 ἀκήκο' αὐτὸν οὐδεπώ ποτε corr. Pierſ. νὴ Δία ſupplevit Dalec. 4 Poſt πάνυ distinguunt ed. Baſ. & Caſ. 5 προσκατέδη edd. 6 σαυτοῦ γε forſ. 7 ἴτρια ex coni. legit Dalec. & alia mutat, de quibus corrigendis nos deſperavimus. 8 μελίτιον coni. Pierſ. 9 ἀπὸ ταγήνου edd. ἀπὸ ταγηνίω Ms.

carne, conciſo pane, Phrygio caſeo, & anetho, & pingui iusculo. Meminit eius etiam Alexis in Pannychide ſive Lanificis: ubi coquus eſt qui prae caeteris loquitur:

A. *Praeterea iuxta hoc candaulum tibi aliquem adponemus.* B. *Candaulum nec comedi ego umquam, nec nomen audire memini.*

A. *Admirabile hoc meum inventum eſt: cuius tibi quantamcumque adpoſuero copiam, lubens tibi digitos etiam arrodes. Lanas nos quidem faciemus homo fac albas & vides quum*

. . . . . .

bis coctum adpones ovum diſſectum, coloſtrum mellis acetabulum de ſartagine, caſei Cythnii recentis fruſta ſecans,

βοτρύδιόν τι χορεῖον [1] ἐν ποτηρίῳ
γλυκὺν τὸ τοιοῦτον γὰρ ἀεί πως μέρος
ἐπιπαίζεται, κεφαλὴ δὲ δείπνου γίνεται. f
Β. Ἄνθρωπ' ἐπίπαιζε· μόνον ἀπαλλάγηθί μου 15
κανδαύλους λέγων καὶ χόρια [2] καὶ βατάνια, πᾶσαν τὴν ἡδονήν. [3]

Μνημονεύει τοῦ κανδαύλου καὶ Φιλήμων ἐν Παριόντι [4] οὕτως·

— Τοὺς ἐν τῇ πόλει
μάρτυρας ἔχω γὰρ, ὅτι μόνος Φύσκην ποιῶ,
κάνδαυλον, ὠά, θρῖον, ἐν στενῷ. τί [δέ;] [5]
τούτων διάπτωμ' ἐγένετ' ἢ μάρτημά τι; [6]

καὶ Νικόστρατος, ἐν Μαγείρῳ· a

Ὃς μέλανα ποιεῖν ζωμὸν οὐκ ἠπίστατο,
θρῖον δὲ καὶ κάνδαυλον.

1 Forſ. χόριον, dein vero vs. ſq. neſcio an γλυκύ. oportuerit. 2 χορεῖα vulgo. 3 Vulgo Alexidis eclogam finiunt in verbis καὶ βατάνια. Tum ſic pergunt: Πᾶσαν τὴν ἡδονὴν μνημονεύει τοῦ κανδ. &c. 4 Forſ. ἐν Παρεισιόντι. 5 δὲ deeſt vulgo. 6 Plene vulgo ſcribitur ἐγένετο ἢ ἁμάρτημά τι.

racemulum quemdam chorion in poculo
dulce: talis enim ſemper pars
luditur: caput vero haec coenae eſt.
B. *Illude homo: modo hinc abscede*
cum tuis quae loqueris candaulis, choriis
& patellis & omnibus iſtis deliciis.

Meminit candauli etiam Philemon, in Praetereunte: [*ſive*, in Irrepente:]

— *Omnes qui in urbe ſunt*
teſtes ego habeo, me unum lucanicam parare,
candaulum, ova, thrium, brevi tempore. Quid ergo?
In his erratum-ne quidpiam aut peccatum eſt?

& Nicoſtratus, in Coquo:

Qui ius nigrum parare neſciebat,
ſed thrium & candaulum.

καὶ Μένανδρος, Τροφωνίῳ·

Ἰωνικὸς πλούταξ· ὑποστάσεις ποιῶ, [1]
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

Καὶ εἰς τοὺς πολέμους δὲ ἐξιόντες οἱ Λυδοὶ παρατάττονται μετὰ συρίγγων καὶ αὐλῶν, ὥς φησιν Ἡρόδοτος. καὶ Λακεδαιμόνιοι δὲ μετ' αὐλῶν ἐξορμῶσιν ἐπὶ τοὺς πολεμίους, [2] καθάπερ Κρῆτες μετὰ λύρας.

XIII. Rex Arabiae thuriferae.

b Ἡρακλείδης δ' ὁ Κυμαῖος, ὁ τὰ Περσικὰ συγγράψας, ἐν τοῖς ἐπιγραφομένοις Παρασκευαστικοῖς εἰπὼν, ὡς ὁ ἐν τῇ λιβανοφόρῳ χώρᾳ βασιλεὺς αὐτόνομός τε ἐστὶν, καὶ οὐδενὸς ὑπήκοος, γράφει καὶ ταῦτα· „Οὗτος δ' ὑπερβάλλει τῇ τρυφῇ καὶ ῥᾳθυμίᾳ. διατρίβει τε γὰρ ἀεὶ ἐν τοῖς βατιλείοις, [3] ἐν τρυφῇ καὶ δαπάνῃ τὸν βίον διάγων, καὶ πράττει οὐδὲ ἓν πρᾶγμα, οὐδὲ πολλοῖς πλησιάζει. ἀλλὰ δικαστὰς

1 ποιῶν vulgo. 2 πολέμους ed. Ven. & Baſ. cum msstis. 3 βαλανείοις vulgo.

& Menander, Trophonio:

Praedives adeſt Ionius: ſpiſſum ius paro,
candaulon, cibos Venerem ſtimulantes.

Porro quum in bellum proficiſcuntur Lydi, ad fiſtulam & tibiarum cantum inſtruunt aciem; ut narrat Herodotus. Sed & Lacedaemonii cum tibiis in bellum proficiſcuntur, quemadmodum Cretenſes cum lyrâ.

13. Heraclides vero Cumaeus, is qui Perſica ſcripſit, poſtquam in ea parte operis quae Praeparatio (*vel* Introductio) inſcribitur, dixiſſet, *Regem regionis thuriferae* ſui iuris eſſe & nullius imperio ſubiectum, inter alia haec quoque ſcribit: » Hic vero in mira luxuria mollitieque vivit. Quippe conſtanter in regia moratur, vitam in deliciis & ſumtuoſo luxu transigens: neque quidquam negotii gerit: nec in conſpectum multitudinis prodit.

αὐτὸς ἀποδεικνύει. καὶ ἐάν τις αὐτοὺς ἡγῆται μὴ δικαίως δεδικακέναι, ἐστὶ θυρὶς ἐν τῷ ὑψηλοτάτῳ τῶν c
βασιλείων, καὶ αὐτὴ ἀλύσει δέδεται. ὁ οὖν ἡγούμενος ἀδίκως δεδικάσθαι, ἐπιλαμβάνεται τῆς ἀλύσεως, καὶ ἕλκει τὴν θυρίδα· καὶ ὁ βασιλεὺς ἐπειδὰν αἴσθηται, εἰσκαλεῖ, καὶ αὐτὸς δικάζει. καὶ ἐὰν φαίνωνται οἱ δικασταὶ ἀδίκως δικάσαντες, ἀποθνήσκουσιν· ἐὰν δὲ δικαίως, ὁ κινήσας τὴν θυρίδα ἀπόλλυται." Τὰ δὲ ἀναλώματα λέγει τῆς ἡμέρας εἰς τὸν βασιλέα καὶ τὰς περὶ αὐτὸν γυναῖκας καὶ φίλους, γίνεσθαι τάλαντα πεντεκαίδεκα Βαβυλώνια.

XIV. Παρὰ δὲ Τυρρηνοῖς, ἐκτόπως τρυφήσασιν, ἱστο- d
ρεῖ Τίμαιος ἐν τῇ πρώτῃ, ὅτι αἱ θεράπαιναι γυμναὶ τοῖς ἀνδράσι διακονοῦνται. Θεόπομπος δ' ἐν τῇ μγ'. τῶν Ἱστοριῶν· „καὶ νόμον εἶναι, φησὶ, παρὰ τοῖς Τυρρηνοῖς, κοινὰς ὑπάρχειν τὰς γυναῖκας· ταύτας δὲ ἐπι-

Etruscorum luxuria.

Sed iudices ipse [*sive*, illis] legit: quos si quis putat iniuste iudicasse, est in summa parte regiae ostiolum catenâ revinctum. Qui igitur existimat iniustam de se pronunciatam esse sententiam, is prehensâ catenâ ostiolum trahit: & rex ubi id sensit, intro vocat, & ipse ius dicit. Tum, si iudices comperti sunt iniustam pronunciasse sententiam, capite plectuntur: sin iustam, perit is qui ostiolum movit. « Sumtus autem, qui in regem eiusque mulieres & amicos quotidie impenduntur, ait esse talentorum quindecim Babyloniorum.

14. Apud *Etruscos*, supra modum luxuriae & mollitiei deditos, famulas nudas ministrare viris scribit Timaeus, Historiarum libro primo. Theopompus vero libro tertio & quadragesimo ait: »Lege etiam institutum esse apud Etruscos, ut communes sint mulieres: has

μελεῖσθαι σφόδρα τῶν σωμάτων, καὶ γυμνάζεσθαι πολλάκις καὶ [1] μετ' ἀνδρῶν, ἐνίοτε δὲ καὶ πρὸς ἑαυτάς. οὐ γὰρ αἰσχρὸν εἶναι αὐταῖς φαίνεσθαι γυμναῖς. δειπνεῖν δὲ αὐτὰς οὐ παρὰ τοῖς ἀνδράσι τοῖς ἑαυτῶν, ε ἀλλὰ παρ' οἷς ἐὰν [2] τύχωσι τῶν παρόντων, καὶ προπίνουσιν οἷς ἐὰν βουληθῶσιν. εἶναι δὲ καὶ πιεῖν δεινὰς, καὶ τὰς ὄψεις πάνυ καλάς. τρέφειν δὲ τοὺς Τυρρηνοὺς πάντα τὰ γινόμενα παιδία, οὐκ εἰδότας ὅτου πατρός ἐστιν ἕκαστον. ζῶσι δὲ καὶ οὗτοι τὸν αὐτὸν τρόπον τοῖς θρεψαμένοις, [3] πότους τὰ πολλὰ ποιούμενοι, καὶ πλησιάζοντες ταῖς γυναιξὶν ἁπάσαις. οὐδὲν δ' αἰσχρόν ἐστι Τυρρηνοῖς, οὐ μόνον αὐτοὺς ἐν τῷ μέσῳ τι ποιοῦντας, ἀλλ' οὐδὲ πάσχοντας φαίνεσθαι. ἐπιχώριον γὰρ καὶ τοῦτο παρ' αὐτοῖς ἐστίν. [4] καὶ τοσούτου δέουσιν αἰσχρὸν ὑπολαμβάνειν, ὥστε καὶ λέγουσιν, ὅταν ὁ μὲν δέ- f σπότης τῆς οἰκίας ἀφροδισιάζηται, ζητῇ δέ τις αὐτὸν,

1 Abeſt καὶ edd. 2 παρ' οἷς ἂν edd. & mox rurſus οἷς ἂν βουλ.
3 ταῖς θρεψαμέναις ms. *Ep.* 4 παρ' αὐτοῖς. ἐπεὶ καὶ τοσούτου edd.

vero diligentiſſimam curam habere corporis, ſaepeque exerceri cum viris, ſaepe vero etiam inter ſe ipſas: nec enim turpe illis haberi, nudas conſpici. Coenare autem illas non apud ſuos maritos, ſed apud quoslibet eorum qui adſunt; & propinare quibuscumque libitum eſſet. Eſſe autem impenſe bibaces, & adſpectu admodum formoſas. Alere autem Etruſcos omnes qui naſcuntur infantes, neſcientes quo patre quisque natus ſit. Vivunt autem & hi deinde eodem modo quo illi a quibus educati erant, compotationes frequentius inſtituentes, & cum omnibus mulieribus conſuetudinem habentes. Nec vero turpe apud Etruſcos habetur, in propatulo foedum quid vel facere vel pati: eſt enim hoc illis patrium. Et tantum abeſt ut turpe id ducant, ut, ſi herum petit aliquis quo tempore Veneri ille vacat, diſerte huic

ὅτι πάσχει τὸ καὶ τὸ, προσαγορεύσαντες αἰσχρῶς τὸ πρᾶγμα. Ἐπειδὰν δὲ συνουσιάζωσι καθ' ἑταιρείας ἢ κατὰ συγγενείας, [1] ποιοῦσιν οὕτως. πρῶτον μὲν, ὅταν παύσωνται πίνοντες, καὶ μέλλωσι καθεύδειν, εἰσάγουσι παρ' αὐτοὺς οἱ διάκονοι, τῶν λύχνων ἔτι καιομένων, [2] ὁτὲ μὲν [3] ἑταίρας, ὁτὲ δὲ παῖδας πάνυ καλοὺς, ὁτὲ δὲ καὶ γυναῖκας. ὅταν δὲ τούτων ἀπολαύσωσιν, αὖθις αὐτοῖς [εἰσάγουσι] [4] νεανίσκους ἀκμάζοντας, οἱ πλησιάζουσιν αὐτοῖς ἐκείνοις. ἀφροδισιάζουσι δὲ καὶ ποισῦνται τὰς συνουσίας, ὁτὲ μὲν ὁρῶντες ἀλλήλους, ὡς δὲ τὰ πολλὰ καλύβας περιβάλλοντες περὶ τὰς κλίνας, αἱ πεπλεγμέναι εἰσὶν ἐκ ῥάβδων, περιβέβληται δ' ἄνωθεν ἱμάτια. καὶ πλησιάζουσι μὲν a σφόδρα καὶ ταῖς γυναιξί· πολὺ μέντοι γε χαίρουσι συνόντες τοῖς παισὶ, καὶ τοῖς μειρακίοις. καὶ γὰρ γίνονται παρ' αὐτοῖς πάνυ καλοὶ τὰς ὄψεις, ἅτε τρυφε-

1 Tria verba desunt editis. 2 ἐπικαιομένων edd. 3 Temere ὅτε μὲν & dein ὅτε δὲ ed. Bas. & Cas. 4 Deest vulgo verbum.

dicant, eo nunc illum occupari, turpi verbo rem ipsam nominantes. Quum vero unà sunt sodales aut cognati, hunc morem tenent. Primum quidem, postquam compotare desierunt, cum iam cubitum ituri sunt, introducunt ad eos famuli, accensis adhuc lucernis, nunc meretrices, nunc pueros formâ praestantes, interdum etiam mulieres: quibus postquam sunt fruiti, rursus illis introducunt adolescentes vegetâ aetate, qui cum ipsis rem habent. Veneri autem dant operam concumbuntque interdum ita ut alii alios in conspectu habeant, plerumque vero tegmina lectulis obducunt e virgulis contexta, quibus superne vestimenta iniiciunt. Et congrediuntur quidem maxime cum mulieribus: sed & puerorum & adolescentium consuetudine delectantur. Sunt enim hi apud illos formâ admodum praestante; quippe

ρῶς διαιτώμενοι, καὶ λεαινόμενοι τὰ σώματα. Πάντες δὲ οἱ πρὸς ἑσπέραν οἰκοῦντες βάρβαροι πιττοῦνται, καὶ ξυροῦνται τὰ σώματα· καὶ παρά γε τοῖς Τυρρηνοῖς ἐργαστήρια κατεσκεύασται πολλὰ, καὶ τεχνῖται
b τούτου τοῦ πράγματός εἰσιν, ὥσπερ παρ' ἡμῖν οἱ κουρεῖς. παρ' οὓς ὅταν εἰσέλθωσι, παρέχουσιν ἑαυτοὺς πάντα τρόπον, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας, οὐδὲ τοὺς παριόντας. χρῶνται δὲ τούτῳ τῷ νόμῳ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ [1] τῶν τὴν Ἰταλίαν οἰκούντων, μαθόντες παρὰ Σαυνιτῶν [2] καὶ Μεσαπίων. ὑπὸ δὲ τῆς τρυφῆς οἱ Τυρρηνοὶ, ὡς Ἄλκιμος ἱστορεῖ, πρὸς αὐλὸν καὶ μάττουσι καὶ πυκτεύουσι καὶ μαστιγοῦσιν."

c Διαβόητοι δέ εἰσιν ἐπὶ τρυφῇ καὶ αἱ τῶν Σικελῶν τράπεζαι· „οἵτινες καὶ τὴν παρ' αὐτοῖς [3] θάλατταν λέγουσιν εἶναι γλυκεῖαν, χαίροντες τοῖς ἐξ αὐτῆς γινομένοις ἐδέσμασιν·" ὥς φησι Κλέαρχος ἐν πέμ-

XV. Siculae menſae.

1 *Delenda* fortaſſe καὶ particula. 2 Σαμνιτῶν edd. 3 αὐτῶν edd.

delicate viventes, & corpora laevigantes. Omnes enim verſus Occidentem habitantes populi, partim pice, partim radendo, glabrant corpora: & praeſertim apud Etruſcos multae inſtitutae ſunt officinae, ſuntque artifices qui hanc artem exercent, ſicut apud nos tonſores. Ad quos quum introëunt, praebent ſe illis (picandos radendosque) quovis modo, nullo pudore ſi quis adſpiciat aut interveniat. Utuntur autem eodem inſtituto multi Graeci [aliique] Italiam incolentes, a Samnitibus & Meſſapiis edocti. Sunt autem ita voluptati dediti Etruſci, ait Alcimus, ut ad tibiae modos etiam farinam ſubigant, & pugillatu certent, & flagris caedant. «

15. Deliciarum & luxuriae nomine celebratae quoque ſunt menſae *Siculorum;* qui etiam mare, quod illorum inſulam adluit, dulce eſſe dictitant, gaudentes ſcilicet cibis quos illud ſuppeditat: ut ait Clearchus, quinto libro

Sybaritarum luxuria & mollities.

πτω Βίων. Περὶ δὲ Συβαριτῶν τί δεῖ καὶ λέγειν; παρ' οἷς πρώτοις εἰσήχθησαν εἰς τὰ βαλανεῖα λουτροχόοι καὶ παραχύται πεπεδημένοι, τοῦ μὴ θᾶττον ἰέναι, καὶ ὅπως μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους. πρῶτοι δὲ Συβαρίται καὶ τὰς ποιούσας ψόφον τέχνας οὐκ ἐῶσιν ἐπιδημεῖν τῇ πόλει· οἷον χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως αὐτοῖς παν- d ταχόθεν ἀβόρυβοι ὦσιν αἱ ὕπνοι. οὐκ ἐξῆν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. Ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος, ὅτι ἀνὴρ Συβαρίτης, εἰς ἀγρόν ποτε πορευόμενος, ἔξω, ἰδὼν τοὺς ἐργάτας σκάπτοντας, αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί τινα τῶν ἀκουσάντων, αὐτὸς δὲ σοῦ διηγουμένου ἀκούων πεπονηκέναι τὴν πλευράν. Ἐν Κρότωνι [1] δὲ σκάπτοντί τινι τὴν [2] τῶν ἀβλούτων κόνιν ἐπιστάντες τινὲς Συβαριτῶν, ἐθαύ-

1 Κροτῶνι ms. *A*. 2 Abeſt τὴν edd.

Vitarum. De *Sybaritis* vero quid dicemus? Apud quos primos introducti ſunt in balnea compedibus vincti miniſtri aquam adfundentes, ne citius iuſto irent, neve feſtinando urerent hos qui balneo utuntur. Primi etiam *Sybaritae* artes eas quae cum ſtrepitu exercentur, ut fabrorum aerariorum & lignariorum aliorumque id genus, intra urbem recipere recuſarunt; ne ſcilicet ſomnus ipſis ullo modo turbaretur. Eamdemque ob cauſſam ne gallum quidem gallinaceum in urbe alere licitum erat. Narrat de eisdem Timaeus, hominem quemdam Sybaritam, rus profectum aliquando, cum fodientes operas vidiſſet, dixiſſe, *dolere ſe veluti fibrâ ruptâ:* cui unus ex his, qui audiverant, reſpondit: *ego vero, te hoc commemorantem audiens, lateris dolore correptus ſum.* Crotone Sybaritae nonnulli conſpicientes aliquem athleticam exercentem, cum arenam in uſum palaeſtrae ipſe foderet,

μαζον λέγοντες, εἰ τηλικαύτην ἔχοντες πόλιν, οἰκέτας μὴ κέκτηνται τοὺς σκάψοντας ἑαυτοῖς τὴν παλαίστραν.
e Ἄλλος δὲ Συβαρίτης, παραγενόμενος εἰς Λακεδαίμονα, καὶ κληθεὶς εἰς Φειδίτιον, ἐπὶ τῶν ξύλων κατακείμενος, καὶ δειπνῶν [1] μετ' αὐτῶν· „Πρότερον μέν, ἔφη, καταπεπλῆχθαι τὴν τῶν Λακεδαιμονίων πυνθανόμενος ἀνδρείαν· νῦν δὲ θεασάμενος, νομίζειν μηδὲν τῶν ἄλλων αὐτοὺς διαφέρειν. καὶ γὰρ τὸν ἀνανδρότατον μᾶλλον ἂν ἑλέσθαι ἀποθανεῖν, ἢ τοιοῦτον βίον ζῶντα καρτερεῖν."

XVI. Pumili, & catelli.

Ἔθος δὲ παρ' αὐτοῖς καὶ τοὺς παῖδας μέχρι τῆς τῶν ἐφήβων ἡλικίας, ἁλουργίδας τε φορεῖν, καὶ πλοκαμίδας [2] ἀναδεδεμένους χρυσοφορεῖν. ἐπιχωριάζειν δὲ παρ' αὐτοῖς διὰ τὴν τρυφὴν ἀνθρωπάρια μικρὰ, καὶ
f τοὺς σκωπαίους, [3] ὥς φησιν ὁ Τίμων, τοὺς καλουμένους παρά τισι στίλπωνας, καὶ κυνάρια Μελιταῖα,

1 Temere δεῖπνον ed. Caſ. 1. & 2. 2 πλοκαμῖδας edd. 3 σκοπαίους edd. cum ms. *A*.

ſubſtiterunt, *mirari ſe* dicentes, *tantae urbis cives non habere famulos, qui palaeſtram ipſis fodiant.* Alius Sybarita, qui Lacedaemonem venerat, ad ſodalium convivium invitatus, quod *pheiditium* illi vocant, & ſuper ligno ſedens cum illis coenans, ait: *Prius ſe obſtupuiſſe ad fortitudinis famam Lacedaemoniorum: nunc vero, ubi videret quid rei eſſet, exiſtimare nihil eos prae aliis hominibus praecipui habere: ignaviſſimum enim quemque mortem potius oppetiturum, quam talem vitam patienter toleraturum.*

16. Apud eosdem Sybaritas moris erat etiam, ut pueri usque ad adultam aetatem purpurâ induerentur, & obtortos capillorum cincinnos auro illigarent. Conſuetum etiam illis, voluptatis cauſſa *pumilos* domi alere, & *ſcopacos* illos, (*noctuis ſimiles,*) ut ait Timon, quos *ſtilpones* nonnulli vocant: item catellos Melitenſes, qui eos et-

ἅπερ αὐτοῖς καὶ ἕπεσθαι εἰς τὰ γυμνάσια. πρὸς οὓς καὶ τοὺς ὁμοίους τούτοις Μασανάσσης [1] ὁ τῶν Μαυρουσίων βασιλεὺς ἀπεκρίνατο, ὥς φησι Πτολεμαῖος ἐν ογδοῳ Υπομνημάτων, ζητοῦσι συνωνεῖσθαι πιθήκους· „Παρ' ὑμῖν, ὦ οὗτοι, αἱ γυναῖκες οὐ τίκτουσι παιδια;" παιδίοις γὰρ ἔχαιρεν ὁ Μασανάσσης, καὶ εἶχε παρ' αὐτῷ τρεφόμενα τῶν υἱῶν (πολλοὶ δὲ ἦσαν) a τὰ τέκνα, καὶ τῶν θυγατέρων ὁμοίως. καὶ πάντα ταῦτα αὐτὸς ἔτρεφε μέχρι τριῶν ἐτῶν· μετ' ἀ ἀπέπεμπε πρὸς τοὺς γεγεννηκότας, παραγινομένων ἄλλων. τὰ δὲ αὐτὰ ἔοικε καὶ Εὔβουλος ὁ κωμικὸς ἐν Χάρισιν, οὕτως·

Maſiniſſae mite ingenium.

Καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν
ἄνθρωπον ἔστ' ἄνθρωπον, ἂν ἔχῃ [2] βίον,
ἢ χῆνα πλατυγίζοντα [3] καὶ κεχηνότα,
ἢ στρουθόν, ἢ πίθηκον, ἐπίβουλον κακόν.

1 Μασσάνασσης ms. *A.* & ſic mox iterum. 2 ἄν γ' ἔχῃ vel ἦν ἔχῃ corrigunt. 3 πλαταγίζοντα edd.

iam in gymnaſia ſequebantur. Quibus hominibus horumque ſimilibus *Maſiniſſa* rex Mauritaniae, (ut tradit Ptolemaeus, octavo libro Commentariorum) ſimios emendos conquirentibus, reſpondit: *Apud vos igitur, qui talia quaeritis, mulieres nonne pariunt infantes?* Parvulis enim delectabatur Maſiniſſa, & apud ſe filiorum ſuorum (quorum magnus numerus erat) filiarumque natos natasque alebat educabatque omnes, donec tertium aetatis annum compleſſent: quo tempore exacto parentibus eos remittebat, aliis in illorum locum ſuccedentibus. In eamdem ſententiam Eubulus Comicus, in Gratiis, dixit:

Ah! quanto honeſtius eſt, quaeſo, ut alat
homo hominem, ſi modo facultas ſuppetat;
quam ſtrepitum-citantem hiantemque anſerem,
aut paſſerem, aut ſimiam, malitioſam beſtiam!

b Καὶ Ἀθηνόδωρος δέ, ἐν τῷ περὶ Σπουδῆς καὶ Παιδιᾶς· [1] „Ἀρχύτην φησὶ τὸν Ταραντῖνον, πολιτικὸν ἅμα καὶ φιλόσοφον γενόμενον, πλείστους οἰκέτας ἔχοντα, ἀεὶ τούτοις παρὰ τὴν δίαιταν ἀφικνουμένοις [2] εἰς τὸ συμπόσιον ἥδεσθαι. ἀλλ' οἱ Συβαρῖται ἔχαιρον τοῖς Μελιταίοις κυνιδίοις, καὶ ἀνθρώποις οὐκ ἀνθρώποις."

XVII. De Sybaritarum moribus varia.

Ἔφόρουν δ' οἱ Συβαρῖται καὶ ἱμάτια Μιλησίων ἐρίων πεποιημένα· ἀφ' ὧν δὴ καὶ αἱ φιλίαι ταῖς πόλεσιν ἐγένοντο, ὡς ὁ Τίμαιος ἱστορεῖ. ἠγάπων γὰρ c τῶν μὲν ἐξ Ἰταλίας Τυῤῥηνοὺς, τῶν δ' ἔξωθεν [3] τοὺς Ἴωνας, ὅτι τρυφῇ προσεῖχον. Οἱ δ' ἱππεῖς τῶν Συβαριτῶν, ὑπὲρ τοὺς πεντακισχιλίους ὄντες, ἐπόμπευον ἔχοντες κροκωτοὺς ἐπὶ τοῖς θώραξιν, καὶ τοῦ θέρους οἱ νεώτεροι αὐτῶν εἰς τὰ τῶν Νυμφῶν ἄντρα τῶν Λου-

1 παιδείας ms. *A.* 2 ἀφειμένοις edd. cum ms. *A.* quod ex ἀφειμένοις corruptum videri poterat. Sive legendum τοῖς τούτων παιδίοις παρὰ τὴν δίαιταν ἀφικνουμένοις εἰς τὸ συμπ. ἥδεσθαι. 3 ἔωθεν ms. *Ep.* inter lin.

Similiter Athenodorus, in libro de Seriis & Iocis: »Archytam Tarentinum, ait, virum simul administratione rei publicae & philosophiae nomine clarum, cum magnum numerum famulorum haberet, semper delectatum esse, si, ipso cibum sumente, illi (*sive*, illorum parvuli nati) in coenationem venirent. At Sybaritae Melitensibus catellis delectabantur, & hominibus qui homines non essent. «

17. Gestabant Sybaritae vestes ex Milesia lana confectas: ex quo etiam amicitiae inter civitates natae sunt, ut tradit Timaeus. Nam ex Italicis populis Etruscos amaverunt, externorum Ionas, eo quod luxui dediti essent. Equites Sybaritarum, numero supra quinquies mille, pompam agentes transvehebantur croceas vestes super thoracibus induti. Aestivo tempore iuniores in Nympha-

σιάδων ἀποδημοῦντες, διετέλουν μετὰ πάσης τρυφῆς. οἱ δὲ εὔποροι αὐτῶν ὁπότε εἰς ἀγρὸν παραβάλλοιεν, καίπερ ἐπὶ ζευγῶν πορευόμενοι, τὴν ἡμερησίαν πορείαν ἐν τρισὶν ἡμέραις διήνυον. ἦσαν δέ τινες αὐτοῖς καὶ τῶν εἰς τοὺς ἀγροὺς Φερουσῶν ὁδῶν κατάστεγοι. τοῖς δὲ πλείστοις αὐτῶν ὑπάρχουσιν οἰνῶνες ἐγγὺς τῆς Θα- d λάσσης· εἰς οὓς δι' ὀχετῶν τῶν οἴνων ἐκ τῶν ἀγρῶν ἀφειμένων, τὸν μὲν ἔξω τῆς χώρας πιπράσκεσθαι, τὸν δὲ εἰς τὴν πόλιν τοῖς πλοίοις διακομίζεσθαι. Ποιοῦνται δὲ καὶ δημοσίᾳ πολλὰς καὶ πυκνὰς ἑστιάσεις, καὶ τοὺς λαμπρῶς Φιλοτιμηθέντας χρυσοῖς στεφάνοις τι- μῶσιν· καὶ τούτους ἀνακηρύττουσιν ἐν ταῖς δημοσίαις θυσίαις καὶ τοῖς ἀγῶσι, προσκηρύττοντες οὐκ εὔνοιαν, ἀλλὰ τὴν εἰς τὰ δεῖπνα χορηγίαν· ἐν οἷς στεφανοῦ- e σθαι [1] καὶ τῶν μαγείρων τοὺς ἄριστα τὰ παρατεθέν-

1 στεφανοῦσι δὲ καὶ τῶν μαγ. ms. *Ep.* Quod verum videri possit, si ante corrigas, τὴν εἰς τὰ δεῖπνα χορηγίαν ἐν οἷς ἐστεφανοῦντο.

rum Lusiadum antra secedentes, in omni luxuriae genere vitam ibi agebant. Ditiores quando rusticatum ibant, vehiculo licet proficiscentes, tamen unius diei iter nonnisi intra triduum conficiebant. Erant vero etiam viarum nonnullae, quae ad villas ducebant, superne tectae. Plerique ex civibus cellas vinarias habent prope mare, in quas per canales vinum ex agris devehitur; quod deinde partim externis venditur, partim naviculis in urbem comportatur. Celebrant vero etiam publice multa atque frequentia epula: quorum ad celebritatem qui splendide conferunt, hos aureis honorant coronis, & publice eos renunciant in solennibus sacrificiis & spectaculis, non *eorum in civitatem benevolentiam* praedicantes, sed *munera in coenas collata:* quibus in coenis etiam coquos (ait Timaeus) coronari solitos, si qui cibos adpo-

τα διασκευάσαντας. Παρὰ Συβαρίταις δ' εὑρέθησαν καὶ πύελοι, ἐν αἷς κατακείμενοι ἐπυριῶντο. πρῶτοι δὲ καὶ ἀμίδας ἐξεῦρον, ἃς εἰσέφερον εἰς τὰ συμπόσια. Καταγελῶντες δὲ τῶν ἀποδημούντων ἐκ τῶν πατρίδων, αὐτοὶ ἐσεμνύνοντο ἐπὶ τῷ γεγηρακέναι ἐπὶ ταῖς τῶν ποταμῶν γεφύραις.

XVIII. Oraculi responsum Sybaritis datum.

Δοκεῖ δὲ μετὰ [1] τῆς εὐδαιμονίας αὐτῶν [εἶναι, ὅτι] [2] ἐκ τῆς χώρας, ἀλιμένου τῆς θαλάσσης παρηκούσης, καὶ τῶν καρπῶν σχεδὸν ἁπάντων ὑπὸ τῶν πολιτῶν καταναλισκομένων, ὅ τε τῆς πόλεως τόπος καὶ ὁ παρὰ τοῦ θεοῦ χρησμὸς συμπαροξῦναι πάντας ἐτρυφῆσαι, καὶ ποιῆσαι ζῆσαι ὑπὲρ τὸ μέτρον ἐκλελυμένως. ἡ δὲ πόλις αὐτῶν ἐν κοίλῳ κειμένη, τοῦ μὲν θέρους, ἕωθέν τε καὶ πρὸς ἑσπέραν ψύχος ὑπερβάλλον ἔχει, τὸ δὲ μέσον τῆς ἡμέρας καῦμα ἀνύποιστον·

1 μέγα edd. 2 *Corrupta duo verba* uncis includere placuit.

sitos prae caeteris delicatius paratos fuisse. Apud Sybaritas etiam inventae sunt cellae, in quibus decumbentes calido vapore perfusi sudant. Matularum item in convivia inferendarum primi auctores fuere. Iidem, irridentes illos qui relictâ patriâ in exteras regiones proficiscuntur, gloriari solebant quod super fluviorum suorum pontibus consenuissent.

18. Videtur autem praeter opulentiam Sybaritarum, quam ipsa regio suppeditat; (quae quos fructus gignit, hi fere omnes, quoniam importuosum mare est quod regioni praetenditur, ab ipsis civibus consumuntur;) partim etiam situs urbis, partim oraculi responsum, ad mollitiem omnes invitasse, feciseque ut vitam supra modum dissolutam sequerentur. Scilicet urbs eorum, in cavo sita, aestivo tempore mane quidem & sub vesperam immodicum frigus habet, medio vero die aestum into-

ὥστε τοὺς πλείστους αὐτῶν ὑπειληφέναι πρὸς ὑγίειαν [1] διαφέρειν τοὺς ποταμούς· ὅθεν καὶ ῥηθῆναι, ὅτι „τὸν a βουλόμενον ἐν Συβάρει μὴ πρὸ μοίρας ἀποθανεῖν, οὔτε δυόμενον οὔτε ἀνίσχοντα τὸν ἥλιον ὁρᾶν δεῖ.“ Ἐπεμψαν δέ ποτε καὶ εἰς Θεοῦ τοὺς χρησομένους, ὧν ἦν εἷς Ἄμυρις, [2] πυνθανόμενοι μέχρι τίνος εὐδαιμονήσουσι. καὶ ἡ Πυθία ἔφη·

Εὐδαίμων, [3] [Συβαρῖτα, πανευδαίμων] [4] σὺ μὲν αἰεὶ
ἐν θαλίῃσιν ἔσῃ, τιμῶν γένος αἰὲν ἐόντων.
εὖτ' ἂν δὴ [5] πρότερον θνητὸν θεοῦ ἄνδρα σεβίσσῃς,
τηνίκα σοι πόλεμός τε καὶ ἐμφύλιος στάσις ἥξει. b

τούτων ἀκούσαντες, ἔδοξαν λέγειν αὐτοῖς τὸν θεὸν, ὡς οὐδέποτε παύσαιντο τρυφῶντες· οὐδέποτε γὰρ τιμήσειν

1 ὑγείαν edd. cum ms. *Ep.* 2 ὧν ἦν Ἰσάμυρις vulgo. 3 Rectius fortasse fuerit Εὔδαιμον Συβαρῖτα &c. 4 Absunt vulgo duo verba uncis inclusa. In edd. vero desunt etiam quatuor verba μὲν αἰεὶ ἐν θάλ. 5 Aut εὖτ' ἂν δὲ videtur scribendum, aut ἔστ' ἂν δὴ.

lerabilem: quare plerique arbitrantur, ad sanitatem plurimum ipsis conferre flumina, atque eam etiam caussam esse, cur vulgo dictitetur, *Qui Sybari non ante fatalem diem mori velit, eum nec occidentem solem debere videre, nec orientem.* Miserant vero aliquando oraculum consulturos, quorum in numero Amyris fuerat, qui quaererent quamdiu duratura esset illorum felicitas. Quibus Pythia respondit:

Felix, omnino felix, Sybarita, futurus,
dum rebus laetis venerabere numina Divûm.
At simul atque illis mortalis homo anteferetur,
tum veniet bellum saevum atque domestica turba.

Quo accepto responso existimabant illi dicere Deum, numquam ipsos desituros in voluptatibus vivere: numquam quippe futurum, ut hominem magis quam Deum

ἄνθρωπον μᾶλλον θεοῦ. ἐγένετ' οὖν αὐτοῖς τῆς τύχης ἡ μεταβολὴ, ἐπεί τις τῶν οἰκετῶν τινα μαστιγῶν, καὶ τοῦτον καταφυγόντα εἰς τὰ ἱερὰ πάλιν ἐμαστίγου· ὡς δὲ τὸ τελευταῖον κατέδραμεν ἐπὶ τὰ τοῦ πατρὸς αὐτοῦ μνήματα, ἀφῆκεν αἰδεσθείς. Ἐξανα-
c λώθησαν δὲ φιλοτιμούμενοι πρὸς ἑαυτοὺς τρυφαῖς. καὶ ἡ πόλις δὲ πρὸς ἁπάσας τὰς ἄλλας ἠμιλλᾶτο περὶ τρυφῆς. εἶτα μετ' οὐ πολὺ γινομένων αὐτοῖς σημείων πολλῶν τῆς ἀπωλείας,[1] περὶ ἧς νῦν οὐκ ἔτ' ἐπείγει[2] λέγειν, διεφθάρησαν.

Εἰς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες, ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιάται, ὅτε αὐτοῖς ἐπολέμουν, ὡς καὶ Ἀριστοτέλης ἱστορεῖ διὰ τῆς Πο-
d λιτείας αὐτῶν, ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέ-

XIX. Equi saltantes ad tibiarum modos.

1 Vulgo καὶ ἀπωλείας. 2 Forſ. οὐκ ἐπείγει.

honorent. Evenit autem illis rerum & fortunae commutatio, poſtquam aliquis ſervum loris caeſum, cum is ad Deorum aram confugiſſet, rurſus ceciderat; eumdem vero, cum poſtremo ad patris heri ſepulcrum confugiſſet, dimiſerat venerans loci religionem. Exhauſta autem eſt eorum opulentia, invicem aemulantium ecquis luxuriâ praecelleret: atque etiam publice civitas cum aliis omnibus civitatibus de luxu ambitioſe contendebat. Denique haud ita multo poſt, cum multa etiam eis incidiſſent praeſagia exitii, de quo iam nihil dum neceſſe eſt dicere, exſtincti ſunt.

19. Eo autem progreſſi erant luxuriae, ut equos etiam adſuefecerint inter ipſorum epula ſaltare ad tibiae cantum. Id igitur quum noſſent Crotoniatae, quo tempore bellum illis inferebant, (quod narrat etiam Ariſtoteles, ubi de eorum Republica verba facit) tibicines iuſſerant modos ſaltatorios praecinere equis. Aderant enim

λος. συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. καὶ ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι, οὐ μόνον ἐξωρχήσαντο, ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας. Τὰ ὅμοια ἱστόρησε καὶ περὶ Καρδιανῶν ὁ Λαμψακηνὸς Χάρων ἐν δευτέρῳ Ὡρων,[1] γράφων οὕτως· „Βισάλται εἰς Καρδίην ἐστρατεύσαντο, καὶ ἐνίκησαν. ἡγεμὼν δὲ τῶν Βισαλτέων ἦν Ὄναρις.[2] οὗτος δὲ, παῖς ὢν, ἐν τῇ Καρδίῃ ἐπράθη· καί τινι Καρδιηνῷ δουλεύσας, κορσωτεὺς ἐγένετο. Καρδιηνοῖς δὲ λόγιον ἦν, ὡς Βισάλται ἀπίξονται ἐπ' αὐτούς. καὶ πυκνὰ περὶ τούτου[3] διελέγοντο ἐν τῷ κορσωτηρίῳ ἰζάνοντες. καὶ ἀποδρὰς ἐκ τῆς Καρδίης εἰς τὴν πατρίδα, τοὺς Βισάλτας ἔστειλεν ἐπὶ τοὺς Καρδιηνούς, ἀποδειχθεὶς ἡγεμὼν ὑπὸ τῶν Βισαλτέων. οἱ δὲ Καρδιηνοὶ πάντες τοὺς ἵππους ἐδίδαξαν ἐν τοῖς συμποσίοις ὀρχεῖσθαι ὑπὸ τῶν αὐλῶν· καὶ ἐπὶ τῶν ὀπισθίων

1 Ὅρων vulgo. 2 ηαρις h. l. Ms. 3 τούτων vulgo.

ipſis tibicines militari cultu. Et ſimul atque illos canentes audivere equi, non modo coeperunt ſaltare, verum etiam ſimul cum ſeſſoribus ad Crotoniatas transfugerunt. Similia refert etiam de Cardianis Charon Lampſacenus, ſecundo libro Annalium, ita ſcribens: »Biſaltae adverſus Cardiam copias eduxerunt, eosque praelio ſuperarunt. Erat autem dux Biſaltarum Onaris. Hic, puer quum eſſet, Cardiae venditus fuerat; emtusque a quodam Cardiano, tonſoriam artem exercuerat. Acceperant autem Cardiani oraculum, *Biſaltas bellum ipſis illaturos:* qua de re ſaepe inter ſe differebant, in tonſtrinâ ſedentes. Ille igitur quum Cardiâ in patriam profugiſſet, Biſaltis auctor fuit expeditionis adverſus Cardianos ſuscipiendae, duxque ipſe creatus eſt Biſaltarum. Docuerant autem omnes Cardiani equos in ipſorum conviviis ſaltare ad tibiae cantum, ita ut poſterioribus pedibus in-

ποδῶν ἱστάμενοι, τοῖς προσθίοις ὠρχοῦντο ἐξεπιστάμενοι τὰ αὐλήματα. ταῦτα οὖν ἐπιστάμενος Ὄναρις, f ἐκτήσατο ἐκ τῆς Καρδίης αὐλητρίδα· καὶ ἀφικομένη ἡ αὐλητρὶς εἰς τοὺς Βισάλτας, ἐδίδαξε πολλοὺς αὐλητάς· μεθ' ὧν δὴ καὶ στρατεύεται ἐπὶ τὴν Καρδίην. καὶ ἐπειδὴ ἡ μάχη συνειστήκει, ἐκέλευσε αὐλεῖν τὰ αὐλήματα, ὅσα οἱ ἵπποι τῶν Καρδιηνῶν ἐξεπισταίατο. καὶ ἐπεὶ ἤκουσαν οἱ ἵπποι τοῦ αὐλοῦ, ἔστησαν ἐπὶ τῶν ὀπισθίων ποδῶν, καὶ πρὸς ὄρχησμὸν ἐτράποντο. τῶν δὲ Καρδιηνῶν ἡ ἰσχὺς ἐν τῇ ἵππῳ ἦν· καὶ οὕτως ἐνικήθη- a σαν." Συβαριτῶν δέ τις εἰς Κρότωνά ποτε διαπλεύσαι βουληθεὶς ἐκ τῆς Συβάρεως, ἰδιόστολον ἐναυλώσατο πλοῖον, ἐφ' ᾧ οὔτε ῥαντισθήσεται, οὔτε ἐμβήσεται ἕτερος, καὶ ἐφ' ᾧ τὸν ἵππον ἀναλήψεται. τοῦ δὲ οὕτως συμφρονήσαντος, ἐνεβίβασέ τε τὸν ἵππον, καὶ ὑποστορέσαι τῷ ζώῳ ἐκέλευσεν. ἔπειτα τινὸς τῶν προ-

Sybarita Crotonem navigans.

ſiſtentes, anterioribus modos tibiae, quos edocti erant, geſticularentur. Quod cum ſciret Onaris, e Cardia tibicinam emerat: quae poſtquam Biſaltiam venit, multos inflare tibiam docuit; quos ille expeditionis ſocios ſecum ſumſit. Commiſſo praelio, iuſſit hos inflare eos tibiae modos, quos maxime callerent Cardianorum equi. Et equi, exaudito tibiarum cantu, in poſteriores pedes ſe ſublevarunt, ad ſaltationem converſi. Cardianorum autem robur in equitatu inerat: atque ea ratione praelio hi ſuperati ſunt.« Sybarita quiſpiam aliquando quum vellet Sybari Crotonam navi transiicere, navem conduxit qua ſolus ipſe transveheretur, ea conditione, ut non adſpergeretur, ut nemo alius conſcenderet navem, utque equum ſuum in navigium acciperet. In quo quum conſenſiſſet naviculator, equo in navem recepto paleam ſubſterni ille iuſſit. Deinde unum ex his, qui eum hono-

πεμπόντων ἐδεῖτο συμπλεῦσαι αὐτῷ, λέγων ὅτι προδιεστειλάμην τῷ πορθμεῖ, ἵνα παρὰ τὴν γῆν πλέῃ. ὁ δὲ ἀπεκρίνατο, ὅτι μόλις ἄν σου ὑπήκουσα, εἰ παρὰ τὴν θάλασσαν ἔμελλες πεζεύειν, καὶ μὴ παρὰ τὴν γῆν πλεῖν.

XX. Leges Syracusiae, ad modestiam spectantes.

Φύλαρχός δ' ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν Ἱστο- b
ριῶν' (εἰπὼν, ὅτι παρὰ Συρακουσίοις νόμος ἦν, τὰς γυναῖκας μὴ κοσμεῖσθαι χρυσῷ, μήδ' ἀνθινὰ Φορεῖν, μήδ' ἐσθῆτας ἔχειν πορφυρᾶς ἐχούσας παρυφὰς, ἐὰν μή τις αὐτῶν συγχωρῇ ἑταίρα εἶναι κοινή. καὶ ὅτι ἄλλος ἦν νόμος, τὸν ἄνδρα μὴ καλλωπίζεσθαι, μήδ' ἐσθῆτι περιέργῳ χρῆσθαι καὶ διαλλαττούσῃ, ἐὰν μὴ ὁμολογῇ μοιχεύειν ἢ κίναιδος εἶναι. καὶ, τὴν ἐλευθέραν μὴ ἐκπορεύεσθαι ἡλίου δεδυκότος, ἐὰν μὴ μοιχευθησομένην. ἐκωλύετο δὲ καὶ ἡμέρας ἐξιέναι ἄνευ τῶν γυναικο-

ris causſa ad navem comitati erant, rogavit ut cum ipſo traiiceret, dicens ſe cum portitore ſtipulaſſe ut prope terram navigaret. Cui ille reſpondit, *aegre ſe ei obſecuturum fuiſſe, ſi ſecundum mare terreſtri itinere eſſet iter facturus, nedum cum iuxta terram navigare conſtituiſſet.*

20. Phylarchus vero, quinto & viceſimo Hiſtoriarum libro, poſtquam dixit, legem eſſe apud Syracuſios, quâ caveatur ne auro ſeſe ornent mulieres, neve floridas geſtent veſtes aut purpurâ praetextas, niſi quae ſe publicum eſſe proſtibulum profiteatur: eſſeque aliam legem, quae vetet virum lenociniis formae ſtudere, aut veſtimento uti exquiſitiore & a communi uſu abhorrente, niſi qui adulterum ſe aut pathicum profiteatur: item cautum eſſe, ingenua mulier ne poſt occaſum ſolis domo exeat, niſi adulterium admiſſura; denique, ut ne interdiu quidem foras prodeat, niſi veniâ impetratâ a ma-

c νόμων, ἀκολουθούσης αὐτῇ μιᾶς θεραπαινίδος.) „ Συ- Sybaritarum leges, luxui faventes.
βαρῖται, φησὶν, ἐξωκείλαντες [1] εἰς τρυφὴν, ἔγραψαν
νόμον, τὰς γυναῖκας εἰς τὰς ἑορτὰς καλεῖν· καὶ τοὺς εἰς
τὰς θυσίας καλοῦντας πρὸ ἐνιαυτοῦ τὴν παρασκευὴν [2]
ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι [3] τοῦ χρόνου [4] τῶν τε
ἱματίων καὶ τοῦ λοιποῦ κόσμου, προάγωσιν οὕτως εἰς
τὰς κλήσεις. Εἰ δέ τις τῶν ὀψοποιῶν ἢ μαγείρων ἴδιον [5]
εὕροι βρῶμα καὶ περιττὸν, τὴν ἐξουσίαν μὴ εἶναι χρή-
σασθαι τούτῳ ἕτερον πρὸ ἐνιαυτοῦ, ἀλλ' αὐτῷ τῷ εὐ-
d ρόντι τὸν χρόνον τοῦτον, ὅπως [6] ὁ πρῶτος εὑρὼν καὶ τὴν
ἐργασίαν ἔχῃ· πρὸς τὸ τοὺς ἄλλους φιλοπονοῦντας [7]
αὐτοὺς ὑπερβάλλεσθαι [8] τοῖς τοιούτοις. ὡσαύτως δὲ,
μηδὲ τοὺς τὰς ἐγχέλεις πωλοῦντας τέλος [9] ἀποτίνειν,

1 ἐξοκείλαντες malles; & sic rursus paullo post. 2 τὴν κλῆσιν ποιεῖσθαι corr. Casaub. 3 ποιούμεναι malles. 4 τὴν παρασκευὴν τῶν τε ἱμ. corrigit Casaub. Fortasse satis fuerit τὴν τῶν τε &c. 5 ἴδιον ms. *A*. 6 Corrigit Cas. ὅπως τὸν χρόνον τοῦτον ὁ πρ. 7 φιλοπονεῖν corrigit idem. 8 ἀλλήλους ὑπερβ. idem. αὐτοὺς inter lin. habet ms. *Ep*. 9 τέλος αὐτοὺς ἀποτίνειν ms. *Ep*.

tronarum censoribus, & comite unâ saltem pediſſequâ: haec praefatus Phylarchus: »*Sybaritae*, ait, cum ad luxum voluptatemque penitus sese adplicuissent, lege sanxerunt, ut matronas fas esset ad solennes festivitates invitare; utque hi qui ad sacras epulas essent illas invitaturi, annuo ante spatio adparatum facerent, (*sive*, sacra indicerent;) ut satis digno, pro temporis spatio, facto adparatu vestium reliquique ornatus, ita demum illae ad sacra prodirent. Porro, si quis coquus aut obsoniorum artifex singulare aliquod & eximium cibi genus inveniſſet, non licitum esse alii eodem genere uti ante elapsum annuum spatium; sed per totum id tempus uni inventori id licitum esse, quo primus inventor etiam quaestum ex artis suae exercitio caperet, quo item alii excitarentur ad operam dandam ut alios in hoc genere superarent. Similiter lege cautum erat, ne tributum pen-

μηδὲ τοὺς θηρεύοντας. τὸν αὐτὸν τρόπον καὶ τοὺς τὴν πορφύραν τὴν θαλαττίαν βάπτοντας, καὶ τοὺς εἰσάγοντας, ἀτελεῖς ἐποίησαν."

XXI. Sybaritarum exitium.

„Πάνυ οὖν ἐξωκείλαντες εἰς ὕβριν, τὸ τελευταῖον, παρὰ Κροτωνιατῶν τριάκοντα πρεσβευτῶν ἡκόντων, ἅπαντας αὐτοὺς ἀπέκτειναν, καὶ πρὸ τοῦ τείχους τὰ σώματα ἐξέρριψαν, καὶ ὑπὸ θηρίων ἔασαν διαφθαρῆναι. αὕτη δ' αὐτοῖς καὶ τῶν κακῶν ἐγένετο ἀρ- e χὴ, μηνίσαντος τοῦ δαιμονίου. ἔδοξαν γοῦν μετ' ὀλίγας ἡμέρας πάντες αὐτῶν οἱ ἄρχοντες τὴν αὐτὴν ἰδεῖν ὄψιν ἐν τῇ αὐτῇ νυκτί· τὴν γὰρ Ἥραν ἰδόντες ἐλθοῦσαν εἰς μέσην τὴν ἀγορὰν, καὶ ἐμοῦσαν χολήν. ἀνέβλυσε δὲ καὶ αἵματος πηγὴ ἐν τῷ ἱερῷ αὐτῆς. καὶ οὐδὲ οὕτως ἔληξαν τῆς ὑπερηφανίας, ἕως πάντες ὑπὸ Κροτωνιατῶν ἀπώλοντο." Ἡρακλείδης δ' ὁ Ποντικὸς, ἐν τῷ Περὶ Δικαιοσύνης, φησί· „Συβαρῖται τὴν Τή-

derent hi qui anguillas vel venderent vel piſcarentur. Pariterque, qui marinâ purpurâ veſtes tingebant, aut purpuram importabant, eos immunes a tributis vectigalibusque eſſe voluerunt.«

21. »Ad extremum prorſus in contumeliam effuſi, quum triginta legati a Crotoniatis adveniſſent, omnes illos occiderunt, & cadavera extra muros proiecta beſtiis permiſerunt devoranda. Atque hoc initium illis fuit malorum, accenſâ divini numinis irâ. Igitur, paucis poſt diebus, omnibus illorum magiſtratibus una nocte idem viſum oblatum eſt, ut Iunonem viderent in medium forum prodeuntem, atram bilem evomentem. Atque etiam in Divae templo ſanguinis fons ſcaturivit. At ne tum quidem ab inſolentia deſtiterunt, donec omnes a Crotoniatis deleti ſunt.« Heraclides vero Ponticus, in libro De Iuſtitia, ſcribit: »Sybaritae, everſâ Telyis ty-

λυος [1] τυραννίδα καταλύσαντες, τοὺς μετασχόντας
f τῶν πραγμάτων ἀναιροῦντες καὶ Φονεύοντες ἐπὶ τῶν
βωμῶν ἀπήντων. [2] καὶ ἐπὶ τοῖς Φόνοις τούτοις ἀπε-
στράφη μὲν τὸ τῆς Ἥρας ἄγαλμα, τὸ δὲ ἔδαφος
ἀνῆκε πηγὴν αἵματος, ὥστε τὸν σύνεγγυς ἅπαντα
τόπον κατεχάλκωσαν [3] θυρίσι, βουλόμενοι στῆσαι
τὴν τοῦ αἵματος ἀναφοράν. διόπερ ἀνάστατοι ἐγένον-
a το, καὶ διεφθάρησαν ἅπαντες· οἱ καὶ τῶν Ὀλυμπίων
τὸν πάνυ [4] ἀγῶνα ἀμαυρῶσαι ἐθελήσαντες. καθ' ὃν
γὰρ ἄγεται καιρὸν ἐπιτηρήσαντες, ἄθλων ὑπερβολῇ
ὡς αὐτοὺς καλεῖν ἐπεχείρουν τοὺς ἀθλητάς."

XXII. Crotoniatae.

Καὶ Κροτωνιᾶται δ', ὡς φησι Τίμαιος, με-
τὰ τὸ ἐξελεῖν Συβαρίτας, ἐξώκειλαν εἰς τρυφήν· ὥστε
καὶ τὸν ἄρχοντα αὐτῶν περιιέναι κατὰ τὴν πόλιν ἀλουρ-
γίδα ἠμφιεσμένον, καὶ ἐστεφανωμένον χρυσῷ στεφά-

1 Τύλιος vulgo. 2 ἅπαντες pro ἁπάντων habet Ms. 3 κατε-
χάλκευσαν edd. 4 τῶν πάνυ ms. A.

rannide, eos qui ab illius partibus steterant interficientes, ad ipsas aras concursu facto trucidarunt. Quarum caedium conspectu retro se avertit Iunonis simulacrum, & e solo fons sanguinis erupit; ita ut totum circumiectum locum aeneis tabellis obtegerent, quo sisterent sanguinis scaturiginem. Quare extincti sunt & deleti omnes: qui etiam longe celeberrimos ludos obscurare Olympicos voluerant: nam in id tempus quo hi celebrantur, ipsi ludos (sua in urbe) indicentes, praemiorum propositorum magnitudine conati erant ad sese pertrahere athletas. «

22. Sed & *Crotoniatae*, ut ait Timaeus, postquam Sybaritas delessent, in luxuriam prolapsi sunt: ita quidem ut eorum praetor etiam per urbem incederet veste purpureâ amictus, aureâ redimitus coronâ, candidis

νῳ, ὑποδεδεμένον λευκὰς κρηπίδας. οἱ δὲ, οὐ διὰ τρυ-
φὴν, φασὶ, τοῦτο γεγονέναι, ἀλλὰ διὰ Δημοκήδη
τὸν ἰατρόν· ὃς τὸ μὲν γένος ἦν Κροτωνιάτης, Πολυκρά- b
τει δὲ τῷ Σαμίων [1] τυράννῳ συνὼν, καὶ μετὰ τὸν
ἐκείνου θάνατον αἰχμαλωτισθεὶς ὑπὸ Περσῶν, ἀνήχθη
ὡς βασιλέα, Ὀροίτου τὸν Πολυκράτην ἀποκτείναντος.
θεραπεύσας δ' ὁ Δημοκήδης Ἄτοσσαν τὴν Δαρείου μὲν
γυναῖκα, Κύρου δὲ θυγατέρα, τὸν μαστὸν ἀλγήσα-
σαν, ᾔτησε ταύτην δωρεὰν, καταπεμφθῆναι εἰς τὴν
Ἑλλάδα, ὡς ἐπανελευσόμενος· καὶ τυχὼν, ἧκεν εἰς
Κρότωνα. βουλομένου τε [2] αὐτόθι καταμένειν ἐπιλα-
βομένου τινὸς τῶν Περσῶν καὶ λέγοντος, ὅτι βασιλέως c
εἴη δοῦλος, ἐκεῖνον μὲν ἀφείλαντο [3] οἱ Κροτωνιᾶται, ἐκ-
δύσαντες δὲ τὴν στολὴν τοῦ Πέρσου, ἐνέδυσαν τὸν ὑπη-
ρέτην τοῦ πρυτανεύοντος. ἐξ οὗ δὴ Περσικὴν ἔχων στο-

1 τῷ τῶν Σαμίων edd. 2 βουλόμενός τε edd. 3 ἀφείλοντο edd.

crepidis calceatus. Sunt vero qui dicant, non ob luxum id factum esse, sed ob medicum Democeden: qui cum genere esset Crotoniata, apud Polycratem Samiorum tyrannum erat versatus, & post eius obitum (occiso Polycrate ab Oroeta) captus a Persis, ad regem Persarum fuerat perductus. Ibi tum Democedes, postquam Atossam Darii uxorem, Cyri filiam, sanasset mammarum dolore adflictam, hanc gratiam postulaverat, ut in Graeciam sibi proficisci liceret, redituro scilicet in Persiam: eamque veniam nactus, Crotonem pervenerat. Ubi quum manere constituisset, prehensus est a quodam Persa, dicente esse illum mancipium Regis. At Crotoniatae illum quidem in libertatem vindicarunt, homini vero Persae stolam exuentes, lictorem praetoris (*prytanis* ea dignitas apud illos vocatur) eâdem amiciverunt. Et ex illo tempore lictor, Persicâ stolâ amictus, septimo

λὴν [1] περιέρχεται ταῖς ἑβδόμαις τοὺς βωμοὺς μετὰ τοῦ πρυτανέως· οὐ τρυφῆς χάριν, οὐδ' ὕβρεως, ἀλλ' ἐπηρείας τῆς εἰς τοὺς Πέρσας τοῦτο πράττοντες. Ὕστερον δὲ καὶ οἱ Κροτωνιᾶται, φησὶν ὁ Τίμαιος, ἐπεχείρησαν τὴν Ὀλυμπικὴν πανήγυριν καταλῦσαι, τῷ αὐ-
d τῷ χρόνῳ προθέντες ἀργυρικὸν σφόδρα πλούσιον ἀγῶνα. οἱ δὲ Συβαρίτας τοῦτο ποιῆσαι λέγουσιν.

XXIII. Tarentinorum luxuria.

„Ταραντίνους δὲ, φησὶ Κλέαρχος ἐν τετάρτῳ Βίων, ἀλκὴν καὶ δύναμιν κτησαμένους, εἰς τοσοῦτον τρυφῆς προελθεῖν, ὥστε τὸν ὅλον χρῶτα παραλεαίνεσθαι, καὶ τῆς ψιλώσεως ταύτης τοῖς λοιποῖς κατάρξαι. ἐσθῆσιν δὲ, φησὶ, καὶ παρυφὴν διαφανῆ πάντες, [2] οἷς νῦν ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. Δεύτερον δ' ὑπὸ τῆς τρυφῆς εἰς ὕβριν ποδηγηθέντες, ἀνάστα-
e τον μίαν πόλιν Ἰαπύγων ἐποίησαν Καρβίναν· ἐξ ἧς παῖδας καὶ παρθένους, καὶ τὰς ἐν ἀκμῇ γυναῖκας

1 Περσικὴν στολὴν ἠμφιεσμένους vulgo. 2 Forſ. καὶ πάντα οἷς &c.

quoque die cum prytane aras circumit: idque faciunt non luxuriae aut inſolentis faſtus cauſſâ, ſed per irriſionem Perſarum. Poſtea vero, ut tradit idem Timaeus, Crotoniatae quoque conati ſunt Olympicorum ludorum celebritatem diſſolvere, in idem tempus certamina indicentes, magnâ argenti vi victoribus pro praemio propoſitâ. Alii vero Sybaritas aiunt id feciſſe.

23. »Tarentinos vero, ait Clearchus quarto libro Vitarum, robur & potentiam nactos, eo luxuriae mollitieique progreſſos eſſe, ut totius corporis cutem laevigarent, & huius deglabrationis exemplum aliis omnibus praeirent. Geſtabant vero etiam omnes (inquit) ſplendidos veſtibus praetextos limbos, quibus nunc luxuriat mollis foeminarum vita. Deinde a luxuria ad contumeliam iniuriamque progreſſi, everſâ Carbinâ, uno ex Iapygiae (ſive Apuliae) oppidis, pueros & virgines

ἀθροίσαντες εἰς τὰ τῶν Καρβινιατῶν [1] ἱερὰ σκηνοποιησάμενοι, γυμνὰ πᾶσι τῆς ἡμέρας τὰ σώματα παρεῖχον θεωρεῖν· καὶ ὁ βουλόμενος, καθάπερ εἰς ἀτυχῆ παραπηδῶν ἀγέλην, ἐθοινᾶτο ταῖς ἐπιθυμίαις τὴν τῶν ἀθροισθέντων ὥραν, πάντων μὲν ὁρώντων, μάλιστα δὲ ὧν ἥκιστα ἐκεῖνοι προσεδόκων θεῶν. οὕτω δὲ τὸ δαιμόνιον ἠγανάκτησεν, ὥστε Ταραντίνων τοὺς ἐν Καρβίνῃ παρανομήσαντας ἐκεραύνωσε πάντας. καὶ μέχρι καὶ f νῦν ἐν Τάραντι ἑκάστη [2] τῶν οἰκιῶν, ὅσους [3] ὑπεδέξαντο [4] τῶν εἰς Ἰαπυγίαν ἐκπεμφθέντων, τοσαύτας ἔχει στήλας πρὸ τῶν θυρῶν· ἐφ' αἷς, καθ' ὃν ἀπώλοντο χρόνον, οὔτ' οἰκτίζονται τοὺς ἀποιχομένους, οὔτε τὰς νομίμους χέονται χοάς, ἀλλὰ θύουσι Διὶ Καταιβάτῃ." [5]

XXIV. Iapyges.

Ἰαπύγων τε αὖ τὸ γένος ἐκ Κρήτης ὂν, [6] τῶν

1 Καρβινατῶν edd. 2 Temere ἑκάστη ed. Caſ. 3 οὓς οὐχ ὑπεδ. Ms. 4 ὑπιδέξατο malles. 5 Κατηβάτῃ Ms. 6 ἐκ Κράτης ἦν malles.

& in flore aetatis matronas in Carbinatum delubra congregarunt, in quibus ipſi ſedem figentes nuda illorum corpora totum diem ſpectanda expoſuerunt: ut, cuicumque libitum eſſet, is tamquam in miſerum gregem inſiliens, congregatarum flore ſuas cupiditates expleret, ſpectantibus omnibus, maxime vero, quos illi minime cogitabant, Diis. Quo flagitio ita indignatum eſt Dei numen, ut, quotquot ex Tarentinis illud ſcelus admiſerant, eos omnes fulmine percuſſos deleret. Et ad hunc usque diem Tarenti unaquaeque domus, quot illa olim ceperat ex his qui in Iapygiam miſſi erant, tot cippos habet pro foribus: ad quos cippos, redeunte eo die quo illi perierunt, neque lamentantur mortuos, neque conſuetis inferiis honorant, ſed Iovi Fulminatori ſacra faciunt. «

24. *Iapygum* vero genus e Creta oriundum erat,

κατὰ Γλαύκου [1] ζήτησιν ἀφικομένων καὶ κατοικησάν-
a των· οἳ μετὰ τούτους λήθην λαβόντες τῆς Κρητῶν περὶ
τὸν βίον εὐκοσμίας, εἰς τοῦτο τρυφῆς, εἶθ' ὕστερον
ὕβρεως, ἦλθον, ὥστε πρῶτοι τὸ πρόσωπον ἐντριψάμε-
νοι, καὶ προκόμια περίβετά τε λαβόντες, στολὰς μὲν
ἀνθινὰς φορῆσαι, τὸ δὲ ἐργάσασθαι καὶ πονεῖν αἴσχιον
νομίσαι· καὶ τοὺς μὲν πολλοὺς αὐτῶν καλλίονας τὰς
οἰκίας ποιῆσαι τῶν ἱερῶν· τοὺς δὲ ἡγεμόνας τῶν Ἰα-
πύγων ἐφυβρίζοντας τὸ θεῖον, πορθεῖν ἐκ τῶν ἱερῶν τὰ
b τῶν θεῶν ἀγάλματα, προεισπόντας μεθίστασθαι τοῖς
Κρείττοσι. Διόπερ ἐξ οὐρανοῦ βαλλόμενοι πυρὶ καὶ
χαλκῷ, ταύτην διέδοσαν τὴν φήμην. ἐμφανῆ [2] γὰρ
ἦν μέχρι πόρρω κεχαλκευμένα τῶν ἐξ οὐρανοῦ βελῶν· [3]
καὶ πάντες οἱ ἀπ' ἐκείνων μέχρι τήμερον ἐν χρῷ κε-

1 Immo κατὰ Δαιδάλου ζήτησιν. 2 ἐφάνη γὰρ ἦν μέχρι Ms.
3 βολῶν edd.

ab illis Cretenſibus derivatum, qui, quum Glaucum [*ſive potius* Daedalum] quaeſituri exiiſſent, in eas oras venerant ibique fortunarum ſedes fixerant. Sed poſt hos illi, obliti modeſtae Cretenſium vitae, eo luxuriae, & ad extremum contumeliae progreſſi ſunt, ut primi faciem fuco intriverint, & capronas & adſcititias comas ſumentes, ſtolas geſtarent floridas, opus facere autem & laborare probrum ducerent; utque vulgo elegantiores haberent privatas aedes quam Deorum templa: denique ut duces Iapygum, adverſus Deorum numina contumelioſi, ex ipſis templis ſigna Deorum raperent, praedicentes Divis curandum eſſe ut alio migrent. Quare igne & aere de coelo percuſſi ſunt, ut quidem pervulgata ad poſteros fama eſt: nam etiam longo poſt tempore ſupererant aenea tela, quibus ſunt percuſſi: & omnes ab illis inde temporibus usque ad hunc diem ad

καρμέιοι καὶ πένθιμον στολὴν [1] ἀμπεχόμενοι ζῶσι, παντων τῶν πρὶν ὑπαρξάντων ἀγαθῶν σπανίζοντες.

XXV. Iberi. Maſſilienſes. Siritarum mollities.

Ἴβηρες δὲ, καίτοι ἐν τραγικαῖς [2] στολαῖς καὶ ποικίλαις προϊόντες, καὶ χιτῶσι ποδήρεσι χρώμενοι, οὐδὲν ἐμποδίζονται τῆς πρὸς τοὺς πολέμους ῥώμης. c Μασσαλιῶται δ' ἐθηλύνθησαν, οἱ τὸν αὐτὸν Ἴβηρσι τῆς ἐσθῆτος φοροῦντες κόσμον. ἀσχημονοῦσι γοῦν διὰ τὴν ἐν ταῖς ψυχαῖς μαλακίαν, διὰ τρυφὴν γυναικοπαθοῦντες. ὅθεν καὶ παροιμία παρῆλθεν, Πλεύσαις [3] εἰς Μασσαλίαν. Καὶ οἱ τὴν Σίριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δὲ Κολοφώνιοι, [4] ὥς φησι Τίμαιος καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν. καὶ γὰρ ἰδίως παρ' αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀν- d θινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι· καὶ

1 στολὴν πένθιμον edd. & ms. *Ep.* 2 τρατικαῖς ms. *A.* στρατηγικαῖς ms. *Ep.* 3 Πλεύσεισιν ms. *Ep.* 4 Vulgo ὕστερον δ' ὑπὸ Κολοφωνίων.

cutem usque tonſi lugubrique veſte induti vivunt, omni priſtinorum bonorum copiâ carentes.

25. *Iberi* vero licet tragicis ſtolis variegatisque incedant, & tunicis utantur talaribus, nihilo minus validi ſunt fortesque ad bella gerenda. At *Maſſilienſes*, eodem cum Iberis veſtium cultu utentes, ad ignaviam foemineumque animum declinarunt, in turpi mollitie viventes, & prorſus muliebriter voluptatibus libidinique indulgentes. Unde etiam vulgatum eſt proverbium, *Maſſiliam naviges!* Porro qui *Sirin* habitant, quam tenuerant primum qui e Troia venere, deinde Colophonii, ut ait Timaeus & Ariſtoteles, in luxuriam mollitiemque prolapſi ſunt nihilo minorem quam quae fuerat Sybaritarum. Apud illos enim proprius patriusque mos fuit floridas geſtare tunicas, pretioſis faſciis mitris-

ἐκαλοῦντο διὰ τοῦτο [1] ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ. καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν. περὶ γοῦν τῆς Θάσου λέγων, ὡς ἥσσονος, φησίν·

Οὐ γάρ τι καλὸς χῶρος, οὐδ' ἐρίμερος,
οὐδ' ἐρατὸς, [2] οἷος ἀμφὶ Σίριος [3] ῥοάς.

Ὠνομάσθη δ' ἡ Σίρις, ὡς μὲν Τίμαιός φησι, καὶ Εὐριπίδης ἐν Δεσμώτιδι ἢ Μελανίππῃ, ἀπὸ γυναικός τινος Σίριδος· ὡς δ' Ἀρχίλοχος, ἀπὸ ποταμοῦ. Οὐκ ὀλίγον δὲ πρὸς τὴν τρυφὴν καὶ τὴν εὐδαιμονίαν τοῦ σύμπαντος τούτου κλίματος, καὶ τὸ πλῆθος ἐγένετο τῶν ἀνθρώπων. διὸ καὶ Μεγάλη Ἑλλὰς ἐκλήθη πᾶσα σχεδὸν, ἡ κατὰ τὴν Ἰταλίαν κατοίκησις.

XXVI. Mileſiorum luxuria.

„Μιλήσιοι δ', ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τὰς τε ἐφ' Ἑλλησ-

1 διὰ τούτων edd. 2 Immo ἢ ἐρατός. 3 Temere Σύριος ed. Caſ.

que praecinctas: quare a finitimis *mithrochitones* (quaſi, *faſciis-tunicati*) adpellabantur, quoniam discinctos Homerus ἀμιτροχίτωνας vocat. Miratur vero etiam Archilochus poëta regionem Siritarum opulentiae cauſſâ: nam de Thaſo loquens, ut illâ inferiore, ait:

Non ſane pulcer ille locus, nec delectabilis,
aut amabilis, ut is quem Siris perfluit.

Nomen autem habet Siris, ut quidem Timaeus ait, & Euripides in Captivâ vel Melanippe, a muliere quadam, cui Siris nomen fuerat; ut autem Archilochus, a fluvio. Pro ratione luxus autem & opulentiae totius illius plagae haud exigua quoque fuit hominum frequentia: propter quam etiam tota illa pars Italiae, quae a Graecis habitatur, *Magna Graecia* nominata eſt.

26. »*Mileſii* vero, ut ſcribit Ephorus, quousque voluptatibus non indulſerunt, Scythas vicerant, & ad

πόντῳ πόλεις ἔκτισαν, καὶ τὸν Εὔξεινον πόντον κατῴκισαν πόλεσι λαμπραῖς· καὶ πάντες ἐπὶ τὴν Μίλητον ἔθεον. ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερ- f
ρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν,

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι."

Ἡρακλείδης δ' ὁ Ποντικὸς, ἐν δευτέρῳ Περὶ Δικαιοσύνης, φησίν· „Ἡ Μιλησίων πόλις περιέπεσεν ἀτυχίαις διὰ τρυφὴν βίου, καὶ πολιτικὰς ἔχθρας· οἳ τὸ ἐπιεικὲς οὐκ ἀγαπῶντες, ἐκ ῥιζῶν ἀνεῖλον τοὺς ἐχθρούς. a
στασιαζόντων γὰρ τῶν τὰς οὐσίας ἐχόντων καὶ τῶν
Gergithes Milesii. δημοτῶν, οὓς ἐκεῖνοι Γέργιθας [1] ἐκάλουν, πρῶτον μὲν κρατήσας ὁ δῆμος, καὶ τοὺς πλουσίους ἐκβαλὼν, καὶ συναγαγὼν τὰ τέκνα τῶν Φυγόντων εἰς ἀλωνίας, [2] βοῦς συναγαγόντες συνηλοίησαν, [3] καὶ παρανομωτάτῳ θανάτῳ διέφθειραν. τοιγάρτοι πάλιν οἱ πλούσιοι

1 Γεγίθας edd. Γέργηθας *Epit.* & sic deinde Γεργήθων. 2 ἄλωνας ms. *Epit.* 3 συνηλλοίησαν edd.

Hellespontum civitates condiderant, & Euxinum Pontum splendidis coloniis frequentaverant: & omnes Miletum confluebant. Postquam vero voluptatibus & luxuriae succubuerunt, enervatum concidit civitatis robur, ut ait Aristoteles, & enatum est in eos proverbium:

Fortes olim fuerant Milesii. «

Heraclides vero Ponticus, secundo libro de Iustitiâ, scribit: »Milesiorum civitas in calamitates incidit ob vitae luxuriam & ob civiles inimicitias; cum, spretâ omni moderatione, radicitus delerent inimicos. Etenim dissidentibus inter se locupletibus & plebeiis, quos illi *Gergithas* vocabant, primum superior discedens plebs, electis locupletibus, liberos exsulum in areas frumentarias congregatos bobus conterendos tradidere, & iniustissimâ nece sustulerunt. Quare rursus divites, rerum

κρατήσαντες, ἅπαντας ὧν κύριοι κατέστησαν μετὰ τῶν τέκνων κατεπίττωσαν. ὧν καιομένων, φασὶν, ἄλλα τε πολλὰ γενέσθαι τέρατα, καὶ ἐλαίαν ἱερὰν αὐτομάb την ἀναφθῆναι. διόπερ ὁ θεὸς ἐπὶ πολὺν χρόνον ἀπήλαυνεν αὐτοὺς τοῦ μαντείου, καὶ ἐπερωτώντων διὰ τίνα αἰτίαν ἀπελαύνονται, εἶπεν·

Καί μοι Γεργίθων τε φόνος μέλει ἀπτολεμίστων,[1]
πισσήρων τε μόρος, καὶ δένδρεον[2] αἰεὶ ἀθαλλές.[3]

Κλέαρχος δ', ἐν τετάρτῳ, ζηλώσαντάς φησι τοὺς Μιλησίους τὴν Κολοφωνίων τρυφὴν, διαδοῦναι καὶ τοῖς πλησιοχώροις· ἔπειτ' ὀνειδιζομένους, λέγειν ἑαυτοῖς· „Οἶκοι τὰ Μιλήσια κἀπιχώρια, καὶ μὴ ἐν τῷ μέσῳ."

XXVII. Scytharum luxuria & crudelitas.

c Καὶ περὶ Σκυθῶν δ' ἑξῆς ὁ Κλέαρχος τάδε ἱστορεῖ· „Μόνον δὲ νόμοις κοινοῖς πρῶτον ἔθνος ἐχρήσατο τὸ Σκυθῶν· εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν διὰ τὴν ὕβριν. ἐτρύφησαν μὲν γὰρ, ὡς εὐ-

1 ἀπτολεμίστῳ edd. 2 δένδρεον edd. 3 ἀειθαλές vulgo.

poſtea potiti, cunctos qui in poteſtatem venerunt pice obductos unà cum liberis cremarunt. Qui dum conflagrabant, cum alia accidiſſe prodigia memorant, tum ſacram oleam ſua ſponte concepto igne conflagraſſe. Quapropter in longum inde tempus ab oraculo ſuo illos repulit Deus, & quaerentibus cur repellerentur reſpondit:

Et caedes Gergithum mihi curae eſt inermium,
& picatorum fatum, & arbuſcula torrida ſemper.

Clearchus vero, quarto libro, ait: Mileſios Colophoniorum luxuriam aemulatos, eamdem finitimis etiam tradidiſſe; deinde cum id illis exprobraretur, dixiſſe ipſos ſibi: *Domi Mileſia & patria; non in medio.*

27. Tum ibidem deinde Clearchus de *Scythis* haec tradit: »Una legibus communibus primum uſa erat gens Scytharum; deinde rurſus omnium fuerunt miſerrimi mortalium ob contumeliam iniuriamque. Luxuriae enim

δένες ἕτεροι, τῶν πάντων εὐροίας καὶ πλούτου καὶ τῆς λοιπῆς αὐτοὺς χορηγίας κατασχούσης. τοῦτο δὲ [1] δῆλον ἐκ τῆς ἔτι καὶ νῦν ὑπολειπούσης [2] περὶ τοὺς ἡγεμόνας αὐτῶν ἐσθῆτός τε καὶ διαίτης. τρυφήσαντες δὲ καὶ μάλιστα δὴ, καὶ πρῶτοι πάντων τῶν ἀνθρώπων ἐπὶ d τὸ τρυφᾶν ὁρμήσαντες, εἰς τοῦτο προῆλθον ὕβρεως, ὥστε πάντων τῶν ἀνθρώπων εἰς οὓς ἀφίκοιντο ἠκρωτηρίαζον τὰς ῥῖνας· ἀφ' ὧν οἱ ἀπόγονοι μεταστάντες, ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. αἱ δὲ γυναῖκες αὐτῶν τὰς Θρᾳκῶν, τῶν πρὸς ἑσπέραν καὶ ἄρκτον τῶν περισίκων, [3] γυναῖκας ἐποίκιλλον τὰ σώματα, περόναις γραφὴν ἐνεῖσαι. ὅθεν πολλοῖς ἔτεσιν ὕστερον αἱ ὑβρισθεῖσαι τῶν Θρᾳκῶν γυναῖκες ἰδίως ἐξηλείψαντο τὴν συμφορὰν, προσαναγραψάμεναι τὰ e λοιπὰ τοῦ χρωτός· ἵν' ὁ τῆς ὕβρεως καὶ τῆς αἰσχύνης

1 Deeſt δὲ edd. 2 ὑπολιπούσης Ms. 3 Forſ. περισίκων γυναῖκας, *absque* τῶν.

dediti erant, ut nemo alius populus magis, cum omnium rerum ſucceſſu uterentur, & divitiis omnibusque copiis abundarent. Adparet id autem etiam nunc ex veſtitu & vitae genere, quo hodieque duces eorum utuntur. Voluptati igitur maxime dediti, & primi omnium hominum in luxuriam effuſi, eo progreſſi ſunt contumeliae, ut, quocumque venirent, nares hominum decurtarent. Quorum nepotes, poſtquam aliò migrarunt, etiam nunc ab ea contumelia nomen habent. Uxores vero Scytharum corpora mulierum Thracicarum, eorum Thracum qui ab occidente & a ſeptentrione Scythis finitimi ſunt, variegarunt, ſubulis picturas quasdam cuti illarum inſerentes. Quare multis poſt annis Thracicae mulieres, quae eam contumeliam paſſae erant, proprio quodam modo calamitatis notam deleverunt, reliquam etiam inſuper cutem totam picturis variegantes:

ἐπ' αὐταῖς χαρακτῆρ, εἰς ποικιλίαν καταριθμηθεὶς, κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. Πάντων δὲ οὕτως ὑπερηφάνως προέστησαν, ὥστε οὐδένων ἄδακρυς ἡ τῆς δουλείας ὑπουργία γιγνομένη διηγγειλεν εἰς τοὺς ἐπιγιγνομένους τὴν ἀπὸ Σκυθῶν ῥῆσιν οἵα τις ἦν. διὰ τὸ πλῆθος οὖν τῶν κατασχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον καὶ f τὰς κόμας περιεσπάσθησαν παντὸς ἔθνους, οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀπεσκυθίσθαι [1] προσηγόρευσαν.

XXVIII. Τοὺς δὲ σύμπαντας Ἴωνας ἐπισκώπτων [2] Καλλίας, ἢ Διοκλῆς, ἐν Κύκλωψι, φησίν·

Ionum luxuria. Τί γὰρ ἡ τρυφερὰ, καὶ καλλιτράπεζος Ἰωνία, [3] εἶθ' ὅ τι πράσσει. —

Abydenorum. Καὶ Ἄβυδηνοὶ (Μιλησίων δ' εἰσὶν ἄποικοι) ἀνειμένοι [4] τὴν δίαιταν εἰσιν, καὶ κατεαγότες, ὡς παρίστη-

1 ἀποσκυθίσαι edd. 2 Temere ἐπισκώπτων ed. Caſ. 3 Temere Ἰωνίας ed. Caſ. 2. & 3. 4 καὶ ἀνειμένοι edd.

ut iniuriae & contumeliae nota quae illis inerat, varie atque varie multiplicata, ornatus nomine deleret probrum. Cunctis autem ita ſuperbe Scythae imperarunt, ut ſervitutis miniſteria, quae nemini non lacrymoſa erant, etiam poſteris declararent, quid illud fuerit quod *a Scythis dictum* vulgo aiunt. Propter multitudinem igitur malorum quae illos premebant, quoniam ob luctum ſimul vitae commoditates & comae cuiusque circumcirca populi abstrahebantur, externi populi *tonſuram quae fit contumeliae cauſſa*, ἀπεσκυθίσθαι vocarunt.

28. Omnes in univerſum *Ioniae* civitates irridens Callias ſive Diocles in Cyclopibus, ait:

Quid ergo delicata, & pulcras-menſas-amans Ionia, dic, quaeſo, quid agit?

Etiam *Abydeni* (ſunt autem hi Mileſiorum coloni) ſolutiorem amant vitam & voluptatibus fracti ſunt; ut te-

σιν Ἑρμιππος ἐν Στρατιώταις·

[Α.] Χαίρω διαπόντιον στράτευμά τι πραττόμενος,[1]
τὰ μὲν πρὸς ὄψιν μαλακῶς ἔχειν[2] ἀπὸ σώματος,
κόμῃ τε νεανικῇ, Φρίγει τε[3] βραχιόνων. a

[Β.] Ἡισθου τὴν Ἄβυδον ὡς ἀνὴρ γεγένηται. [;]

καὶ Ἀριστοφάνης Τριφάλητι, παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων·

Ἔπειθ' ὅσοι παρῆσαν ἐπίσημοι ξένοι,
ἐπηκολούθουν, κηντιβόλουν προσκείμενοι,
ὅκως[4] ἔχων[5] τὸν παῖδα πωλήσει 'ς[6] Χῖον·
ἕτερος δ', ὅκως ἐς Κλαζομένας· ἕτερος δ', ὅκως
ἐς Ἔφεσον·[7] οἱ δ', ἐς Ἄβυδον. ἦν δὲ πάνθ' ὁδῷ[8]
ἐκεῖνα. — b

Περὶ δὲ τῶν Ἀβυδηνῶν Ἀντιφῶν, ἐν τῷ κατ' Ἀλκιβιάδου λοιδορίας, οὕτως· „Ἐπειδὴ ἐδοκιμάσθης ὑπὸ

1 πραττομέναν Ms. 2 Forf. ἔχον. 3 σφρίγει τε legebam. χλίδει τε corr. Caſ. 4 ὅπας h. l. Ms. quod & dein pro ὅκως poſuerunt viri docti. 5 ἄγων Toup. & Brunck. 6 πωλήσεις vulgo. πωλῆς εἰς corr. Toup. πωλήσοι 'ς Br. 7 εἰς Ἔφ. & εἰς Ἄβ. vulgo. 8 Vulgo, ἦν δ' ἐκεῖνα πάνθ' ὁδῷ.

ſtatur Hermippus in Militibus:

A. Gaudeo trans mare exercitum comparare,
corpore ad ſpeciem qui ſit molliusculo,
& coma iuvenili, brachiisque turgidulis.
B. Intellexiſti Abydum virum eſſe factum?

Et Ariſtophanes, in Triphalete, multas Ionicas civitates perſtringens, ait:

Deinde qui aderant illuſtres hoſpites,
proſecuti ſunt eum, & impenſe rogarunt,
ut puerum ſecum ſumens venderet Chium;
alius, ut Clazomenas; alius, ut
Epheſum; alius rurſus Abydum. Erant autem in viâ
omnia iſta loca. —

De Abydenis vero Antiphon, in Oratione contra Alcibiadem ob maledicta in ſe conjecta, ſic loquitur: »Poſt-

τῶν ἐπιτρόπων, παραλαβὼν παρ' αὐτῶν τὰ σαυτοῦ [1] χρήματα, ὤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν, οὔτε προξενίας οὐδεμιᾶς ἕνεκεν· ἀλλὰ τῇ σαυτοῦ παρανομίᾳ [2] καὶ ἀκολασίᾳ τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησόμενος παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ βίῳ σαυτοῦ ἔχοις [3] χρῆσθαι αὐτοῖς."

XXIX. Epheſiorum luxuria.

c Ἀπώλοντο δὲ [4] καὶ Μάγνητες, οἱ πρὸς τῷ Μαιάνδρῳ, διὰ τὸ πλέον ἀνεθῆναι, ὡς φησι Καλλινος [5] ἐν τοῖς Ἐλεγείοις, καὶ Ἀρχίλοχος. ἐάλωσαν γὰρ ὑπὸ Ἐφεσίων. Καὶ περὶ αὐτῶν δὲ τῶν Ἐφεσίων Δημόκριτος Ἐφέσιος, ἐν τῷ προτέρῳ Περὶ τοῦ ἐν Ἐφέσῳ Ναοῦ, διηγούμενος περὶ τῆς χλιδῆς αὐτῶν, καὶ ὧν ἐφόρουν βαπτῶν ἱματίων, γράφει καὶ τάδε· „Τὰ δὲ τῶν Ἰώνων ἰοβαφῆ καὶ πορφυρᾶ, καὶ κρόκινα ῥόμβοις ὑφαν-

1 τὰ αὐτοῦ Ms. 2 παροινίᾳ malebat Ruhnk. 3 ἴχῃς edd. 4 δὴ edd. 5 Apud alios Καλλῖνος ſcribitur.

eaquam idoneum te iudicarunt tutores tui, qui res tuas ipſe adminiſtrares, acceptis ab illis bonis tuis, abiiſti Abydum navigans; non quo debitum ibi aliquod tuum exigeres, aut hoſpitii publici cauſſa quidpiam ordinares: ſed ut ab Abydenis mulierculis inſtituta diſceres protervo tuo ingenio libidinique tuae conſentanea, quibus deinde in reliqua vita pro tuis utereris.«

29. Perierunt vero etiam *Magnetes*, illi qui ad *Maeandrum* incolunt, eo quod voluptatibus nimis indulſerant, ut ait Callinus in Elegiis, & Archilochus. Nam in ſervitutem redacti ſunt ab Epheſiis. De ipſis porro *Epheſiis* Democritus Epheſius primo libro de Templo Epheſio, luxuriam eorum exponens & pictas quas geſtabant veſtes, haec ſcribit: »Veſtes Ionum violacei ſunt coloris, & purpurei, & crocei, intextis rhombis:

τά· αἱ δὲ κεφαλαὶ κατ' ἴσα διειλημμέναι ζώοις. καὶ σαράπεις μήλινοι καὶ πορφυροῖ, καὶ λευκοὶ, οἱ δὲ d ἁλουργεῖς. καὶ καλασίρεις Κορινθιουργεῖς· εἰσὶ δὲ αἱ μὲν πορφυραῖ τούτων, αἱ δὲ ἰσβαφεῖς, αἱ δὲ ὑακίνθινοι· [1] λάβοι δ' ἄν τις καὶ φλογίνας, καὶ θαλασσοειδεῖς. ὑπάρχουσι δὲ καὶ Περσικαὶ καλασίρεις, αἵπερ εἰσὶ κάλλισται πασῶν. ἴδοι δ' ἄν τις, φησὶ, καὶ τὰς καλουμένας ἀκταίας, ὅπερ ἐστὶ καὶ πολυτελέστατον ἐν τοῖς Περσικοῖς περιβλήμασι. ἔστι δὲ τοῦτο σπαθητὸν ἰσχύος καὶ κουφότητος χάριν· καταπέπλασται [2] δὲ χρυσοῖς κέγχροις· οἱ δὲ κέγχροι νήματι πορφυρῷ πάντες εἰς τὴν εἴσω μοῖραν ἄμματ' ἔχουσιν ἀνὰ μέ- e σον." Τούτοις πᾶσι χρῆσθαί φησι τοὺς Ἐφεσίους, ἐπιδόντας εἰς τρυφήν.

XXX. Samii luxurioſi.

Περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις ἱστορῶν, παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας

1 ὑάκινθοι edd. cum ms. *A.* ὑακίνθιναι *Epit.* 2 καταπέπαστται legebam.

ſummitates vero aliis formis figurisque aequabiliter diſtinctae. *Sarapes* item lutei, & purpurei, & albi: alii, marinâ purpurâ tincti. Tum *calaſires*, opere Corinthio confectae: quarum aliae purpureae ſunt, aliae violaceae, aliae hyacinthinae; videas etiam flammeas, & marini coloris. Sunt vero etiam Perſicae calaſires, quae ſunt omnium pulcerrimae. Videas etiam quas *Actaeas* vocant: quod ex omnibus Perſicis amiculis pretioſiſſimum eſt. Eſt autem hoc denſe textum, ut ſimul firmum ſit & leve: & aureis milii granis conſperſum; & quodlibet granum filo purpureo per medium transeunte in interiori amiculi latere revinctum eſt.« His omnibus uti ait Epheſios, in luxuriam effuſos.

30. De *Samiorum* luxu verba faciens Duris, adponit Aſii carmen, quo ait poëta geſtaſſe illos armillas

περὶ τοῖς βραχίοσι,[1] καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε „Βαδίζειν Ἡραῖον ἐμπεπλεγμένον." Ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα·

f Οἱ δ' αὖτως φοίτεσκον,[2] ὅπως πλοκάμους κτενίσαιντο, Asii poëtae versus.

εἰς Ἥρας τέμενος, πεπυκασμένοι εἵμασι καλοῖς,
χιονέοισι χιτῶσι πέδον χθονὸς εὐρέος ἵκον·[3]
χρύσειαι δὲ κόρυμβαι ἐπ' αὐτῶν, τέττιγες ὥς·
χαῖται δ' ἐρρώοντ' ἀνέμῳ[4] χρυσέοις ἐνὶ δεσμοῖς·[5]
δαιδαλέοι δὲ χλιδῶνες ἀρ' ἀμφὶ βραχίοσιν ἦσαν,[5]
. . . . ἦσαντες ὑπασπίδιον πολεμιστήν.[6]

Ἡρακλείδης δ' ὁ Ποντικὸς, ἐν τῷ περὶ Ἡδονῆς, Σαμίους, φησὶ, καθ' ὑπερβολὴν τρυφήσαντας, διὰ τὴν

1 Temere βραχίωσι ed. Caſ. 1. & 3. 2 φοιτέεσκον Ms. 3 εἶχον vulgo. 4 ἀρευτανέμῳ edd. δ' ἀρευτανέμῳ Ms. 5 ἀμφιβραχίοσι edd. in fine verſus. Dein initio vſ. ſeq. ἦσαντες ὑπασπ. 6 ὥσπερ ὑπασπιδίῳ πολεμιστῇ coni. Caſ.

circa brachia, & feſtum Iunonis agentes incedere ſolitos eſſe comâ depexâ & in cervicem & humeros reiectâ. Eiusdemque moris documentum, ait Duris, eſſe etiam proverbium hoc, *Incedere Iunonium implexis capillis.* Sunt autem Aſii verſus huiusmodi:

Hi vero ita incedebant, ut cincinnos haberent depexos,
Iunonis in templum, pulcris ornati amiculis:
niveae tunicae ad latae terrae ſolum deſcendebant;
aurei corymbi ſuperne, velut cicadae;
capilli vero, ſub aureis vinculis, vento agitabantur;
& daedaleae armillae circa brachia erant:
. . . . . *clypeo tectum bellatorem.*

Heraclides vero Ponticus, in libro de Voluptate: Samios, ait, poſtquam mirum in modum luxuriae indul-

πρὸς ἀλλήλους μικρολογίαν, ὥσπερ[1] Συβαρίτας, τὴν πόλιν ἀπολέσαι.

XXXI. Colophonii.

Κολοφώνιοι δ', ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης φησίν·

Ἀφροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὅφρα τυραννίης[2] ἦσαν ἐπὶ στυγερῆς, b
ἦεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ἤπερ[3] χίλιοι εἰς ἐπίπαν·
αὐχαλέοι[4] χαίτῃσιν ἀγαλλόμεν'[5] εὐπρεπέεσσιν,
ἀσκητοῖς ὀδμὴν[6] χρίμασι[7] δευόμενοι.

Οὕτω δ' ἐξελύθησαν διὰ τὴν ἄκαιρον μέθην, ὥστε τινὲς αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον οὔτε δυόμενον ἑωρᾶ-

1 ὥστε edd. 2 τυραννείης malim. 3 ὥσπερ Ms. Forſ. debuerat ἤπερ χίλιοι ὡς ἐπίπαν. 4 αὐχμαλέοι ed. Caſ. 5 ἀγαλλόμενοι ed. Ven. & Baſ. Forſ. ἀγαλλέμεν. 6 ὀδμῇ edd. 7 χρίμασι Ms. χρίσμασι ed. Caſ.

ſiſſent, per contentiones inter ipſos ex avaritiâ, quemadmodum Sybaritas, civitatem ſuam perdidiſſe.

31. *Colophonii* vero, ut ait Phylarchus, durum initio vitae inſtitutum ſecuti, poſtquam initâ cum Lydis amicitiâ & ſocietate ad luxuriam deflexerunt, in publicum prodibant comâ aureo ornatu ſtudioſe inſtructâ, quemadmodum etiam Xenophanes dixit:

Stultitias a Lydis edocti inutiles,
quo illi tempore odioſum imperium tenuerunt:
prodibant in forum purpureis veſtiti palliis,
haud pauciores quam mille omnino:
gloriantes ornari comis venuſte compoſitis,
exquiſitis odore unguentis madentes.

Adeo vero in voluptates & intempeſtivam temulentiam erant effuſi, ut nonnulli illorum nec orientem ſolem

κασιν. νόμον τε ἔθεντο, ὃς ἔτι καὶ [1] ἐφ' ἡμῶν ἦν, τὰς
c αὐλητρίδας καὶ τὰς ψαλτρίας, καὶ πάντα τὰ τοιαῦτα τῶν ἀκροαμάτων, τὰ μισθώματα λαμβάνειν ἀπὸ πρωῒ μέχρι μέσης [2] ἡμέρας, καὶ μέχρι λύχνων ἁΦῶν· ἀπὸ δὲ τούτου τὴν λοιπὴν νύκτα ἦσαν πρὸς τῷ μεθύειν. Θεόπομπος δ', ἐν πεντεκαιδεκάτῃ [3] Ἱστοριῶν· „χιλίους, Φησὶν, ἄνδρας αὐτῶν ἀλουργεῖς Φοροῦντας στολὰς ἀστυπολεῖν· ὃ δὴ καὶ [4] βασιλεῦσι σπάνιον τότ' ἦν καὶ περισπούδαστον. ἰσοστάσιος γὰρ ἦν ἡ πορΦύρα πρὸς ἄργυραν ἐξεταζομένη. τοιγαροῦν διὰ τὴν τοιαύτην ἀγωγὴν ἐν τυραννίδι καὶ στάσεσι γενόμενοι, αὐτῇ πα-
d τρίδι διεΦθάρησαν." Ταυτὰ εἴρηκε περὶ αὐτῶν καὶ Διογένης ὁ Βαβυλώνιος, ἐν τῷ πρώτῳ τῶν Νόμων. Κοινῶς δὲ περὶ πάντων τῶν Ἰώνων τρυΦῆς Ἀντιφάνης ἐν Δωδώνῃ τάδε λέγει· Iones universi luxuriosi.

1 Temere ἔτι τε ἐφ' ἡμ. edd. 2 μέχρι μέσου ἡμέρας Ms.
3 πεντεκαιδεκάτῳ edd. 4 ὅθεν καὶ vulgo.

nec occidentem umquam viderint. Legemque tulerunt, quae etiam nunc obſervatur, ut tibicinae & cantatrices & alia eius generis acroamata mercedem acciperent a mane usque ad meridiem, & quoad lucernae accenderentur: ab illo vero tempore reliquam noctem potando & inebriando transigebant. Theopompus vero, Hiſtoriarum libro decimo quinto, ſcribit: »mille ex Colophoniis civibus purpureis ſtolis amictos per urbem inceſſiſſe: quod indumenti genus etiam regibus tunc rarum & ſtudioſe expetitum eſſe conſtat. Nam purpurea veſtis, ad pondus exacta, aequali pondere argenti aeſtimabatur. Quare ob hoc vitae inſtitutum tyrannidi & inteſtinis diſſenſionibus impliciti, ſimul cum patriâ perierunt.« Eadem de illis ſcripſit Diogenes Babylonius primo libro de Legibus. In univerſum vero de omnium *Ionum* luxu Antiphanes, in Dodonâ, haec dicit:

Πόθεν οἰκήτωρ εἶ; τίς [1] Ἰώνων
τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθὴς
ὄχλος ὥρμηται;

Θεόφραστος δ', ἐν τῷ Περὶ Ἡδονῆς, καὶ δὴ καὶ τοὺς Ἴωνας, φησὶ, διὰ τὴν ὑπερβολὴν τῆς τρυφῆς ἔτι καὶ νῦν ἡ χρυσῆ παροιμία διαμεμένηκε. [2]

XXXII. Byzantii.

Καὶ τῶν παρωκεανιτῶν δέ τινας φησὶ Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν ἁβροδιαίτους γενέσθαι. Περὶ δὲ Βυζαντίων καὶ Χαλκηδονίων ὁ αὐτός φησι Θεόπομπος ταδε· „Ἦσαν δὲ οἱ Βυζάντιοι, καὶ διὰ τὸ δημοκρατεῖσθαι πολὺν ἤδη χρόνον, καὶ τὴν πόλιν ἐπ' ἐμπορίου κειμένην ἔχειν, καὶ τὸν δῆμον ἅπαντα περὶ τὴν ἀγορὰν καὶ τὸν λιμένα διατρίβειν, ἀκόλαστοι καὶ συνουσιαζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ τῶν καπηλείων. [3]

1 Πόθεν οἰκήτωρ; ἢ τίς Ἰώναν edd. cum ms. *A*. 2 Desideres tale aliquid, διὰ τὴν ὑπερβολὴν τῆς τρυφῆς ἀφορμὴν διδόναι τῇ παροιμίᾳ. ἔτι δὲ καὶ νῦν ἡ χρῆσις τῆς παροιμίας διαμεμένηκε. 3 καπηλίων edd.

Cuius loci incola ades? quaenam Ionum delicatá-veſte-utentium mollis & voluptaria turba huc venit?

Theophraſtus vero, libro De Voluptate, ait: »Et nimirum ob immodicam Ionum luxuriam in proverbium *Ionicas mollities* abiit.« Eiusdem autem proverbii uſus ad hunc usque diem obtinuit.

32. Etiam oceani accolarum nonnullos molli vitae generi deditos fuiſſe, ſcribit Theopompus octavo libro Philippicorum. De *Byzantiis* vero & *Chalcedoniis* haec ſcribit idem Theopompus: »Erant autem Byzantii, cum ob popularem ſtatum qui per longum iam tempus in illorum civitate obtinuerat, tum quod ſitus urbis ad mercaturam eſſet opportunus, quodque univerſus populus in foro & in portu conſtanter verſaretur, libidinoſi & ad comeſſandum compotandumque in caupo-

Καλχηδόνιοι [1] δὲ πρὶν μὲν μετασχεῖν αὐτοῖς τῆς πο- Chalcedo-
λιτείας, ἅπαντες ἐν ἐπιτηδεύμασι καὶ βίῳ βελτίονι nii.
διετέλουν ὄντες. ἐπεὶ δὲ τῆς δημοκρατίας τῶν Βυζαν-
f τίων ἐγεύσαντο, διεφθάρησαν εἰς τρυφὴν, καὶ τὸν καθ'
ἡμέραν βίον ἐκ σωφρονεστάτων καὶ μετριωτάτων φι-
λοπῶται [2] καὶ πολυτελεῖς γενόμενοι." Καὶ τῇ πρώ-
τῃ δὲ πρὸς ταῖς εἴκοσι τῶν Φιλιππικῶν, τὸ τῶν Ὀμ- Umbri.
βρίκων φησὶν ἔθνος, ἔστι δὲ περὶ [3] τὸν Ἀδρίαν, ἐπιει-
κῶς εἶναι ἀβροδίαιτον, παραπλησίως τε βιοτεύειν τοῖς
a Λυδοῖς, χώραν τε ἔχειν ἀγαθὴν, ὅθεν προελθεῖν εἰς εὐ-
δαιμονίαν.

Περὶ δὲ Θετταλῶν λέγων ἐν τῇ τετάρτῃ, φησίν· XXXIII.
ὅτι „ζῶσιν οἱ μὲν σὺν ταῖς ὀρχηστρίσι καὶ ταῖς αὐλη- Theſſali
τρίσιν [4] διατρίβοντες, οἱ δ' ἐν κύβοις καὶ πότοις καὶ luxurioſi.
ταῖς τοιαύταις [5] ἀκολασίαις διημερεύοντες· καὶ μᾶλ-
λον σπουδάζουσιν, ὅπως ὄψων παντοδαπῶν τὰς τρα-

1 Χαλκηδόνιοι edd. 2 φιλοπόται edd. cum ms. *Ep.* 3 πρὸς τὸν Ἀδ. edd. 4 Deſunt tria verba edd. 5 τοιαύταις deeſt ed. Caſ.

nis adſueti. *Chalcedonii* vero, priusquam illorum reipublicae fuiſſent participes, univerſi conſtanter melioribus inſtitutis & honeſtiore vita uſi erant: poſtquam vero popularem Byzantiorum ſtatum guſtarunt, in luxuriam corrupti ſunt, in quotidiana etiam vita ex moderatiſſimis & temperantiſſimis bibaces facti & ſumtuoſi.« Libro vero primo & viceſimo Philippicorum, *Umbrorum* gentem, ait, circa Adriaticum mare incolentem, mollitiei admodum eſſe deditam, idemque vitae genus atque Lydos ſectantem: incolereque fertilem regionem, unde ad opulentiam ſint evecti.

33. De *Theſſalis* vero loquens libro quarto: »Vivunt illi, ait, cum ſaltatricibus & tibicinis tempus terentes: alii totos dies talis ludendo, potando, & aliâ eiusmodi petulantiâ traducunt; magis ſoliciti ut omni-

πέζας παραθήσωνται [1] πλήρεις, ἢ τὸν αὐτῶν βίον ὅπως παρασχήσωνται κεκοσμημένον. Φαρσάλιοι δὲ πάντων, φησὶν, ἀνθρώπων εἰσὶν ἀργότατοι καὶ πολυτελέστατοι." Ὡμολόγηνται δ' οἱ Θετταλοὶ, ὡς καὶ Κριτίας φησὶ, πάντων Ἑλλήνων πολυτελέστατοι γε- b γενῆσθαι, περί τε τὴν δίαιταν καὶ τὴν ἐσθῆτα· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας, ζηλώσαντας τὴν τούτων τρυφὴν καὶ πο-
Aetoli. λυτέλειαν. Περὶ δὲ Αἰτωλῶν Πολύβιος μὲν ἐν τρισκαιδεκάτῃ Ἱστοριῶν φησιν, ὡς διὰ τὴν τῶν πολέμων συνέχειαν, καὶ τὴν τῶν βίων πολυτέλειαν, κατάχρεοι ἐγένοντο. Ἀγαθαρχίδης δ' ἐν δωδεκάτῃ Ἱστοριῶν· „Αἰτωλοὶ, φησὶ, τοσούτῳ τῶν λοιπῶν ἑτοιμότερον ἔχουσι πρὸς θάνατον, ὅσῳπερ καὶ ζῆν πολυτελῶς καὶ ἐκτε- c νέστερον ζητοῦσι τῶν ἄλλων."

XXXIV. Διαβόητοι δ' εἰσὶ περὶ τρυφὴν Σικελιῶταί τε

[1] παραθήσονται edd. & dein παρασχήσονται iidem.

fariis obſoniis repletas menſas adponant, quam ut vitam oſtendant honeſte compoſitam. Pharſalii vero, inquit, omnium hominum ſunt ignaviſſimi, & in faciendo ſumtu profuſiſſimi. « Conſentiunt vero omnes, (quemadmodum etiam Critias ait) fuiſſe Theſſalos cum in victu, tum in veſtitu, omnium Graecorum ſumtuoſiſſimos: quae res etiam cauſſa eis fuit, cur Perſas in Graeciam inducerent, horum ſcilicet luxum & magnificentiam aemulati. De *Aetolis* vero Polybius ſcribit libro decimo tertio Hiſtoriarum, ob continua bella & vitae ſumtuoſitatem aere alieno fuiſſe obrutos. Agatharchides vero, duodecimo Hiſtoriarum libro ait: »Aetoli aliis hominibus tanto paratiores ſunt ad mortem, quo magis & impenſius, quam alii, ſumtuoſe vivere ſtudent.«

34. Famoſi vero etiam luxuriae cauſſa ſunt *Siculi*

καὶ Συρακόσιοι,[1] ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Δαιταλεῦσιν· Siculae mensae.

Ἀλλ' οὐ γὰρ ἐμάθετε ταῦτ' ἐμοῦ πέμποντος· [2] ἀλλὰ μᾶλλον
πίνειν, ἔπειτ' ἄδειν κακῶς [3] Συρακοσίων τράπεζαν,
Συβαρίτιδάς τ' εὐωχίας, καὶ Χῖον ἐκ Λακαινᾶν.

Πλάτων δ' ἐν ταῖς Ἐπιστολαῖς φησί· „Ταύτην δὴ τὴν διάνοιαν ἔχων, εἰς Ἰταλίαν τε καὶ Σικελίαν ἦλθον, d ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με ὁ ταύτῃ βίος οὐδαμῇ οὐδαμῶς ἤρεσε· δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτων [4] ἐπιτηδεύματα συνέπεται τῷ βίῳ. ἐκ γὰρ τούτων τῶν ἐθῶν, οὔτ' ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, σώφρων δὲ οὐδ' ἂν μελήσαι [5] ποτὲ γενέσθαι." καὶν τρίτῳ δὲ Πολιτείας γράφει οὕτως· „Συ-

1 Συρακούσιοι edd. & dein Συρακουσίων. 2 ἐμοῦ γ' εἰπόντος corr. viri docti. 3 καλῶς corr. iid. 4 τούτῳ edd. 5 μελήσας ed. Baſ. & C.

& *Syracusii*; quod etiam Ariſtophanes ait in Convivatoribus:

At non haec didiciſtis, poſtquam vos miſi: ſed potius
bibere, deinde male canere Syracuſiorum menſas,
& Sybaritica epula, & Chium (vinum) ex Lacaenis.

Plato vero in Epiſtolis ait: »Hac ego mente Italiam Siciliamque adii, quo tempore primum eo profectus ſum. Quo quum adveniſſem, nullo modo mihi placuit vita, quam ibi agunt; bis quotidie cibo ſe implentes, nullâ nocte ſoli dormientes, & quae ſunt alia vitae inſtituta quae illi ſequuntur. Nam ex talibus moribus nemo omnium qui ſub coelo ſunt hominum, hisce ab adoleſcentia innutritus, evadere prudens poteſt: temperans autem & ſapiens ut fiat, ne curabit quidem.« Et in tertio Reipublicae ita ſcribit: »Syracuſiam vero menſam,

ρακουσίαν δε, ὦ Φίλε, τράπεζαν, καὶ Σικελικὴν ποικιλίαν ὄψου, ὡς ἔοικας, οὐκ αἰνεῖς· ψέγεις δὲ καὶ Κορινθίαν κόρην Φίλην εἶναι ἀνδράσι μέλλουσιν εὖ σώματος ἕξειν, καὶ Ἀττικῶν πεμμάτων τὰς δοκούσας εἶναι εὐπαθείας." e

XXXV. Syri luxuriosi.

Ποσειδώνιος δὲ ἐκκαιδεκάτῃ Ἱστοριῶν, περὶ τῶν κατὰ τὴν Συρίαν πόλεων λέγων ὡς ἐτρύφων, γράφει καὶ ταῦτα· „Τῶν γοῦν ἐν ταῖς πόλεσιν ἀνθρώπων, διὰ τὴν εὐβοσίαν τῆς χώρας, ἀπὸ τῆς περὶ τὰ ἀναγκαῖα κακοπαθείας συνόδους νεμόντων πλείονας, ἐν αἷς εὐωχοῦντο συνεχῶς, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι δ' ἐλαίῳ πολυτελεῖ καὶ μύροις· τοῖς δὲ γραμματείοις[1] (οὕτω γὰρ ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων) ὡς οἰκητηρίοις ἐνδιαιτώμενοι,[2] καὶ τὸ πλεῖστον τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς, οἴνοις καὶ βρώμασιν, ὥστε καὶ προσαποφέρειν πολλὰ, καὶ καταυλουμένους πρὸς χελωνίδος f

1 γραμματίοις vulgo h. l. 2 Vulgo h. l. ὡς ἐν οἰκ. διαιτ.

o amice, & Siculam obsoniorum varietatem non videris laudare: nec probas ut Corinthiâ puellâ amicâ utantur viri, qui robusto corporis habitu esse volunt; nec delicias quae Atticis inesse bellariis vulgo putantur. «

35. Posidonius vero sexto decimo libro Historiarum, de *Syriae* civitatibus earumque luxuriâ loquens, haec scribit: »Oppidorum incolae, ob agri fertilitatem, necessariis laboribus defuncti, frequentes conventus celebrabant, in quibus assidue epulabantur, gymnasiis pro balneis utentes, pretiosoque oleo & unguentis sese inungentes: in *grammateis* vero, sive scholis, (sic enim adpellabant publica coenacula) tamquam domibus suis vitam agentes, in illisque maiorem diei partem vino & epulis indulgentes, sic ut multa etiam insuper domum auferrent; denique aures oblectantes tumultuoso testu-

πολυκρότου ψόφον, ὥστε τὰς πόλεις ὅλας τοιούτοις κελάδοις συνηχεῖσθαι. " Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ πέμπτῃ Εὐρωπιακῶν· „Ἀρυκανδεῖς, [1] φησὶ, Arycandenses.
a Λυκίας, ὅμοροι ὄντες Λιμυρεῦσι, διὰ τὴν περὶ τὸν βίον ἀσωτίαν καὶ πολυτέλειαν κατάχρεοι γενόμενοι, καὶ διὰ τὴν ἀργίαν καὶ Φιληδονίαν ἀδυνατοῦντες ἀποδοῦναι τὰ δάνεια, προσέκλιναν ταῖς Μιθριδάτου ἐλπίσιν, ἄβλον ἔξειν νομίσαντες χρεῶν ἀποκοπάς." Ἐν δὲ τῇ τριακοστῇ πρώτῃ, Ζακυνθίους, φησὶν, ἀπείρους εἶναι Zacynthii.
πολέμου, [2] διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι.

XXXVI. Campanorum luxuria.

Πολύβιος δ' ἐν τῇ ἑβδόμῃ· „Καπυησίους τοὺς ἐν
b Καμπανίᾳ, διὰ τὴν ἀρετὴν τῆς γῆς πλοῦτον περιβαλομένους, [3] ἐξεκεῖλαι [4] εἰς τρυφὴν καὶ πολυτέλειαν, ὑπερβαλλομένους τὴν περὶ Κρότωνα [5] καὶ Σύβαριν παραδεδομένην σήμην. οὐ δυνάμενοι οὖν, φησὶ, φέρειν

1 Ἀρυκάνδιοι edd. 2 πολέμων edd. 3 περιβαλλομένους vulgo. 4 ἐξακεῖλαι edd. 5 Κροτῶνα ms. *A*.

dinis ſtrepitu, ita ut tota oppida talibus ſtrepitibus perſonarent.« Agatharchides vero, libro trigeſimo quinto Rerum Europaearum ſcribit: » *Arycandenſes* Lyciae, Limyrenſium vicini, cum propter luxuriam & ſumtuoſam vitam ingens aes alienum conflaſſent, & ob inertiam & voluptatis ſtudium uſuras non poſſent perſolvere, Mithridatis partibus ſeſe adiunxerunt, ſperantes mercedem ſe ab eo novas tabulas relaturos.« Libro trigeſimo primo vero, Zacynthios, ait, belli eſſe imperitos, quod divitiis & omnium rerum copiâ abundantes, deliciis ſint adſueti.

36. Polybius vero libro ſeptimo, *Capuanos*, ait, *in Campaniâ*, ob agri ubertatem magnam opulentiam nactos, in luxuriam & ſumtuoſam vitam prolapſos eſſe, ita ut vulgatam de Crotone & Sybari famam ſuperarent.

τὴν παροῦσαν εὐδαιμονίαν, ἐκάλουν τὸν Ἀννίβαν· διό-
Petelinorum fides in Romanos. περ ὑπὸ Ῥωμαίων ἀνήκεστα δεινὰ [1] ἔπαθον. Πετηλῖ-
νοι [2] δέ, τηρήσαντες τὴν πρὸς Ῥωμαίους πίστιν, εἰς το-
σοῦτον καρτερίας ἦλθον πολιορκούμενοι ὑπ' Ἀννίβα, ὥσ-
τε μετὰ τὸ πάντα μὲν τὰ κατὰ τὴν πόλιν δέρματα
καταφαγεῖν, ἁπάντων δὲ τῶν κατὰ τὴν πόλιν δένδρων c
τοὺς φλοιοὺς, καὶ τοὺς ἁπαλοὺς [3] πτόρθους ἀναλῶ-
σαι, καὶ ἑνδεκα μῆνας ὑπομείναντες τὴν πολιορκίαν,
οὐδενὸς βοηθοῦντος, συνευδοκούντων [4] Ῥωμαίων, παρέ-
δοσαν ἑαυτούς."

XXXVII. Curetes. Τοὺς δὲ Κουρῆτας, Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν Ἱστοριῶν, Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας.

Χλιδῶν τε πλόκαμος, ὥστε παρθένου ἁβρᾶς· [5]
ὅθεν καλεῖν Κουρῆτα λοιπὸν [6] ἤνεσαν.

1 Vox δεινὰ abeſt *Epit.* & deletam voluit Caſ. 2 Πετιλῖνοι edd. 3 Perperam ἁπλοῦς ms. *A.* & ed. Ven. & Baſ. 4 οὐδὲ συνευδοκοῦντος ed. Caſ. cum Msstis. 5 ὥστε παρθένοις ἁβραῖς edd. cum ms. *A.* 6 Κουρῆτα λαὸν edd. cum ms. *A.*

Igitur quum ferre non poſſent (inquit) praeſentem felicitatem, Hannibalem advocarunt: quare a Romanis poſtea atrociſſimis malis ſunt adflicti. *Petelini* vero, ſervatâ erga Romanos fide, obſeſſi ab Hannibale, tantam fortitudinem conſtantiamque praeſtiterunt, ut pereſis omnibus coriis quae in oppido fuerant, abſumtisque corticibus cunctis & tenellis ſurculis arborum quae intra muros erant, undecimo demum menſe, quo obſidionem toleraverant, nemine auxilium ferente, conſentientibus Romanis Poeno ſeſe tradiderint.

37. Phylarchus undecimo libro Hiſtoriarum ait, docere Aeſchylum, *Curetas* a luxuriâ nomen inveniſſe. Aeſchyli verſus hi ſunt:

Et mollis cincinnus, veluti delicatae virginis:
quare in poſterum C u r e t e m (eum) adpellandum cenſuerunt.

d Ἀγάθων δ', ἐν τῷ Θυέστῃ, τοὺς τὴν Πρώνακτος [1] θυγατέρα μνηστεύοντας, τοῖς τε λοιποῖς πᾶσιν ἐξησκημένους ἐλθεῖν, καὶ κομῶντας τὰς κεφαλάς· ἐπεὶ δ' ἀπέτυχον τοῦ γάμου,

Κόμας ἐκειράμεσθα [2] (φησὶ) [3] μάρτυρας τρυφῆς,
ἥ που πόθεινὸν χρῆμα παιζούσῃ φρενί.
ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος,
Κουρῆτες εἶναι, κουρίμου χάριν τριχός.

Καὶ Κυμαῖοι δὲ οἱ ἐν Ἰταλίᾳ, ὥς φησιν Ὑπέροχος, ἢ ὁ ποιήσας τὰ εἰς αὐτὸν ἀναφερόμενα Κυμαϊκά, διε- e τέλεσαν χρυσοφοροῦντες, καὶ ἀνθιναῖς ἐσθῆσι χρώμενοι, καὶ μετὰ γυναικῶν εἰς τοὺς ἀγροὺς ἐξιόντες ἐπὶ ζευγῶν ὀχούμενοι. Περὶ μὲν οὖν ἐθνῶν [4] καὶ πόλεων τρυφῆς τοσαῦτα μνημονεύω. Cumani.

Περὶ δὲ τῶν κατ' ἄνδρα τάδε ἤκουσα. Κτησίας XXXVIII.

1 Temere Πρόναχτος ed. Baſ. & Caſ. 2 ἐκειράμεθα edd. cum ms. *Ep.* 3 φασὶ forſan. 4 οὖν τῶν ἐθνῶν edd.

Agathon vero in Thyeſte ait, *procos qui Pronactis filiam ambibant, & reliquo corporis cultu ſtudioſe ornatos veniſſe, & capite pulcre comato: poſtquam vero ſpe matrimonii fruſtrati ſunt*, dicunt:

Comam nobis abſcidimus, teſtem luxuriae,
optabilem nempe rem ludenti animo.
Igitur cognomen ſtatim famoſum nacti ſumus,
Curetas nos eſſe, ob tonſum capillum.

Porro *Cumani* Italiae, ut ait Hyperochus, ſive quisquis auctor eſt Cumanae Hiſtoriae quae ſub illius nomine circumfertur, aurum perpetuo geſtabant, floridasque veſtes; & cum uxoribus rus ibant bigis vecti. Atque haec ſunt quae *de Populorum & Civitatum Luxuriâ mollitieque memini.*

38. Iam quae ad *Singulos Homines* pertinent, haeccę ac-

Molles Asiae reges.

ἐν τρίτῃ Περσικῶν, καὶ πάντας μὲν, φησὶ, τοὺς βασιλεύσαντας τῆς Ἀσίας περὶ τρυφὴν σπουδάσαι, μάλιστα δὲ Νινύαν, τὸν Νίνου καὶ Σεμιράμιδος υἱόν. καὶ οὗτος [1] οὖν ἔνδον μένων, καὶ τρυφῶν, ὑπ' οὐδενὸς ἑωρᾶτο, εἰ μὴ ὑπὸ τῶν εὐνούχων καὶ τῶν ἰδίων γυναικῶν. Τοιοῦτος δ' ἦν καὶ Σαρδανάπαλλος, [2] ὃν οἱ μὲν Ἀνακυνδαράξεω λέγουσιν υἱὸν, οἱ δὲ Ἀναβαξάρου. [3] ὅτε δὴ οὖν Ἀρβάκης, εἷς τῶν ὑπ' αὐτὸν στρατηγῶν, Μῆδος γένος, διεπράξατο διά τινος τῶν εὐνούχων Σπαραμείζου [4] θεάσασθαι Σαρδανάπαλλον, καὶ μόλις αὐτῷ [5] ἐπετράπη ἐκείνου ἐθελήσαντος· ὡς [6] εἰσελθὼν εἶδεν αὐτὸν ὁ Μῆδος, ἐψιμυθιωμένον [7] καὶ κεκοσμημένον γυναικιστὶ, καὶ μετὰ τῶν παλλακίδων ξαίνοντα πορφύραν, ἀναβάδην τε μετ' αὐτῶν καθήμενον, [8] γυ-

Sardanapallus.

1 Temere οὕτως ed. Caſ. 2 Σαρδανάπαλος conſtanter edd. cum ms. *Ep.* 3 Ἀναβαρξάρου ms. *Ep.* 4 Παραμείζου edd. 5 αὐτὸ edd. 6 ὡς οὖν εἰσελθ. edd. 7 ἐμιμυθ. edd. 8 Hic vulgo inſerunt verba τὰς ὀφρῦς, quae paulo poſt poſuimus praepoſitâ καὶ particulâ. Ignorat illa verba ms. *Ep.*

cepi. Cteſias tertio libro Rerum Perſicarum, cum alios omnes, ait, Aſiae reges luxui & voluptatibus operam dediſſe, tum vero maxime *Ninyam*, Nini & Semiramidis filium. Hic igitur intus manens, & voluptatibus indulgens, a nemine conſpiciebatur, praeterquam ab eunuchis & uxoribus ſuis. Eodem ingenio *Sardanapallus* fuit: quem alii Anacyndaraxae filium dicunt, alii vero Anabaxari. Igitur Arbaces, unus ex eius praefectis, Medus genere, quum egiſſet cum Sparamizo, uno ex eunuchis, ut videndi Sardanapalli poteſtas ſibi daretur, idque tandem, ipſo rege volente, impetraſſet: ubi introgeſſus Medus vidit illum ceruſſatum ornatumque muliebriter, & cum pellicibus carminantem purpuram, & pedibus ſublime porrectis cum illis ſedentem,

ναικείαν δὲ στολὴν ἔχοντα, καὶ κατεξυρημένον τὸν πώγωνα, καὶ κατακεκισσηρισμένον· (ἦν δὲ καὶ γάλακτος λευκότερος, καὶ ὑπεγέγραπτο τοὺς ὀφθαλμοὺς [καὶ τὰς ὀφρῦς·] ἐπεὶ δὲ καὶ προσεῖδε [1] τὸν Ἀρβάκην, τὰ λευκὰ ἐπαναλαβὼν [2] τοῖς ὀφθαλμοῖς·) οἱ μὲν πολλοὶ, ὧν ἐστι καὶ Δοῦρις, ἱστοροῦσιν, ὑπὸ τούτου, ἀγαναχτήσαντος εἰ τοιοῦτος αὐτῶν βασιλεύει, συγκεντηθέντα ἀποθανεῖν. Κτησίας δὲ λέγει, εἰς πόλεμον αὐτὸν καταστῆναι, καὶ ἀθροίσαντα πολλὴν στρα-
b τιὰν, καὶ καταλυθέντα ὑπὸ τοῦ Ἀρβάκου, τελευτῆσαι, ἑαυτὸν ἐμπρήσαντα ἐν τοῖς βασιλείοις, πυρὰν νήσαντα ὕψος τεσσάρων πλέθρων, ἐφ' ἧς ἐπέθηκε χρυσᾶς κλίνας ἑκατὸν καὶ πεντήκοντα, καὶ ἴσας τραπέζας, καὶ ταύτας χρυσᾶς. ἐποίησε δὲ ἐν τῇ πυρᾷ καὶ οἴκημα ἑκατόμπεδον [3] ἐκ ξύλων, κἀνταῦθα κλίνας ὑπεστόρεσε, καὶ κατεκλίθη ἐνταῦθα αὐτός τε μετὰ καὶ [4]

Se ipsum cremat Sardanapallus.

1 προσίδεν ms. *A.* 2 ἐπαναβαλὰν vulgo apud Clem. Alex. 3 ἑκατόνπεδον edd. cum ms. *A.* ἑκατόμποδον ms. *Ep.* 4 μετὰ τῆς γυναικὸς edd. καὶ ἡ γυνὴ ms. *Ep.*

muliebri ſtolâ veſtitum, raſâ barbâ, & laevigatâ pumicis attritu facie: (erat autem lacte candidior, oculosque & ſupercilia picturata habebat; atque etiam, poſtquam conſpexit Arbacem, album denuo oculis inſuper impoſuit:) tum vero, ut tradunt plerique, & in his Duris, ab illo, indignante talem eſſe ipſorum regem, confoſſus periit. Cteſias vero ait, bellum paraſſe, & ingentibus contractis copiis everſum ab Arbace, vitam finiiſſe, ſeſe ipſum in regiâ cremantem, exſtructo rogo quadringentorum pedum altitudine, impoſitis lectis aureis centum quinquaginta, totidemque menſis pariter aureis. Intra rogum vero conclave ligneum exſtructum erat, pedes centum quaquaverſum patens, in quo ſtrati erant lectuli, quorum in uno decumbebat ipſe cum uxore,

τῆς γυναικὸς αὐτοῦ, καὶ αἱ παλλακίδες ἐν ταῖς ἄλλαις κλίναις· τοὺς γὰρ τρεῖς υἱοὺς, καὶ δύο θυγατέρας, ὁρῶν τὰ πράγματα κακούμενα, προπεπόμφει εἰς Νίνον [1] πρὸς τὸν ἐκεῖ βασιλέα, δοὺς αὐτοῖς τρισχίλια χρυσίου τάλαντα. ἐπεστέγασε δὲ τὸ οἴκημα δοκοῖς μεγάλαις τε καὶ παχείαις, ἔπειτα ἐν κύκλῳ περιέθηκε πολλὰ ξύλα καὶ παχέα, ὥστε μὴ εἶναι ἔξοδον. ἐνταῦθα ἐπέθηκε [2] μὲν χρυσίου μυριάδας χιλίας, ἀργυρίου δὲ μυρίας μυριάδας ταλάντων, καὶ ἱμάτια, καὶ πορφύρας, καὶ στολὰς παντοδαπάς. ἔπειτα ὑφάψαι ἐκέλευε τὴν πυράν· καὶ ἐκαίετο πεντεκαίδεκα ἡμέραις. οἱ δὲ ἐθαύμαζον ὁρῶντες τὸν καπνὸν, καὶ ἐδόκουν αὐτὸν θυσίας [3] ἐπιτελεῖν· ταῦτα δὲ μόνοι ἤδεσαν οἱ εὐνοῦχοι. ὁ μὲν οὖν Σαρδανάπαλλος ἐκτόπως ἡδυπαθήσας, ὡς εἰπεῖν γενναίως ἐτελεύτησε.

XXXIX. Κλέαρχος δὲ, περὶ τοῦ Περσῶν βασιλέως διη-

1 εἰς Παφλαγονίαν apud Diodor. 2 περιέθηκε edd. 3 θυσίαις ed. Caſ.

& in aliis lectulis pellices eius: nam tres filios duasque filias, poſtquam male vertere res ſuas vidit, Ninum [*immo vero*, in Cappadociam] praemiſerat ad regem qui eam regionem tenebat, dederatque illis auri ter mille talenta. Tectum vero erat conclave illud trabibus magnis craſſisque, & in orbem circumiecta ligna multa & craſſa, ita ut non daretur exitus. Eodem depoſuerat auri talentorum myriades mille, argenti myriades decies mille, veſtes item, & purpuras, & ſtolas omnifarias. Dein incendi rogum iuſſit: duravitque incendium quindecim continuos dies: mirantibus qui extra regiam erant, cum fumum viderent, exiſtimantibusque ſacrificia illum peragere; ſoli enim eunuchi, quid ageretur, noverant. Igitur *Sardanapallus*, poſtquam miro modo voluptatibus indulſiſſet, generoſe fortiterque, quoad fieri potuit, vitam finivit.

39. Clearchus vero, ubi de Perſarum rege verba fa-

γούμενος, ὅτι „τοῖς αὐτῷ πορίσασιν ἡδύ τι βρῶμα ἄβλαβ ἐτίθει νοῦν οὐκ ἔχων·[1] τοῦτο γάρ ἐστιν ὁ λεγόμενος οἶμαι, Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος· ὅθεν ὁ πάντων [φησὶν][2] εὐδαιμονέστατος Σαρδανάπαλλος, παρ' ὅλον τὸν βίον τιμήσας τὰς ἀπολαύσεις, καὶ τελευτήσας δείκνυσιν ἐν τῷ τοῦ μνήματος τύπῳ τοῖς δακτύλοις, οἵου καταγέλωτός ἐστιν ἄξια e τὰ τῶν ἀνθρώπων πράγματα, οὐκ ἄξια ὄντα ψόφου δακτύλων ὃν πεποίηται·[3] * ποιούμενος δὲ ἐν χορῷ ἡ περὶ τὰ λοιπὰ σπουδή. Φαίνεται οὖν οὐκ ἄπρακτος γενόμενος Σαρδανάπαλλος. καὶ γὰρ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι· Σαρδανάπαλλος Ἀνακυνδαράξεω Ἀγχιάλην ἔδειμε καὶ Ταρσὸν μιῇ ἡμέρῃ, ἀλλὰ νῦν τέθνηκεν." Ἀμύντας δ', ἐν τρίτῳ Σταθμῶν, ἐν τῇ Νίνῳ φησὶν εἶναι χῶμα ὑψη- Monumentum Sardanapalli.

1 Rectius (puto) ſupra ſcribebatur, νοῦν ἔχων. 2 Deeſt vulgo verbum. 3 Defecto mendoſoque loco nil medentur membr. *A.* In *Epit.* ſcribitur, ψόφου δακτύλων ὃν χορεύων πεποίηται.

cit, aitque »his qui ſuaviorem aliquem cibum ei inveniſſent praemia ab eo propoſita eſſe, prudenter facienti; eſt enim hoc, puto, quod dicitur Iovis ſimul & regis cerebrum:« haec deinde ſubiicit: » Quare omnium feliciſſimus Sardanapallus, poſtquam totâ vitâ voluptates coluit, etiam poſt mortem formâ in ſepulcrali monumento expreſſâ digitis oſtendit, quam ſint deridendae omnes res humanae, non valere ſcilicet digitorum crepitum, quem facit: * . . . ſtudium circa reliqua. Adparet tamen, non prorſus nihil rerum geſſiſſe Sardanapallum. Etenim monumento eius inſcripta haec verba ſunt: *Sardanapallus, Anacyndaraxae filius, Anchialen condidit et Tarſum uno die: at nunc mortuus est.*« Amyntas vero, tertio libro Stationum, ad urbem Ninum, ait, tumulum eſſe praealtum, quem

λὸν, ὅπερ κατασπάσαι Κῦρον ἐν τῇ πολιορκίᾳ, ἀντιχωννύντα τῇ πόλει. λέγεσθαι δὲ τὸ χῶμα τοῦτ' εἶναι f Σαρδαναπάλλου, τοῦ βασιλεύσαντος Νίνου, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι ἐν στήλῃ λιθίνῃ Χαλδαϊκοῖς γράμμασιν, ὃ μετενεγκεῖν Χοιρίλον ἔμμετρον ποιήσαντά. εἶναι δὲ τοῦτο· „Ἐγὼ δὲ ἐβασίλευσα, καὶ ἄχρι ἑώρων τοῦ ἡλίου φῶς, ἔπιον, ἔφαγον, ἠφροδισίασα, εἰδὼς τόν τε χρόνον ὄντα βραχὺν, ὃν ζῶσιν οἱ ἄνθρωποι, καὶ τοῦτον a πολλὰς ἔχοντα μεταβολὰς καὶ κακοπαθείας, καὶ ὧν ἂν καταλίπω ἀγαθῶν, ἄλλοι ἕξουσι τὰς ἀπολαύσεις. διὸ κἀγὼ ἡμέραν οὐδεμίαν παρέλιπον τοῦτο ποιῶν." Κλείταρχος δ', ἐν τῇ τετάρτῃ τῶν Περὶ Ἀλέξανδρον, γήρᾳ τελευτῆσαί φησιν Σαρδανάπαλλον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς. Ἀριστόβουλος δέ· „Ἐν b

diruit & solo aequavit Cyrus, quum urbem obsideret & aggerem contra eam excitaret: perhiberi autem tumulum illum fuisse Sardanapalli, regis Nini, inciſumque habuisse in columnâ lapideâ Chaldaicis literis epigramma, quod a Choerilo Graecis versibus redditum sit. Fuisse autem scriptum in hanc sententiam: *Ego vero regnavi: et, quamdiu lucem solis vidi, tamdiu bibi, comedi, Veneri indulsi; gnarus breve esse tempus, quo vivunt homines, habereque illud multas conversiones et adversitates; et, quae relicturus sim bona, eis alios esse fruituros. Quare nullam ego diem praetermisi, quin illud agerem.* Clitarchus vero, quarto libro De Rebus Alexandri, senio vitâ decessisse ait Sardanapallum, postquam Syriae regno excidisset. Aristobulus vero ita scribit: »Anchialae, quam

Ἀγχιάλῃ, ἣν ἐδείματο, φησὶ, Σαρδανάπαλλος, Ἀλέξανδρος ἀναβαίνων εἰς Πέρσας κατεστρατοπεδεύσατο. καὶ ἦν οὐ πόῤῥω τὸ τοῦ Σαρδαναπάλλου μνημεῖον, ἐφ' οὗ ἑστάναι [1] τύπον λίθινον συμβεβληκότα τῆς δεξιᾶς χειρὸς τοὺς δακτύλους, ὡς ἂν ἐπικροτοῦντα. ἐπιγεγράφθαι δὲ αὐτῷ Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλλος, Ἀνακυνδαράξου [2] παῖς, Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ. c ἔσθιε, πῖνε, παῖζε· ὡς τ' ἄλλα τούτου οὐκ ἄξια. τοῦ ἀποκροτήματος ἔοικε λέγειν."

XL. Androcotus, Phryx.

Οὐ μόνος δὲ ὁ Σαρδανάπαλλος διετέθρυπτο, ἀλλὰ καὶ Ἀνδρόκοτος ὁ Φρύξ. καὶ γὰρ οὗτος ἐνεδύσατο ἀνθινὴν ἐσθῆτα, καὶ γυναικὸς εὐπρεπέστερον ἐκοσμεῖτο· ὡς Μνασέας φησὶν ἐν τρίτῳ Εὐρώπης. Κλέαρχος δ', ἐν πέμπτῳ Βίων, Σάγαρίν φησι τὸν Μαριανδυνὸν ὑπὸ τρυφῆς σιτεῖσθαι μὲν μέχρι γήρως ἐκ τοῦ τῆς τιτθῆς [3]

Sagaris.

1 Excidiſſe videtur verbum φασί. 2 Vulgo Ἀνακυνδαράξεω. 3 τιθῆς edd. τίτθης ms. *Ep.*

condidit Sardanapallus, caſtra poſuit Alexander, cum in Perſas copias duceret. Erat autem haud procul inde monumentum Sardanapalli, in quo ſtetiſſe aiunt [*ſive*, ait] figuram lapideam iunctos habentem dextrae manus digitos, veluti digitis crepitantem: inciſa autem lapidi fuiſſe Aſſyriis literis haec verba: *Sardanapallus, Anacyndaraxae filius, Anchialen et Tarſum condidit uno die. Ede, bibe, lude: reliqua enim non ſunt tanti. Tanti* videtur dixiſſe, quanti digitorum crepitus. «

40. Nec vero unus Sardanapallus voluptatibus diffluxerat, verum etiam *Androcotus* Phryx. Nam & hic floridam geſtabat veſtem, & quavis muliere venuſtius ſeſe ornabat: ut ait Mnaſeas libro tertio Europae. Clearchus vero, quinto libro Vitarum, *Sagarin* ait Mariandynum prae mollitie, usque ad ſenectutem, cibum e

στόματος, ἵνα μὴ μασώμενος [1] πονήσειεν· [2] οὐ πώποτε δὲ τὴν χεῖρα κατωτέρω [3] τοῦ ὀμφαλοῦ προενέγκασθαι. διο καὶ Ἀριστοτέλης Ξενοκράτην τὸν Χαλκηδόνιον σκώπτων, ὅτι οὐρῶν οὐ προσῆγε τὴν χεῖρα τῷ αἰδοίῳ, ἔλεγεν· d

Χεῖρες μὲν ἁγναὶ, Ὀρὴν δ' ἔχει μίασμά τι. [4]

Annarus. Κτησίας δ' ἱστορεῖ, Ἄνναρον τὸν βασιλέως ὕπαρχον, καὶ τῆς Βαβυλωνίας δυναστεύσαντα, στολῇ χρῆσθαι γυναικείᾳ καὶ κόσμῳ. καὶ ὅτι βασιλέως δούλῳ ὄντι αὐτῷ εἰς τὸ δεῖπνον εἰσήεσαν πεντήκοντα καὶ ἑκατὸν ψάλλουσαι καὶ ᾄδουσαι γυναῖκες. ἔψαλλον δὲ αὗται, καὶ ἥδον ἐκείνου δειπνοῦντος. Φοῖνιξ δ' ὁ Κολο- e

Ninus, rex Assyriae. φώνιος ποιητὴς περὶ Νίνου λέγων ἐν τῷ πρώτῳ τῶν Ἰάμβων, φησίν·

Ἀνὴρ Νίνος [5] τις ἐγένετ', ὡς ἐγὼ κλύω,
Ἀσσύριος· ὅστις εἶχε χρυσίου πόντον,

1 μασσάμενος edd. 2 πονέσειεν mssti. 3 κατώτερον edd. Nescio an & ms. *A*. 4 μιάσματα edd. cum ms. *A*. 5 Νῖνος mssti.

nutricis ore cepisse, ne mandendo fatigaretur: eumdemque numquam infra umbilicum protulisse manum. Quare Aristoteles, Chalcedonium Xenocratem ridens, quod meiens manum numquam admoveret pudendis, dixit:

Manus quidem castae, at inquinatione non vacat animus.

Ctesias vero narrat, *Annarum* ex regiis praefectis unum, Babyloniae praesidem, muliebri stolâ ornatuque usum esse; &, quamvis servus esset regis, praesto ei fuisse coenanti centum & quinquaginta mulieres instrumenta musica pulsantes cantantesque, quae coenantem cantu & fidibus oblectarent. Phoenix vero Colophonius poëta, de *Nino* verba faciens primo libro Iamborum, ita scribit:

Vir Ninus quidam fuit, ut audio equidem,
Assyrius, qui auri pontum possidebat,

καὶ τ' ἄλλα πολλῷ [1] πλέονα Κασπίης ψάμμου·
ὃς οὐκ ἴδ' ἀστέρ', οὐδ' ἴζων [2] ἐδίζητο·
οὐ παρὰ μάγοισι πῦρ ἱερὰν ἀνέστησε,
ὥσπερ νόμος, ῥάβδοισι τοῦ Θεοῦ ψαύων·
οὐ μυθιητὴς, [3] οὐ δικασπόλος κεῖνος,
οὐ λεωλογεῖν [4] ἐμάνθαν', οὐκ ἀμιθρῆσαι.
f ἀλλ' ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν,
κηρῶν, [5] τὰ δ' ἄλλα πάντα κατὰ πετρῶν ὤθει.
Ὡς δ' ἀπέθαν' ὠνὴρ, πᾶσι κατέλιπεν ῥῆσιν,
ἅκου Νίνος νῦν ἐστι, καὶ τὸ σῆμ'· „Ἴδε, [6]
„ἄκουσον, εἴτ' Ἀσσύριος, εἴτε καὶ Μῆδος
„εἶς, ἢ Κόραξος, ἢ ἀπὸ τῶν ἄνω λιμνῶν
„Ἰνδὸς [7] κομήτης· οὐ γὰρ ἄλλα κηρύσσω·

1 πολλὸν edd. Nescio an & ms. *A*. 2 οὐδ' ἰδεῖν ἐδίζητο corr. Casaub. 3 οὐ μὴ θυητὴς ed. Casaub. οὐ μὴ θυκτὴς ed. Ven. & Bas. οὐ μυθιητὴς ms. *A*. οὐ μυήθη ms. *Ep*. 4 οὐ λεπτολογεῖν corr. Casaub. οὐκ ἐλλογεῖν Salm. 5 κεραῶν ed. Ven. Bas. & Casaub. 1. κ' ἐραῶν ed. Casaub. 2. & 3. 6 καὶ τὸ σῆμ' ἴδε edd. καὶ τὸ σῆμα ἰδεῖ ms. *A*. Forst. καὶ τὸ σῆμ' ἰδεῖν. 7 Σινδὸς forsit.

& alia omnia copiosiora quam arena Caspia:
qui astrum numquam vidit, nec intus sedens cupiverat videre;
qui apud Magos sacrum ignem numquam excitavit,
ut fas est, nec virgis Deum tetigit;
non dissertator ille, non iura reddere gnarus;
non ad populum verba facere [sive, *non rationes subducere*] *didicerat, ne numerare quidem.*
Sed ad edendum bibendumque strenuissimus,
& ad amandum; reliqua omnia ad saxa amandaverat.
Qui postquam est mortuus, praeceptum reliquit omnibus,
ubi nunc Ninus est, & illius monumentum: » Ecce,
» *audi, sive Assyrius, sive etiam Medus*
» *sis, sive Coraxus, sive a superioribus paludibus*
» *Indus* [forsit. *Sindus*] *comatus: nec enim vana sunt quae denuncio.*

„Ἐγὼ Νίνος παλαι ποτ' ἐγενόμην πνεῦμα,
„νῦν δ' οὐκ ἔτ' οὐδέν· ἀλλὰ γῆ πεποίημαι.
„ἔχω δ' ὁκόσσον ἔδαισα, χ' ὡκόσσ' ἤεισα,
„χ' ὡκόσσ' ἐράσθην. —
„Τὰ δ' ὄλβι' ἡμέων δῆϊοι συνελθόντες
„Φέρουσιν, ὥσπερ ὠμὸν ἔριφον [1] αἱ Βάκχαι. a
„ἐγὼ δ' ἐς ἄδην οὔτε χρυσὸν, οὔθ' ἵππον,
„οὔτ' ἀργυρῆν ἅμαξαν ὠχόμην ἔλκων·
„σποδὸς δὲ πολλὴ χ' ὡ μιτρηφόρος κεῖμαι."

XLI.

Strato, rex Sidonis:

Θεόπομπος δὲ, ἐν πεντεκαιδεκάτῃ Φιλιππικῶν Ἱστοριῶν· „Στράτωνα, φησὶ, τὸν Σιδώνιον [2] βασιλέα ὑπερβάλλειν ἡδυπαθείᾳ καὶ τρυφῇ πάντας ἀνθρώπους. οἷα γὰρ τοὺς Φαίακας Ὅμηρος ποιεῖν μεμυθολόγηκεν, ἑορτάζοντας, καὶ πίνοντας, καὶ κιθαρῳδῶν καὶ ῥαψῳδῶν ἀκροωμένους· τοιαῦτα καὶ ὁ Στράτων διετέ- b
λει ποιῶν πολὺν χρόνον. καὶ τοσούτῳ μᾶλλον ἐκείνων

1 ἔριφον ἀμὸν edd. 2 Σιδωνίων malebam.

» *Ego Ninus olim fueram vitae ſpiritum ducens;*
» *nunc vero nihil amplius, ſed in terram ſum redactus.*
» *Habeo vero quae epulatus ſum, quaeque cantavi,*
» *& quae amoribus indulſi.*
» *Opes autem noſtras hoſtes concurrentes*
» *abſtulerunt, ſicut crudum hoedum Bacchae.*
» *Ego vero, ad inferos deſcendens, nec aurum, nec equum,*
» *nec argenteum currum mecum traxi:*
» *merus vero cinis, qui mitram olim geſtabam, iaceo.*«

41. Theopompus vero, decimo quinto libro Hiſtoriarum Philippicarum, » *Stratonem*, ait, Sidoniorum regem, luxu & deliciis omnes homines ſuperaſſe. Nam, quibus rebus occupatos Phaeacas finxit Homerus, dies feſtos celebrantes, potantesque & citharoedos cantoresque audientes; talibus rebus *Strato* per longum temporis ſpatium continuam operam dedit: & tanto maiore, quam

παρακεκινήκει πρὸς τὰς ἡδονὰς, ὅσῳ [1] οἱ μὲν Φαίακες, ὡς φησιν Ὅμηρος, μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποιοῦντο τοὺς πότους, ὁ δὲ Στράτων μετ' αὐλητρίδων καὶ ψαλτριῶν καὶ κιθαριστριῶν κατεσκεύαστο τὰς συνουσίας· καὶ μετεπέμπετο πολλὰς μὲν ἑταίρας ἐκ Πελοποννήσου, πολλὰς δὲ μυσουργοὺς ἐξ Ἰωνίας, ἑτέρας [2] δὲ παιδίσκας ἐξ ἁπάσης τῆς Ἑλ-
c λάδος, τὰς μὲν ᾠδικὰς, τὰς δὲ ὀρχηστρικὰς, ὧν εἴθιστο μετὰ τῶν Σίλων ἀγῶνας τιθέναι, καὶ μεθ' ὧν συνουσιάζων διέτριβε· χαίρων μὲν καὶ τῷ βίῳ τῷ τοιούτῳ, καὶ δοῦλος ὢν φύσει τῶν ἡδονῶν, ἔτι δὲ μᾶλλον πρὸς τὸν Νικοκλέα φιλοτιμούμενος. ἐτύγχανον γὰρ ὑπερφιλοτίμως ἔχοντες πρὸς ἀλλήλους, καὶ σπουδάζων ἑκάτερος, αὐτὸς ἥδιον καὶ ῥᾳθυμότερον ποιεῖσθαι τὸν βίον. οἵ γε προῆλθον εἰς τοσαύτην ἄμιλλαν, ὡς ἡμεῖς ἀκούομεν, ὥστε πυνθανόμενοι παρὰ τῶν ἀφικνουμένων

luxuriâ aemulatur Nicoclem, Cypri regem.

1 ἅστε edd. ὅθεν Ms. 2 ἑταίρας ed. Baſ. & Caſ.

illi, furore ad voluptates ferebatur, ut, quum Phaeaces (ut ait Homerus) cum propriis uxoribus filiabusque compotationes inſtituerent, ille cum tibicinis & pſaltriis & citharistriis ageret coetus; arceſſito magno meretricum numero ex Peloponneſo, & muſices peritarum ex Ionia, aliarumque puellarum ex univerſa Graecia, partim cantatricum, partim ſaltatricum: quarum etiam ludos & certamina inſtituere ſolebat cum amicis, & cum illis continuo conſueſcere. Nam & per ſe delectabatur tali vitae genere, & naturâ ſervus erat voluptatum; ſed magis etiam id ipſum agebat aemulatione, qua cum *Nicocle* contendebat. Mira enim ambitione hi duo inter ſeſe decertabant, uterque ſtudens delicatâ vitâ & mollitie ſuperare alterum. Quae inter illos aemulatio, quod quidem accepimus, eo usque progreſſa eſt, ut ex advenientibus uterque percunctatus quisnam

τάς τε παρασκευὰς τῶν οἰκιῶν, καὶ τὰς πολυτελείας τῶν θυσιῶν τὰς παρ' ἑκατέρῳ γινομένας, ἐφιλονείκουν d ὑπερβάλλεσθαι τοῖς τοιούτοις ἀλλήλους. ἐσπούδαζον δὲ δοκεῖν εὐδαίμονες εἶναι καὶ μακαριστοί. οὐ μὴν περί γε τὴν τοῦ βίου τελευτὴν διηυτύχησαν, ἀλλ' ἀμφότεροι βιαίῳ θανάτῳ διεφθάρησαν." Ἀναξιμένης δ', ἐν τῷ ἐπιγραφομένῳ Βασιλέων Μεταλλαγαὶ, περὶ τοῦ Στράτωνος τὰ αὐτὰ ἱστορήσας, διημιλλῆσθαί φησιν αὐτὸν Νικοκλεῖ τῷ τῆς ἐν Κύπρῳ Σαλαμῖνος βασιλεύσαντι, ἐσπουδακότι περὶ τρυφὴν καὶ ἀσέλγειαν, ἀποθανεῖν τ' ἀμφοτέρους βιαίως. e

XLII. Cotys, rex Thraciae.

Ἐν δὲ τῇ πρώτῃ τῶν Φιλιππικῶν Θεόπομπος περὶ Φιλίππου λέγων, φησίν· „Καὶ τριταῖος εἰς Ὀνόκαρσιν ἀφικνεῖται, χωρίον τι τῆς Θράκης, ἄλσος ἔχον πολὺ κατεσκευασμένον καλῶς, καὶ πρὸς τῷ [1] διαιτηθῆναι κεχαρισμένον, ἄλλως τε καὶ τὴν θερινὴν ὥραν.

1 πρὸς τὸ διαιτηθ. videtur legendum.

effet apud alterum adparatus aedium, & quaenam facrificiorum epulorumque magnificentia, omni ftudio enitteretur ut illum talibus in rebus antecelleret. Summumque ftudium ambo in eo pofuerunt, ut felices effe viderentur beatique praedicarentur. Nec vero ad finem usque vitae felicitas illa duravit: uterque enim violentâ morte periit. « Anaximenes vero, in libro qui inſcribitur, De Mortibus Regum, eadem de *Stratone* narrans, continuâ aemulatione eum contendiſſe, ait, cum *Nicocle*, Salaminis Cypri rege, luxui & laſciviae impenſe operam navante; utrumque vero violentâ morte obiiſſe.

42. Primo vero libro Philippicorum, de Philippo loquens Theopompus, ait: »Tertio die Onocarſin pervenit, Thraciae locum quemdam, ubi frequens erat lucus, pulcre inſtructus cultusque, & ad commorandum inibi, cum aliâs, tum praeſertim aeſtivo tempore, gra-

ἦν γὰρ καὶ τῶν ὑπὸ Κότυος προκριθέντων, ὃς ἁπάντων τῶν βασιλέων τῶν ἐν τῇ Θρᾴκῃ γεγενημένων μάλιστα πρὸς ἡδυπαθείας καὶ τρυφὰς ὥρμησεν· καὶ περιιὼν τὴν χώραν, ὅπου κατίδοι τόπους δένδρεσι συσκίους
f καὶ καταῤῥύτους ὕδασι, τούτους κατεσκεύασεν ἑστιατόρια· καὶ φοιτῶν εἰς ἑκάστους ὁπότε τύχοι, θυσίας τε τοῖς θεοῖς ἐποιεῖτο, καὶ συνῆν μετὰ τῶν ὑπάρχων, εὐδαίμων καὶ μακαριστὸς ὤν, ἕως εἰς τὴν Ἀθηνᾶν βλασφημεῖν καὶ πλημμελεῖν ἐπεχείρησε. " Διηγεῖται τε ἑξῆς ὁ συγγραφεὺς, ὅτι δεῖπνον κατεσκεύασεν ὁ Κότυς, ὡς γαμουμένης αὐτῷ τῆς Ἀθηνᾶς, καὶ θάλαμον κατασκευάσας, ἀνέμενε μεθύων τὴν θεόν. ἤδη
a δ' ἔκφρων γενόμενος, ἔπεμπέ τινα τῶν δορυφόρων ὀψόμενον, εἰ παραγέγονεν ἡ θεὸς εἰς τὸν θάλαμον. ἀφικομένου [1] δὲ ἐκείνου, καὶ εἰπόντος μηδένα εἶναι ἐν τῷ

1 ἀφικνομένου edd.

tiſſimus. Erat enim hic locus ex iis unus, quos prae caeteris ſibi elegerat *Cotys;* qui omnium Thraciae regum, quotquot fuerant, maxime voluptatibus & vitae deliciis deditus fuerat. Is enim regionem peragrans, ubicumque conſpexiſſet loca arboribus umbroſa & aquis rigata, ex his coenacula fecerat, in quibus epula inſtitueret: & unumquemque ex illis, quoties res ferret, adiens, ſacrificia ibi Diis celebrare, & cum praefectis ſuis convivari conſueverat; felix & beatus praedicatus ab omnibus, donec Minervae maledicere & improba facta committere conatus eſt. « Narrat deinde idem ſcriptor, coenam paraſſe *Cotyn,* quaſi occaſione nuptiarum quas *Minerva* cum ipſo eſſet contractura: & inſtructo ornatoque thalamo, ebrium exſpectaſſe Deam. Quum igitur mentis iam impos eſſet, miſit quemdam e ſatellitibus, proſpecturum an in thalamum adveniſſet Dea: qui quum rediens nunciaſſet, *neminem in thalamo*

θαλάμῳ, τοξεύσας τοῦτον ἀπέκτεινε· καὶ ἄλλον δεύτερον, ἐπὶ τοῖς αὐτοῖς· ἕως ὁ τρίτος συνεὶς, παραγενόμενος ἔφη, πάλαι τὴν θεὸν αὐτὸν ἀναμένειν. Ὁ δὲ βασιλεὺς οὗτός ποτε καὶ ζηλοτυπήσας τὴν αὐτοῦ γυναῖκα, ταῖς αὐτοῦ χερσὶν ἀνέτεμε τὴν ἄνθρωπον, ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.

XLIII. Chabrias Athenienſis.

Ἐν δὲ τῇ τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν, περὶ Χαβρίου τοῦ Ἀθηναίου ἱστορῶν, φησίν· „Οὐ δυνάμενος δὲ ζῆν ἐν τῇ πόλει, τὰ μὲν διὰ τὴν ἀσέλγειαν καὶ διὰ τὴν πολυτέλειαν τὴν αὐτοῦ τὴν περὶ τὸν βίον, τὰ δὲ διὰ τοὺς Ἀθηναίους. ἅπασι γὰρ εἰσι χαλεποί. διὸ καὶ εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ἔξω τῆς πόλεως καταβιοῦν· Ἰφικράτης μὲν ἐν Θράκῃ, Κόνων δ' ἐν Κύπρῳ, Τιμόθεος δ' ἐν Λέσβῳ, Χάρης δ' ἐν Σιγείῳ, καὶ αὐτὸς ὁ Χαβρίας ἐν Αἰγύπτῳ.“ Καὶ περὶ τοῦ Χάρητος ἐν τῇ πέμπτῃ καὶ τεσσαρακοστῇ φησίν· „Χάρητός τε b

Chares.

esſe, ſagittâ hunc confodit; rurſusque mox alium, eâdem de cauſſâ. Quod cum intellexiſſet tertius, rediens dixit, *iamdudum Deam illum exſpectare.* Idem rex aliquando zelotypiâ adverſus uxorem ſuam correptus, propriis manibus discidit miseram, a pudendis facto initio.

43. Philippicorum libro decimo tertio de *Chabria* Athenienſi loquens Theopompus, ait: »Non poterat autem in urbe vivere, partim ob morum laſciviam & ſumtuoſam in vitae ratione magnificentiam; partim vero propter ipſos Athenienſes. Sunt enim illi omnibus claris viris infenſi. Quare clariſſimi quique extra urbem vitam degere praetulerunt: Iphicrates quidem in Thracia, Conon in Cypro, Timotheus Lesbi, Chares in Sigeo, Chabrias vero in Aegypto.« De *Charete* idem, libro quinto & quadrageſimo, ſcribit: »Segnis *Chares* & tar-

c νωθροῦ τε [1] ὄντος καὶ βραδέος, καί τοι γε καὶ [2] πρὸς τρυφὴν ἤδη ζῶντος· ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας, καὶ ψαλτρίας, καὶ πεζὰς ἑταίρας. καὶ τῶν χρημάτων τῶν εἰσφερομένων εἰς τὸν πόλεμον, τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ' αὐτοῦ [3] κατέλιπεν Ἀθηναίοις, τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσι, καὶ τῶν ἰδιωτῶν τοῖς δικαζομένοις. ἐφ' οἷς ὁ δῆμος ὁ τῶν Ἀθηναίων οὐδεπώ ποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν, καὶ δικαίως. καὶ γὰρ αὐτοὶ τοῦτον τὸν τρόπον
d ἔζων, ὥστε τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ ταῖς ἑταίραις διατρίβειν· τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους, ἔν τε τοῖς κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας, ἢπερ εἰς τὴν τῆς

1 Deeſt poſterius τε editis. 2 καὶ δὴ καὶ malebam. 3 τὰ δ' αὐτεῦ ed. Caſ.

dus erat, iamque molle & luxurioſum vitae genus coeperat ſectari: quippe exercitui praefectus tibicinas & cantatrices & vulgares meretrices ſecum circumducebat: & pecuniarum ad bellum collatarum partem in hoc ipſum probroſum vitae genus abſumſit, partem in urbe Athenis reliquit, oratoribus diſtribuendam, & plebiſcita proponentibus, & privatis hominibus quibus lites eſſent intentatae. Quibus rebus tantum aberat ut indignaretur umquam Athenienſium populus, ut eum magis etiam quam alios omnes cives diligerent: nec immerito. Nam & ipſi eodem modo vivebant; ut iuvenes apud tibicinas & meretrices aſſidue verſarentur, & his paulo natu maiores teſſerarum ludo & aliâ id genus laſciviâ tempus tererent, univerſus vero populus plura impenderet in publica epula & viſcerationes, quam in

πόλεως διοίκησιν." Ἐν δὲ τῷ ἐπιγραφομένῳ τοῦ Θεοπόμπου συγγράμματι, Περὶ τῶν ἐκ Δελφῶν συληθέντων χρημάτων· „Χάρητι, φησὶ, τῷ Ἀθηναίῳ διὰ Λυσάνδρου [1] τάλαντα ἑξήκοντα. ἀφ' ὧν ἐδείπνισεν Ἀθηναίους [2] ἐν τῇ ἀγορᾷ, θύσας τὰ ἐπινίκια τῆς γενο- e
μένης μάχης πρὸς τοὺς Φιλίππου ξένους." ὧν ἡγεῖτο [3] μὲν Ἄδαιος, Ἀλεκτρυὼν [4] ἐπικαλούμενος, περὶ οὗ καὶ ὁ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς μέμνηται οὕτως·

Ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου παραλαβὼν
ἀωρὶ κοκκύζοντα, καὶ πλανώμενον,
κατέκοψεν. οὐ γὰρ εἶχεν οὐδέπω λόφον.
Ἕνα [5] κατακόψας, μάλα συχνοὺς ἐδείπνισε
Χάρης Ἀθηναίων [6] τόθ'· ὡς γενναῖος [7] ἦν.

Τὰ αὐτὰ ἱστορεῖ καὶ Δοῦρις. f

1 Sub duobus verbis διὰ Λυσάνδρου longe aliud quid latere videtur. 2 Ἀθηναίοις edd. 3 Temere ἡγεῖτο ed. Caſ. 4 Forſ. Ἀλεκτρυὼν δ' ἐπικαλ. 5 Χ' ἕνα malebam. Κατὰ κόψας ms. *Ep.* Εἶτα Caſaub. 6 Χάρης δ' Ἀθηναίων ed. Baſ. & Caſ. Χάρης Ἀθηναίους *Epit.* 7 ὥσπερ γενν. ἦν. iidem libri.

civitatis adminiſtrationem. « Idem rurſus Theopompus, in libro qui inſcribitur De compilata ex Delphico templo Pecunia: » *Chareti*, ait, Athenienſi [per Lyſandrum] talenta ſexaginta: qua ex pecunia epulum praebuit Athenienſibus in foro, ſolennibus ſacris factis pro victoria parta in pugna adverſus Philippi mercenarios, quibus *Adaeus* praefuerat, cui cognomen *Gallus gallinaceus* erat.« Cuius etiam Heraclides meminit, poëta comicus his verbis:

Gallum Philippi poſtquam deprehendit,
intempeſtive canentem, & palantem,
concidit: nondum enim criſtam habebat.
Et caeſo uno, frequentiſſimum epulis excepit numerum
Chares tunc Athenienſium: ita magnificus erat.

Eadem Duris quoque narrat.

Ἰδομενεὺς δέ φησι, καὶ τοὺς Πεισιστρατίδας Ἱππίαν καὶ Ἵππαρχον εὑρεῖν θαλίας καὶ κώμους· διὸ καὶ ἵππων καὶ ἑτέρων [1] πολλῶν ἐπιπολάσαι τὸ πλῆθος παρ' αὐτοῖς· ὅθεν βαρεῖαν αὐτῶν γενέσθαι τὴν ἀρχήν. καί τοι ὁ πατὴρ αὐτῶν Πεισίστρατος μετρίως ἐχρῆτο ταῖς ἡδοναῖς· ὥστ' οὐδ' ἐν τοῖς χωρίοις, οὐδ' ἐν τοῖς κήποις φύλακας ἐφίστα, [2] ὡς Θεόπομπος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ, ἀλλ' εἴα τὸν βουλόμενον εἰσίοντα ἀπολαύειν, καὶ λαμβάνειν ὧν δεηθείη· ὅπερ ὕστερον ἐποίησε καὶ Κίμων, μιμησάμενος ἐκεῖνον. περὶ οὗ καὶ αὐτοῦ ἱστορῶν ἐν τῇ δεκάτῃ τῶν Φιλιππικῶν ὁ Θεόπομπος φησί· „Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται, καὶ λαμβάνωσιν εἴ τινος δέοιντο τῶν ἐν τοῖς χωρίοις.

XLIV. Hippias & Hipparchus prodigi. Moderatior eorum pater Pisistratus. Cimon liberalis & beneficus.

1 πορνῶν καὶ ἑταιρῶν coni. Casaub. 2 ἐφίστατο edd.

44. Idomeneus vero scribit, Pisistratidas etiam, *Hippiam* & *Hipparchum*, lauta epula & comessationes inveniſſe: itaque & equorum & aliarum rerum (ad luxum pertinentium:) [*ſive, ut corrigunt viri docti*, & scortorum] ingens multitudo penes illos erat: unde grave, ait, fuiſſe illorum imperium. At pater illorum *Piſiſtratus* moderate uſus erat voluptatibus; ita quidem ut nec praediis ſuis nec hortis cuſtodes praeficeret, ut narrat Theopompus libro viceſimo primo, ſed volenti cuique poteſtatem faceret intrandi fruendique, & ſumendi quod cuperet. Similiter poſtea *Cimon* fecit, illius imitatus exemplum. De quo idem Theopompus verba faciens Philippicorum libro decimo, ita ſcribit: »*Cimon* Athenienſis praediis ſuis hortisque nullum fructuum cuſtodem imponebat, ne quis civium impediretur quo minus intraret fructusque arborum carperet, aut quibus rebus vellet in praediis ipſius frueretur. Deinde domum ſuam

ἔπειτα τὴν οἰκίαν παρεῖχε κοινὴν ἅπασι,[1] καὶ δεῖ- b
πνον ἀεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώ-
ποις, καὶ τοὺς ἀπόρους προσιόντας τῶν Ἀθηναίων εἰ-
σιόντας δειπνεῖν. ἐθεράπευε δὲ καὶ τοὺς καθ' ἑκάστην
ἡμέραν αὐτοῦ τι δεομένους· καὶ λέγουσιν, ὡς περιήγε-
το μὲν ἀεὶ νεανίσκους δύο ἢ τρεῖς, ἔχοντας κέρματα·
τούτοις τε [2] διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι
αὐτοῦ δεόμενος. καί φασι μὲν αὐτὸν καὶ εἰς ταφὴν
εἰσφέρειν. ποιεῖν δὲ καὶ τοῦτο πολλάκις, ὁπότε τῶν
πολιτῶν τινα ἴδοι κακῶς ἠμφιεσμένον, κελεύειν [3] αὐ- c
τῷ [4] μεταμφιέννυσθαι τῶν νεανίσκων τινὰ τῶν συνακο-
λουθούντων αὐτῷ. ἐκ δὴ τούτων ἁπάντων ἠδοκίμει,
καὶ πρῶτος ἦν τῶν πολιτῶν." Ὁ δὲ Πεισίστρατος
καὶ ἐν πολλοῖς βαρὺς ἐγένετο· ὅπου καὶ τὸ Ἀθήνησι

1 Forſ. ὡς καὶ δεῖπνον. 2 τούτοις δὲ edd. 3 Temere κελεύει ed. Caſ. 2. & 3. 4 αὐτὸν edd.

in commune praebebat omnibus; ira quidem ut etiam quotidie frugalis coena multis hominibus parata eſſet, &, quicumque tenuioris fortunae cives accederent, iis intrare coenareque liceret. Curabatque etiam eos, qui quolibet die aliquid ab eo peterent aut opis eius indigerent: diciturque conſtanter quocumque iret ſecum habuiſſe duos aut tres adoleſcentes, nummis inſtructos, quibus mandatum erat, ut darent quoties accederet quispiam qui a ſe aliquid petiturus videretur. Dicunt etiam ad efferendos mortuos ſaepe ſumtus eum contuliſſe. Etiamque hoc ſaepius feciſſe, ut, ſi quem civium vidiſſet male veſtitum, iuberet aliquem ex adoleſcentibus, qui ipſum ſequebantur, cum illo permutare amiculum. Quibus rebus omnibus magnam famam eſt conſecutus, & civium princeps eſt habitus." At *Piſiſtratus* in multis etiam rebus gravis fuit civibus; (*ſive*, multa etiam arroganter & odioſe fecit;) quippe etiam Bacchi vultum, eius qui Athenis

τοῦ [1] Διονύσου πρόσωπον ἐκείνου τινές φασιν [2] εἰκόνα.

XLV. Περικλέα δὲ τὸν Ὀλύμπιόν φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἡδονῆς, ὡς ἀπήλλαξεν ἐκ τῆς οἰκίας τὴν γυναῖκα, καὶ τὸν μεθ' ἡδονῆς βίον προείλετο, d ᾤκει τε μετὰ Ἀσπασίας τῆς ἐκ Μεγάρων ἑταίρας, καὶ τὸ πολὺ μέρος τῆς οὐσίας εἰς ταύτην κατανάλωσε. Θεμιστοκλῆς δ', οὕπω Ἀθηναίων μεθυσκομένων, οὐδ' ἑταίραις χρωμένων, ἐκφανῶς τέθριππον ζεύξας ἑταιρίδων, διὰ τοῦ Κεραμεικοῦ [3] πληθύοντος ἑωθινὸς ἤλασεν. ἀμφιβόλως δ' αὐτὸ εἴρηκεν ὁ Ἰδομενεύς, εἴτε ἑταίρας τέτταρας συνυπέζευξεν [4] ὡς ἵππους, εἴτε ἀνεβίβασεν [5] αὐτὰς ἐπὶ τὸ τέθριππον. Πόσις [6] δ', ἐν τρίτῳ Μαγνητικῶν, τὸν Θεμιστοκλέα, φησὶν, ἐν Μαγνησίᾳ τὴν στεφανηφόρον ἀρχὴν ἀναλαβόντα, θῦσαι Ἀθηνᾷ, καὶ τὴν ἑορτὴν Παναθήναια ὀνομάσαι· καὶ Διο-

Pericles intemperans & prodigus.

Themistocles.

1 τοῦ abest ms. *Ep.* 2 φασὶν εἶναι εἰκόνα ed. Cas. 3 Κεραμικοῦ edd. 4 συνεπεζεύξεν edd. 5 ἀνεβίβαζεν ed. Bas. & Cas. 6 Πόσις edd.

est, ad illius similitudinem effictum esse aiunt nonnulli.

45. *Periclem* vero Olympium, ait Heraclides Ponticus in libro de Voluptate, uxore sua domo exacta voluptati se tradidisse, & cum Aspasia meretrice Megarica habitasse, in eamque bonorum suorum maiorem partem absumsisse. *Themistocles* vero, quo tempore nondum Athenienses vulgo temulentiae & scortationi dediti erant, *quadrigis iunctis meretricularum* publice per Ceramicum, hominibus frequentem, mane transvectus est. Quam rem narrans Idomeneus, ambigue locutus est; ut nescias, utrum quatuor meretrices veluti equos quadrigis iunxerit, an in quadrigis illas fecerit sedere. Possis vero (*sive*, Posis) tertio libro Rerum Magneticarum ait, Themistoclem Magnesiae, suscepta Coronifera dignitate, Minervae sacra fecisse, illumque festum diem *Panathenaea*

νύσῳ Χοοπότῃ θυσιάσαντα, καὶ τὴν Χοῶν ἑορτὴν αὐτόθι καταδεῖξαι. Κλέαρχος δ', ἐν πρώτῳ Περὶ Φιλίας, [1] τὸν Θεμιστοκλέα φησὶν [2] τρίκλινον οἰκοδομησάμενον περικαλλέστατον, ὡς [3] ἀγαπᾶν ἔφησεν, εἰ τοῦτον φίλων πληρώσειεν. [4]

XLVI. Artemo Periphoretus.

Χαμαιλέων δ' ὁ Ποντικὸς, ἐν τῷ Περὶ Ἀνακρέοντος, προθεὶς τὸ,

„Ξανθῇ δ' Εὐρυπύλῃ μέλει
„ὁ περιΦόρητος Ἀρτέμων· "

τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ ἐ τρυΦερῶς βιοῦντα περιΦέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυΦὴν ὁρμῆσαί Φησιν, ἐν τούτοις·

Πρὶν μὲν ἔχων βερβέριον, [5] καλύμματα [6]

1 Φιγαλίας edd. 2 Rurſus ἐν Μαγνησίᾳ hîc inſerunt edd. 3 Deeſt vulgo ὡς. 4 πληράσει ed. Baſ. & Caſ. 5 βερβέρινα ed. Caſ. βερβέρια Barn. Forſ. Κερβέριον. 6 χάλυμμά τ' ed. Ven. & Baſ. καλύμματ' Barn.

vocaſſe: itemque Baccho Choopotae ſacra facientem, *Choum* (i. e. Congiorum) *feſtum* ibidem inſtituiſſe. Clearchus vero, libro primo De Amicitia, Themiſtoclem ait, poſtquam triclinium ſingulari elegantia conſtruendum ſibi curaſſet, dixiſſe, *contentum ſe fore, ſi amicis illud implere poſſit.*

46. Chamaeleon vero Ponticus, in Commentario in Anacreontem, ad verba iſta,

Flavae vero Eurypylae curae eſt
Periphoretus Artemon:

ſcribit: cognomen illud inveniſſe Artemonem eo, quod molliter agens vitam, in lectulo circumferretur. Nam & Anacreon eum ait, cum pauper prius fuiſſet, mollitiem dein eſſe ſectatum. Verba poëtae haec ſunt:

Olim habens berberium, [id eſt, *miſerum amiculum*,]
cauſiamque

ἐσφηκωμένα, καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ, [1]
καὶ ψιλὸν περὶ πλευρῇσι βοὸς νεόπλουτον [2]
εἴλυμα [3] κακῆς ἀσπίδος·
ἀρτοπώλισιν [4] καὶ ἑθελοπόρνοισιν [5]
a ὁμιλέων ὁ πονηρὸς [6] ὁ Ἀρτέμων, [7]
κίβδηλον εὑρίσκων βίον,
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα,
πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δ' ἐν νώτῳ σκυτίνῳ [8]
μάστιγι θωμιχθεὶς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων, [9] χρύσεα
Φορέων [10] καθέρματα [11] παῖς Κύκης, [12]

1 ἐν ποσὶ corr. Dal. Caſ. & Barn. 2 νεόπλυτον ms. *Ep.* & ed. Caſ. Dal. Barn. 3 εἴλημα edd. 4 ἀρτοπώλοισιν ed. Ven. Baſ. Caſ. 3. ἀρτοπώλησι ms. *Ep.* ἀρτοπώλησιν ed. Caſ. 1. 2. ἀρτοπώλῃσι Barn. 5 καὶ ἑθελοπόροισιν ed. Ven. & Baſ. καὶ ἑθελοπορνοισιν Barn. 6 ὁ παμπόνηρος Barn. 7 Repetitum articulum ignorant edd. 8 σκυτίνᾳ ed. Caſ. Barn. 9 σατίνεται ed. Ven. & Baſ. 10 φαρέων ms. *A.* & ed. Ven. 11 καὶ θέρματα ed. Ven. & Baſ. καθέματα corr. Caſ. 12 παῖς τύχης corr. Toup.

(capiti) *adſtrictam, & ligneos aſtragalos in auribus,*
& nudum circa coſtas bovis recens-adquiſitum
involucrum pravi clypei:
cum mulieribus-panariis & voluntariis-proſtibulis
verſatus improbus Artemon,
miſeram inveniens vitam,
ſaepe in colliſtrigio ponens cervicem,
ſaepeque in rotâ,
ſaepe etiam a tergo caeſus
coriaceo flagro, comam
barbamque evulſus:
nunc vero conſcendit currus, aureas
geſtans inaures, filius Cycae;

καὶ σκιαδίσκην ἐλεφαντίνην 15
φορεῖ γυναιξὶν αὕτως. [1] b

XLVII. Alcibiadis luxuria.

Περὶ δὲ τοῦ καλοῦ Ἀλκιβιάδου Σάτυρος ἱστορῶν· „Λέγεται, φησὶν, ὅτι ἐν Ἰωνίᾳ μὲν ὢν, Ἰώνων [2] ἐφαίνετο τρυφερώτερος· ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος, τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος· ἐν Θετταλίᾳ δὲ ἱπποτροφῶν καὶ ἡνιοχῶν, τῶν Ἀλευαδῶν ἱππικώτερος. ἐν Σπάρτῃ δὲ καρτερίαν καὶ ἀσφάλειαν ἐπιτηδεύων, ἐνίκα τοὺς Λάκωνας· ὑπερῆρε δὲ καὶ τὴν τῶν Θρᾳκῶν ἀκρατοποσίαν. Τὴν δὲ αὐτοῦ [3] γυναῖκα πειρῶν, ὡς ἕτερος ἔπεμψεν αὐτῇ χιλίους Δαρεικούς. Κάλλιστος δὲ ὢν τὴν μορφὴν, κόμην τε [4] ἔτρεφεν ἐπὶ πολὺ τῆς ἡλικίας, καὶ ὑποδήματα παρηλλαγμένα ἐφόρει, ἃ ἀπ' αὐτοῦ Ἀλκιβιάδες [5] καλεῖται. c

1 φορεῖ γυνὴ ξέν' αὐτῷ lego cum Iac. 2 Deeſt Ἰώναν msstis. 3 αὐτοῦ ms. *A.* Ἄγιδος & dein ἑταῖραν corrigendum cenſuerat Caſaub. 4 Temere χόμην δὲ ed. Baſ. & Caſ. 5 Vitioſe Ἀλκιβιάδεος ed. Caſ. 2. & 3.

& umbellam eburneam
praefert ei peregrina mulier.

47. De formoſo vero *Alcibiade* narrans Satyrus, ait: »Dicunt, cum in Ionia eſſet, luxurioſiorem fuiſſe Ionibus; cum Thebis exercitationibus corporis daret operam, magis Boeotum quam ipſi Thebani; in Theſſalia vero cum alendis equis & aurigationi vacaret, peritiorem illius artis fuiſſe quam Aleuadae. Spartae vero patientiae & conſtantiae [*ſive*, tenuitati victus cultusque] ſtudens, Spartanos omnes ſuperavit: in Thracia rurſus Thracas meri potu antecelluit. Idem propriae uxori, quo eam tentaret, alieno nomine mille miſit Daricos. Quum autem pulcerrimâ eſſet corporis formâ, in magnam aetatis partem comam aluit, [*ſive*, comam aluit in eam longitudinem ut ultra medium ſtaturae ipſius promiſſa eſſet;] & inſolitum genus calceorum geſtabat,

Ὅτε δὲ χορηγοίη πομπεύων ἐν πορφυρίδι, εἰσιὼν εἰς τὸ θέατρον ἐθαυμάζετο οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ καὶ ὑπὸ τῶν γυναικῶν. διὸ καὶ Ἀντισθένης ὁ Σωκρατικὸς, ὡς ἂν αὐτὸς αὐτόπτης γεγονὼς τοῦ Ἀλκιβιάδου, [1] ἰσχυρὸν αὐτὸν, καὶ ἀνδρώδη, καὶ ἀπαίδευτον, καὶ τολμηρὸν, καὶ ὡραῖον ἐφ' ἡλικίας γενέσθαι
d φησίν. Εἰς δὲ τὰς ἀποδημίας ὁπότε στέλλοιτο, τέσσαρσι τῶν συμμαχίδων πόλεων ὥσπερ θεραπαίναις ἐχρῆτο. σκηνὴν μὲν γὰρ αὐτῷ Περσικὴν ἔπησσον Ἐφέσιοι· τροφὴν δὲ τοῖς ἵπποις αὐτοῦ Χῖοι [2] παρεῖχον· ἱερεῖα δὲ παρίσταντο εἰς τὰς θυσίας καὶ κρεονομίας [3] Κυζικηνοί· Λέσβιοι δὲ οἶνον παρεῖχον, καὶ τὰ ἄλλα τὰ πρὸς τὴν καθ' ἡμέραν δίαιταν. Ἀφικόμενος δ' Ἀθήνησιν ἐξ Ὀλυμπίας, δύο πίνακας ἀνέθηκεν, Ἀγλαοφῶντος γραφῆ· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτόν· ἐν δὲ θατέρῳ Νεμέα ἦν

1 Ἀλκιβιάδους edd. 2 Κῖοι edd. vett. & mss. 3 κρεανομ. ms. *Ep.*

60. »*Demetrius* vero *Phalereus*, ut Duris narrat Hiſtoriarum libro decimo ſexto, cum mille & ducenta talenta quotannis ei redirent, exiguam huius ſummae partem in militum ſtipendia & in civitatis impendit adminiſtrationem, reliqua omnia pro inſitâ ſibi intemperantiâ profudit, epula quotidie ſplendida magno convivarum numero exhibens: & ſumtu quidem in coenas facto Macedonas ſuperavit, elegantiâ vero Cyprios & Phoenices: & unguenta largiter in terram profundebantur, & multa in coenaculis pavimenta florida aliisque modis artificioſe variegata erant. Erant vero etiam taciti cum mulieribus congreſſus, & iuvenum amores nocturni: &, qui aliis leges & iura dabat Demetrius, vi-

μήτριος, καὶ τοὺς βίους τάττων, ἀνομοθέτητον ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως, τήν τε τρίχα τὴν ἐπὶ τῆς κεφαλῆς ξανθιζόμενος, καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος, καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν· ἠβούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαντῶσιν ἡδὺς φαίνεσθαι. ἐν δὲ τῇ πομπῇ τῶν Διονυσίων, ἣν ἔπεμψεν [1] ἄρχων γενόμενος, ᾖδεν χορὸς εἰς αὐτὸν ποιήματα Σειρώμενος [2] τοῦ Σολέως,[3] ἐν οἷς ἡλιόμορφος προσηγορεύετο·

Ἐξόχως δὲ εὐγενέτας
ἡλιόμορφος [4] ζαθέοις
ἄρχων σε τιμαῖς γεραίρει.“

Καρύστιος δὲ ὁ Περγαμηνὸς, ἐν τρίτῳ Ὑπομνημάτων· „Δημήτριος, φησὶν, ὁ Φαληρεὺς, Ἱμεραίου τοῦ ἀδελφοῦ ἀναιρεθέντος ὑπ' Ἀντιπάτρου, αὐτὸς μετὰ Νικά-

1 ἔπεμπεν edd. 2 Καστορίωνος ex coniect. corrigunt. 3 Σωλέως edd. 4 ἠπιάμοιρος vulgo h. l.

tamque eorum moderabatur, idem sibi ipse vitam elegerat nullis legibus adstrictam. Sed & formae erat curiosus, ut qui crinem capitis flavo colore tingeret, & faciem paederote oblineret, aliisque unguentis sese inungeret: volebat enim adspectu hilaris & venustus videri occurrentibus. In pompa vero Dionysiorum, quam ducebat cum archon esset Athenis, cecinit in eum chorus carmen Siromenis [*sive*, Castorionis?] Solensis, in quo *Solis-instar-formosus* adpellabatur:

Eminenter vero generosus
Solis-instar-formosus divinioribus
Archon te (Bacchum) *honoribus decorat.*“

Carystius vero Pergamenus, tertio libro Commentariorum, ait: » Demetrius Phalereus, interfecto Himeraeo fratre eius ab Antipatro, ipse apud Nicanorem versa-

νορος διέτριβεν, αἰτίαν ἔχων ὡς τὰ Ἐπιφάνεια τοῦ ἀδελφοῦ θύων. Κασάνδρῳ δὲ γενόμενος φίλος, μέγα ἴσχυσε. καὶ κατ' ἀρχὰς μὲν ἦν αὐτοῦ τὸ ἄριστον, f ὀξύβαφα παντοδαπὰς ἐλαίας ἔχοντα, καὶ τυρὸν νησιωτικόν. [1] ὡς δ' ἐπλούτησε, Μοσχίωνα τὸν ἄριστον τῶν τότε μαγείρων καὶ δειπνοποιῶν ἐωνήσατο· καὶ τοσαῦτα ἦν τὰ παρασκευαζόμενα καθ' ἡμέραν, ὥστε χαρισαμένου τῷ Μοσχίωνι τὰ λείψανα, Μοσχίων ἐν ἔτεσι δύο τρεῖς συνοικίας ἐωνήσατο, παῖδάς τ' ἐλευθέρους ὕβριζεν, καὶ γυναῖκας τὰς τῶν ἐπιφανεστάτων. Ἐζηλοτύπουν δὲ πάντες οἱ παῖδες τὸν ἐρώμενον αὐτοῦ Θεόγνιν· [2] καὶ τοσοῦτον ἦν τῷ Δημητρίῳ προσελθεῖν, ὥστε μετ' ἄριστον αὐτοῦ περιπατήσαντος παρὰ τοὺς Τρίποδας συνῆλθον εἰς τὸν τόπον παῖδες κάλλιστοι a ταῖς ἑξῆς ἡμέραις, ἵν' ὀφθεῖεν αὐτῷ."

LXI. Νικόλαος δ' ὁ Περιπατητικὸς, ἐν τῇ δεκάτῃ [3] καὶ

1 νησιωτικὸν ms. *A*. 2 Δίογνιν *Epit*. 3 ἕκτῃ Dalec.

batur; perhibeturque *Epiphania* celebraſſe fratris. Deinde per Caſandri benevolentiam ad magnam poteſtatem pervenit. Et initio quidem prandium ei fuerat, acetabula omnifariis olivis repleta, & inſularis caſeus. Ut vero ditatus eſt, Moſchionem coquorum ea aetate optimum & coenarum parandarum peritiſſimum emit: & tanta ciborum copia quotidie parabatur, ut, quum Moſchioni reliquias donaret Demetrius, intra duos annos Moſchion tres in urbe inſulas emeret, & liberis pueris & illuſtriſſimorum virorum uxoribus ſtuprum inferret. Theogni amaſio eius omnes pueri invidebant: & tanti habebatur ad Demetrium accedere, ut, quum ille poſt prandium obambulaſſet apud Tripodas, inſequentibus diebus formoſiſſimi quique pueri eum in locum convenirent, quo ab illo conſpicerentur.«

61. Nicolaus vero Peripateticus, decimo & viceſimo

εἰκοστῇ τῶν Ἱστοριῶν, Λεύκολλον,[1] φησὶν, ἀφικόμενον εἰς Ῥώμην, καὶ θριαμβεύσαντα, λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου, ἐξωκεῖλαι[2] εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, τρυφῆς τε πρῶτον εἰς ἅπαν Ῥωμαίοις ἡγεμόνα γενέσθαι, καρπωσάμενον δυεῖν βασιλέων[3] πλοῦτον, Μιθριδάτου, καὶ Τιγράνου. Διαβόητος δ' ἦν παρὰ Ῥωμαίοις καὶ b Σίττιος ἐπὶ τρυφῇ καὶ μαλακίᾳ· ὡς φησι Ῥουτίλιος. περὶ γὰρ Ἀπικίου προειρήκαμεν. Παυσανίαν δὲ[4] καὶ Λύσανδρον ἐπὶ τρυφῇ διαβοήτους γενέσθαι, σχεδὸν πάντες ἱστοροῦσι. διόπερ καὶ Ἄγις ἐπὶ[5] Λυσάνδρου ἔφη, ὅτι δεύτερον τοῦτον ἡ Σπάρτη φέρει Παυσανίαν. Θεόπομπος δὲ, ἐν τῇ δεκάτῃ τῶν Ἑλληνικῶν, τἀναντία φησὶν περὶ τοῦ Λυσάνδρου, ὅτι „Φιλόπονος ἦν, καὶ[6] θεραπεύειν δυνάμενος καὶ ἰδιώτας καὶ βασιλεῖς, σωφρονῶν, καὶ τῶν ἡδονῶν ἀπασῶν[7] κρείττων. γενόμε-

Lucullus luxuriae auctor Romanis.

Sittius.

Pausanias & Lysander.

1 Λεύκουλον ed. Ven. Λεύκυλλον ed. Bas. & Cas. 2 Rectius fuerit ἐξοκεῖλαι. 3 βασιλείοιν edd. 4 Παυσ. τε ms. *A*. Καὶ Παυσ. δὲ ms. *Ep*. 5 Fors. περὶ Αυσ. 6 Deest καὶ edd. 7 πασῶν edd.

Historiarum libro, *Lucullum*, ait, postquam triumphans Romam rediisset, rationemque exposuisset belli Mithridatici, e pristina modestia ad luxuriosam vitam deflexisse, primumque luxus ducem auctoremque Romanis fuisse, duorum regum divitiis potitum, Mithridatis & Tigranis. Famosus vero etiam apud Romanos luxuriae & mollitiei caussâ *Sittius* fuit; ut Rutilius ait. Nam de *Apicio* iam ante commemoravimus. *Pausaniam* vero & *Lysandrum* luxuriae nomine famosos fuisse, omnes propemodum tradiderunt. Quare & Agis de Lysandro dixit, *alterum hunc Spartam tulisse Pausaniam*. Theopompus vero, decimo libro Rerum Graecanicarum, contraria de Lysandro scribit: »*fuisse industrium, qui officiis demereri noviſſet & privatos & reges; eumdem temperantem, nullique vo-*

νος γοῦν τῆς Ἑλλαδος σχεδὸν ἀπάσης κύριος, ἐν οὐδεμίᾳ Φανήσεται τῶν πόλεων οὔτε πρὸς τὰς ἀφροδισίους ἡδονὰς ὁρμήσας, οὔτε μέθαις καὶ ποτοις ἀκαίροις χρησάμενος.“ c

LXII. Parrhasii pictoris mollities & arrogantia.

Οὕτω δὲ παρὰ τοῖς ἀρχαίοις τὰ τῆς τρυφῆς καὶ τῆς πολυτελείας ἠσκεῖτο, ὡς καὶ Παρράσιον τὸν ζωγράφον πορφύραν ἀμπέχεσθαι, χρυσοῦν στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχοντα, ὡς ἱστορεῖ Κλέαρχος ἐν τοῖς Βίοις. οὗτος γὰρ παρὰ μέλος ὑπὲρ τὴν γραφικὴν [1] τρυφήσας, λογῳ τῆς ἀρετῆς ἀντελαμβάνετο, καὶ ἐπέγραφε τοῖς ὑπ' αὐτοῦ ἐπιτελουμένοις ἔργοις·

Ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τόδ' ἔγραψε. d

καί τις ὑπεραλγήσας ἐπὶ τούτῳ, παρέγραψεν „Ῥαβδοδίαιτος ἀνήρ.“ ἐπέγραψε δὲ ἐπὶ πολλῶν ἔργων αὐτοῦ καὶ τάδε·

1 Forſ. ὑπὲρ τῆς γραφικῆς.

luptati ſervientem. Sane, quum totius fere Graeciae, inquit, dominus eſſet, in nulla civitate aut venereis indulſiſſe voluptatibus, aut temulentiae & intempeſtivis compotationibus, comperietur. «

62. Adeo vero in uſu apud veteres fuit luxuria & magnificentia, ut etiam *Parrhaſius* pictor purpurâ amictus incederet, aureamque coronam in capite geſtans, ut narrat Clearchus in Vitis. Hic enim praeter modum & ſupra pictoris ſortem luxurians, verbis virtutem profeſſus eſt, & in operibus a ſe confectis inſcribere conſueverat:

Delicatae vir vitae, virtutemque colens, hocce pinxit.

Qua inſcriptione indignatus aliquis, pro eo quod ille ἁβροδίαιτος ait, ῥαβδοδίαιτος adſcripſit. (quaſi diceret, *baculo dignus.*) Multis vero ſuorum operum etiam hos verſus inſcripſit:

Ἀβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ' ἔγραψεν
Παρράσιος, κλεινῆς πατρίδος ἐξ Ἐφέσου.
οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς [νιν] ἔφυσε [1]
γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.
Ἡὔχησε δ' ἀνεμεσήτως ἐν [2] τούτοις·
e Εἰ καὶ [3] ἄπιστα κλύουσι λέγω τάδε· [4] φημὶ γὰρ, ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ' ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
οὖρος. ἀμώμητον δ' οὐδὲν ἔγεντο βροτοῖς.
Ἀγωνιζόμενος δέ ποτε πρὸς καταδεέστερον ἐν Σάμῳ τὸν Αἴαντα, καὶ ἡττηθεὶς, συναχθομένων αὐτῷ τῶν φίλων, ἔφη ὡς αὐτὸς μὲν ὀλίγον φροντίζοι, Αἴαντι δὲ
f συνάχθοιτο δεύτερον ἡττηθέντι. Ἐζόρει δὲ ὑπὸ τρυφῆς πορφυρίδα, καὶ στρόφιον λευκὸν ἐπὶ τῆς κεφαλῆς εἱ-

1 ὅς γ' ἀνέφυσε edd. ὃς ἀνέφυσε Ms. 2 ἐπὶ edd. 3 τούτοισι καὶ ἄπιστα vulgo. 4 Deeſt vulgo τάδε.

Delicatae vir vitae, virtutemque colens, haec pinxit
Parrhaſius, cui patria eſt inclyta Epheſus.
Nec patris oblitus ſum Euenoris, qui me genuit
legitimum, Graecorum primas in arte ferentem.

Gloriatus eſt etiam citra invidiam hisce verbis:

Incredibilia haec licet narrans audientibus, (dicam tamen.) *Aio enim, iam*
artis repertos eſſe terminos huius haud dubios
noſtris a manibus: & inſuperabilis fixus eſt
limes. Nihil autem, quod faciunt mortales, reprehenſioni non eſt obnoxium.

Aliquando Sami quum in certamen deſcendiſſet cum minus ſolerte pictore de pingendo Aiace, victusque eſſet; condolentibus amicis ait, *ſe quidem parum curare, ſed Aiacis vicem dolere iterum victi.* Is autem fuit illius luxus, ut purpuram geſtaret, & albam faſciam in capite, ſcipio-

χεν, [1] σκίπωνί τε [2] ἐστηρίζετο χρυσᾶς ἕλικας ἐμπεπαισμένῳ, χρυσοῖς τε ἀναστραστοῖς [3] ἐπέσφιγγε τῶν βλαυτῶν τοὺς ἀναγωγέας. Ἀλλ' οὐδὲ τὰ κατὰ τὴν τέχνην ἀηδῶς ἐποιεῖτο, ἀλλὰ ῥᾳδίως, ὡς καὶ ᾄδειν γράφοντα, ὡς ἱστορεῖ Θεόφραστος ἐν τῷ Περὶ Εὐδαιμονίας. τερατευόμενος δὲ ἔλεγεν, ὅτε τὸν ἐν Λίνδῳ Ἡρακλέα ἔγραφεν, ὡς ὄναρ αὐτῷ ἐπιφαινόμενος ὁ θεὸς σχηματίζοι αὐτὸν πρὸς τὴν τῆς γραφῆς ἐπιτηδειότητα. ὅθεν καὶ ἐπέγραψε τῷ πίνακι·

Οἷος δ' ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν a
Παῤῥασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

LXIII. Aristippus Cyrenaicus.

Καὶ φιλοσόφων δὲ αἱρέσεις ὅλαι τῆς περὶ τὴν τρυφὴν αἱρέσεως ἀντεποιήσαντο· καὶ ἥ γε Κυρηναϊκὴ καλουμένη, ἀπ' Ἀριστίππου τοῦ Σωκρατικοῦ τὴν ἀρχὴν λαβοῦσα· ὃς ἀποδεξάμενος τὴν ἡδυπάθειαν, ταύτην τέλος εἶναι ἔφη, καὶ ἐν αὐτῇ τὴν εὐδαιμονίαν βε-

1 Deest εἶχεν edd. 2 σκίμπανί τε edd. 3 ἀναπάστοις ms. *Ep.* ἀναστάτοις Eustath. & Aelian. ἀναστάστροις videtur scrib.

ne vero niteretur aureis gyris incrustato, aureisque fibulis lora adstringeret crepidarum. Caeterum in opere faciendo occupatus non severus aut tristis erat, sed multa urebatur facilitate, ita ut etiam cantaret dum pingeret, ut narrat Theophrastus in libro de Felicitate. Miraculum vero crepuit, cum Lindi Herculem pinxit; dicens, per quietem sibi apparuisse Deum eâ formâ quae ad pingendum maxime esset idonea. Quare etiam hos versus tabulae inscripsit:

Qualem noctu saepe videndum sese offerebat
dormienti Parrhasio, talem hic videre licet.

63. Sed *Philosophorum* totae scholae studium voluptatis professi sunt. In his *Cyrenaica* quae vocatur secta, ab *Aristippo Socratico* ortum ducens; qui Voluptatem ita probavit, ut hunc finem esse bonorum diceret, & in ea

βλῆσθαι, καὶ μονόχρονον αὐτὴν εἶναι· παραπλησίως
τοῖς ἀσώτοις, οὔτε τὴν μνήμην τῶν γεγονυιῶν ἀπο-
b λαύσεων πρὸς αὐτὸν ἡγούμενος, οὔτε τὴν ἐλπίδα τῶν
ἐσομένων, ἀλλ' ἐνὶ μόνῳ τὸ ἀγαθὸν κρίνων τῷ παρόν-
τι, τὸ δὲ ἀπολελαυκέναι καὶ ἀπολαύσειν οὐδὲν νομί-
ζων πρὸς αὐτὸν, τὸ μὲν ὡς οὐκ ἔτ' ὄν, τὸ δὲ οὔπω καὶ
ἄδηλον· ὁποῖον καὶ οἱ τρυφῶντες πάσχουσι, τὸ παρὸν
εὖ ποιεῖν ἀξιοῦντες. Ὡμολόγησε δ' αὐτοῦ τῷ δόγμα-
τι καὶ ὁ βίος, ὃν ἐβίωσεν ἐν πάσῃ τρυφῇ καὶ πολυ-
τελείᾳ μύρων καὶ ἐσθήτων καὶ γυναικῶν. Λαΐδα γοῦν
ἀναφανδὸν εἶχε τὴν ἑταίραν, καὶ ταῖς Διονυσίου πο-
c λυτελείαις ἔχαιρεν, καίτοι πολλάκις ἐνυβριζόμενος.
Ἡγήσανδρος γοῦν φησιν, ὡς καὶ ἀδόξου ποτὲ κλισίας
παρ' αὐτῷ τυχὼν, ἤνεγκεν· ἐρωτήσαντός τε τοῦ Διονυ-
σίου, τί φαίνεται ἡ κατάκλισις πρὸς τὴν χθές; ἔφη-

fitam vitam beatam, eſſeque eam unius temporis: haud ſecus atque perditiſſime luxurioſi, nec praeteritarum voluptatum memoriam nec ſpem futurarum ad ſe pertinere exiſtimans; ſed uno praeſenti tempore Bonum hominis metiens, voluptatem autem percepiſſe aut percepturum eſſe nihil ad ſe eſſe ratus, quorum quippe alterum non amplius ſit, alterum vero nondum ſit atque incertum: prorſus ut homines luxu & mollitie diffluentes, qui nonniſi id quod praeſens ſit bene facere homini poſſe exiſtimant. Et praeceptis eius conſentanea vita fuit, quam in omni luxuriâ, & profuſis in unguenta, in veſtes, in mulieres ſumtibus, traduxit. Laidem quidem palam habuit amicam, & Dionyſii magnificentiâ gaviſus eſt, quamvis ſaepe ignominioſe ab illo exceptus. Narrat quidem Hegeſander, patienter eum tuliſſe, quum aliquando parum honeſtus locus ei in convivio eſſet adſignatus: & interroganti Dionyſio, *quid ipſi videretur de hodierno loco, cum illo collato, quem pridie obtinuiſſet?* reſpon-

σε „παραπλησίαν εἶναι. ἐκείνη τε γὰρ, ἔφησεν, ἀδοξεῖ τήμερον, χωρισθεῖσα ἐμοῦ· χθὲς δὲ πασῶν ἦν ἐνδοξοτάτη δι' ἡμᾶς. αὕτη δὲ τήμερον καὶ ἔνδοξος γέγονεν, διὰ τὴν ἡμετέραν παρουσίαν· χθὲς δὲ ἠδόξει, μὴ [1] παρόντος ἐμοῦ." καὶ ἐν ἄλλοις δέ φησιν ὁ Ἡγήσανδρος· „Ἀρίστιππος ῥαινόμενος μὲν ὑπὸ τῶν τοῦ Διονυσίου d θεραπόντων, σκωπτόμενος [2] δὲ ἐπὶ τῷ ἀνέχεσθαι [3] ὑπ' Ἀντιφῶντος· „Εἰ δ' ἁλιευόμενος ἐτύγχανον, ἔφη, καταλιπὼν τὴν ἐργασίαν ἂν ἀπῆλθον;" Διέτριβεν δ' ὁ Ἀρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν. διὸ καὶ ὁ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασί φησιν, ὅτι πολλάκις ἐνουθέτει αὐτὸν ὁ Σωκράτης, καὶ τὴν ἠθοποιΐαν πλάσας τῆς Ἀρετῆς καὶ τῆς Ἡδονῆς εἰσῆγεν. Ὁ δ' Ἀρίστιππος ἐπὶ τῆς Λαΐδος ἔλεγεν· „Ἔχω, καὶ οὐκ ἔχομαι." Καὶ παρὰ Διονυσίῳ διηνέχθη τισὶ περὶ τῆς

1 Perperam deeſt μὴ ed. Caſ. 2. & 3. 2 Temere σκοπτόμενος ed. Caſ. 3 ἐπὶ τὸ ἀνέχεσθαι vulgo.

diſſe: *Nihil differre: ille enim,* (inquit) *hodie parum honeſtius eſt, cum a me ſit remotus; heri autem propter nos fuit honeſtiſſimus. Hic vero & hodie honeſtus factus eſt, a me occupatus; heri vero, quum ego alibi eſſem, inglorius fuit.* Alibi rurſus ſcribit idem Hegeſander: » Ariſtippus, aquâ perfuſus a Dionyſii famulis, eoque irriſus ab Antiphonte quod patienter tuliſſet, reſpondit: *At, ſi piſcando dans operam madefactus fuiſſem, an idcirco relicto opere abiiſſem?* « Morabatur autem Ariſtippus utplurimum Aeginae, luxuriae indulgens. Quare etiam Xenophon in Memorabilibus ait, ſaepe eum admonitum fuiſſe a Socrate, & eius cauſſâ propoſuiſſe Socratem fictum illud Virtutis cum Voluptate colloquium. Idem Ariſtippus de Laide dicere conſueverat: *Habeo, non habeor.* Apud Dionyſium diſſidium eidem fuit cum nonnullis ſuper trium mulie-

e ἐκλογῆς τῶν τριῶν γυναικῶν. καὶ μύροις ἐλούετο, [1] καὶ ἔφασκεν, ὅτι

— κἂν βακχεύμασιν
εὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

Κωμῳδῶν δὲ αὐτὸν Ἄλεξις ἐν Γαλατείᾳ, ποιεῖ τινα θεράποντα διηγούμενον περί τινος τῶν μαθητῶν τάδε·

Ὁ δεσπότης οὑμὸς πρὸς λόγους γάρ ποτε
διέτριψε, μειρακίσκος ὤν, καὶ φιλοσοφεῖν
ἐπέθετο. Κυρηναῖος ἦν ἐνταῦθά τις, [2]
ὡς ἔφη, Ἀρίστιππος, σοφιστὴς εὐδυής·
f μᾶλλον δὲ πρωτεύων ἁπάντων τῶν [3] τότε, 5
ἀκολασίᾳ τε [4] τῶν γεγονότων διαφέρων.
τούτῳ τάλαντον δοὺς, μαθητὴς γίνεται
ὁ δεσπότης. καὶ τὴν τέχνην μὲν οὐ πάνυ
ἐξέμαθε, τὴν δ' ἀρτηρίαν [5] συνήρπασεν. [6]

1 ἐλοῦτο edd. 2 ἐνταῦθα deeſt editis. τις vero vulgo vs. ſq. poſt Ἀρίστιππος ponitur. 3 Deeſt vulgo τῶν. 4 τῇ τ' ἀκολασίᾳ τε edd. 5 ἀρτυρίαν, ἀρτυλίαν, ἀρτυσίαν corrigunt docti viri. 6 συνέσπασεν legebam cum Corayo.

rum delectu. Unguentis corpus lavans, dicere ſolebat:

— *Mediis etiam in Bacchanalibus,*
quae pudica mulier eſt, ea non vitiabitur.

Comice hunc ridens Alexis in Galatea, facit famulum quempiam de aliquo illius diſcipulorum haec dicentem:

Herus meus olim literis operam dedit,
adoleſcens cum eſſet, & philoſophari
adgreſſus eſt. Aderat tunc hîc Cyrenaeus aliquis,
ut ait, Ariſtippus, doctor ingenio valens:
rectius ut dicam, longe omnes, cum aequales,
tum qui ante fuerant, luxuriâ antecellens.
Huius, talento dato, fit diſcipulus
herus. Et artem quidem non magnopere
didicit: ſed e pulmone laborare coepit.

Ἀντιφάνης δ' ἐν Ἀνταίῳ, [1] περὶ τῆς τῶν φιλοσόφων τρυφερότητος διαλεγόμενος, φησίν·

Ὦ τὰν, καταυσεῖς τίς ποτ' ἐστὶν οὑτοσὶ
ὁ γέρων; Ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικὸς,
λευκὴ χλανὶς, Θαῖος χιτωνίσκος καλὸς, a
πιλίδιον [2] ἁπαλὸν, εὔρυθμος βακτηρία,
βαιὰ [3] τράπεζα. τί μακρὰ δεῖ λέγειν; ὅλως
αὐτὴν ὁρῶν γὰρ τὴν Ἀκαδημίαν δοκῶ.

LXIV. Polyarchus, cogn. Ἡδυπαθὴς.

Ἀριστόξενος δ' ὁ Μουσικὸς, ἐν τῷ Ἀρχύτα βίῳ, ἀφίησι [4] παρὰ Διονυσίου τοῦ νεωτέρου πρεσβευτὰς πρὸς τὴν Ταραντίνων πόλιν, ἐν οἷς εἶναι καὶ Πολύαρχον [5] τὸν Ἡδυπαθῆ ἐπικαλούμενον, ἄνδρα περὶ τὰς σωματικὰς ἡδονὰς ἐσπουδακότα, καὶ οὐ μόνον τῷ ἔργῳ, ἀλλὰ καὶ τῷ λόγῳ. ὄντα δὲ γνώριμον τῷ Ἀρχύτᾳ, καὶ φιλοσοφίας οὐ παντελῶς ἀλλότριον, ἀπαν- b

1 ἐν Ἀντείᾳ videtur ſcriptum oportuiſſe. 2 πολίδιον ed. Ven. & Baſ. cum ms. *A*. 3 βεβαία, *firma*, *ſolida*, mssti. 4 ἀφιχέσθαι φησὶ corr. Caſaub. 5 Πολίαρχον ed. Caſ. 1. & 2.

Antiphanes vero, in Antaeo, [*ſive*, in Antea,] de philoſophorum mollitie diſſerens, ait:

A. *Heus tu! noſtin' quisnam ſit tandem hic ſenex.* B. *Aſpectu quidem ille Graecus: candidum palliolum, fuſca elegans tunica, pileolus molliusculus, concinnus baculus, modica menſa. Quid plura? Omnino namque ipſam videre mihi Academiam videor.*

64. Ariſtoxenus Muſicus, in Archytae Vita, miſſos eſſe ſcribit a Dionyſio iuniore legatos ad civitatem Tarentinorum; quorum legatorum in numero fuiſſe, ait, *Polyarchum*, cui Ἡδυπαθὴς (id eſt, *Delicatus*) cognomen fuit: hominem voluptatum corporis ſtudioſum, nec id ſolum re, ſed & verbis & ratione. Cui quum notitia aliqua intercederet cum *Archyta*, quumque non eſſet homo prorſus alienus a philoſophia, con-

τῶν εἰς τὰ τεμένη, καὶ συμπεριπατεῖν τοῖς περὶ τὸν Ἀρχύταν, ἀκροώμενον τῶν λόγων. Ἐμπεσούσης δέ ποτε ἀπορίας καὶ σκέψεως περί τε τῶν ἐπιθυμιῶν, καὶ τὸ σύνολον περὶ τῶν σωματικῶν ἡδονῶν, ἔφη ὁ Πολύαρχος· „Ἐμοὶ μὲν, ὦ ἄνδρες, πολλάκις ἤδη πέφηνεν ἐπισκοποῦντι κομιδῇ τὸ τῶν ἀρετῶν τούτων κατασκεύασμα καὶ πολὺ τῆς Φύσεως ἀφεστηκὸς εἶναι. ἡ γὰρ Φύσις, ὅταν Φθέγγηται τὴν ἑαυτῆς Φωνὴν, ἀκο- c λουθεῖν κελεύει ταῖς ἡδοναῖς, καὶ τοῦτό Φησιν εἶναι νοῦν ἔχοντος· τὸ δὲ ἀντιτείνειν, καὶ καταδουλοῦσθαι τὰς ἐπιθυμίας, [1] οὔτε ἔμΦρονος, [2] οὔτε εὐτυχοῦς, οὔτε ξυνιέντος εἶναι [3] τίς ποτε ἐστὶν ἡ τῆς ἀνθρωπίνης Φύσεως σύστασις. τεκμήριον δ' ἰσχυρὸν εἶναι, [4] τὸ πάντας ἀνθρώπους, ὅταν ἐξουσίας ἐπιλάβωνται μέγεθος ἀξιόχρεων ἐχούσης, ἐπὶ τὰς σωματικὰς ἡδονὰς καταΦέρεσθαι, καὶ τοῦτο νομίζειν τέλος εἶναι τῆς ἐξουσίας· τὰ δὲ ἄλλα πάντα σχεδὸν ἁπλῶς εἰπεῖν, ἐν παρέρ- Voluptatis agit patronum.

1 ταῖς ἐπιθυμίαις edd. 2 εὔφρονος edd. 3 ξυνιέντος εἰδέναι vulgo. 4 Lubens ibi caream verbo εἶναι.

veniebat cum Archyta eiusque familiaribus in templorum delubris, cum eisque obambulabat, disputationes illorum audiens. Quum igitur incidisset aliquando quaestio disceptatioque *de Cupiditatibus*, & omnino *de Voluptatibus corporis*, sic infit *Polyarchus: Mihi vero, o Viri, saepius iam rem consideranti prorsus ita visum est, plurimum a naturae ratione abhorrere virtutum harum aedificium. Natura enim, si propriam ipsius vocem audias, sequi nos iubet voluptates, & hoc esse ait hominis prudentis; reniti vero & subiugare cupiditates, nec prudentis esse, nec beati, nec eius qui norit quaenam sit humanae naturae constitutio. Cuius rei validum est documentum, quod omnes homines, quum potentiam nacti sunt satis magnam, ad corporeas voluptates ferantur, & hunc finem esse existiment potentiae, reliqua vero propemodum*

„ γῳ τίθεσθαι χώρᾳ. Προφέρειν δὲ ἔξεστι νῦν μὲν τοὺς Περσῶν βασιλεῖς, καὶ εἴ τις [1] που τυραννίδος ἀξιολό- d γου κύριος ὢν τυγχάνει· πρότερον δὲ τούς τε Λυδῶν καὶ τῶν Μήδων, [2] καὶ ἔτι ἀνώτερον καὶ τοὺς Σύρων· οἷς οὐδὲν γένος ἡδονῆς ἀζήτητον γενέσθαι, ἀλλὰ καὶ δῶρα παρὰ τοῖς Πέρσαις προκεῖσθαι λέγεται τοῖς δυναμένοις ἐξευρίσκειν καινὴν ἡδονήν· καὶ μάλα ὀρθῶς. ταχὺ γὰρ ἡ ἀνθρωπίνη Φύσις ἐμπίπλαται τῶν χρονιζουσῶν ἡδονῶν, κἂν ὦτι σφόδρα διηκριβωμέναι. ὥστε, ἐπεὶ μεγάλην ἔχει δύναμιν ἡ καινότης πρὸς τὸ μείζω φανῆναι τὴν ἡδονήν, οὐκ ὀλιγωρητέον οὖν, [3] ἀλ- e λὰ πολλὴν ἐπιμέλειαν αὐτῆς ποιητέον. διὰ ταύτην δὲ τὴν αἰτίαν πολλὰ μὲν ἐξευρεθῆναι βρωμάτων εἴδη, πολλὰ δὲ πεμμάτων, πολλὰ δὲ θυμιαμάτων καὶ μύρων, πολλὰ δὲ ἱματίων, καὶ στρωμάτων· καὶ ποτηρίων δή, καὶ τῶν ἄλλων σκευῶν· πάντα γὰρ δὴ ταῦτα συμβάλλεσθαί τινας ἡδονάς, ὅταν ᾖ ἡ ὑποκειμένη ὕλη

1 νῦν δὲ καὶ εἴ τις vulgo. 2 καὶ τῶν Μήδων βασιλεῖς ed. Cas.
3 οὐκ ὀλιγωρητέον ἂν edd.

omnia insuper habeant. Proferre autem licet, ex eis qui nunc vivunt, Persarum reges, & si quis est alius ampli cuiusdam imperii dominus; e superioribus vero, Lydorum Medorumque reges, & ante hos etiam Syrorum; quibus nullum voluptatum genus non esse quaesitum accepimus: & apud Persas praemia etiam proposita dicuntur his, qui novam invenire voluptatem potuissent: ac sane merito. Cito enim satiatur natura humana diuturnis voluptatibus, quamvis sint exquisitissimae. Itaque, quoniam magnam vim ad hoc habet novitas ut maior nobis esse videatur voluptas, non est ea negligenda, sed summa cura circumspicienda. Eam ob causam inventa sunt multa ciborum genera, multa bellariorum, multa odorum & unguentorum; multa item vestium & stragularum; tum & poculorum, aliorumque vasorum: quippe haec omnia aliquas adjerunt voluptates, si sit

„τῶν θαυμαζομένων ὑπὸ τῆς ἀνθρωπίνης φύσεως· ὃ δὴ πεπονθέναι δοκεῖ ὅ τε χρυσὸς καὶ ἄργυρος, καὶ τὰ πολλὰ τῶν εὐοφθάλμων τε καὶ σπανίων, ὅσα καὶ f κατὰ τὰς ἀπεργαζομένας τέχνας διηκριβωμένα φαίνεται.“

LXV. Continuatur Polyarchi oratio de Voluptate.

Εἰπὼν δὲ τούτοις ἑξῆς τὰ περὶ τῆς θεραπείας τῆς τοῦ Περσῶν βασιλέως, οἵους καὶ ὅσους ἔχει θεραπευτῆρας, καὶ περὶ τῆς τῶν Ἀφροδισίων αὐτοῦ χρήσεως, καὶ τῆς περὶ τὸν χρῶτα αὐτοῦ ὀδμῆς, καὶ τῆς εὐμορφίας, καὶ τῆς ὁμιλίας, καὶ περὶ τῶν θεωρημάτων καὶ τῶν ἀκροαμάτων· „Εὐδαιμονέστατον, ἔφη, κρῖναι τῶν νῦν τὸν τῶν Περσῶν βασιλέα· πλεῖσται γάρ εἰσιν αὐτῷ καὶ τελειόταται παρεσκευασμέναι ἡδοναί. δεύτερον δέ, φησὶ, τὸν ἡμέτερον [1] τύραννον θείη τις ἂν, καίπερ πολὺ λειπόμενον. ἐκείνῳ μὲν γὰρ ἥ γε [2] a Ἀσία ὅλη χορηγεῖ, τὸ δὲ Διονυσίου χορηγεῖον παντε-

1 ὑμέτερον ms. *A.* 2 ἡ Ἀσία *Epit.* ἥ τε edd. Nescio an & ms. *A.* ut *excidisse aliquid* videri possit.

subiecta materia ex eorum genere quae admiratur humana natura; cuius sunt generis aurum & argentum, & pleraque eorum quae & placent oculis & rara sunt, & quae artificum operâ solerter sunt confecta.

65. Post haec quum de omni commodorum genere differuisset quibus rex utitur Persarum, quos & quot habeat voluptatum ministros, tum de Veneris usu, de suavi cutis odore, de cura formae, de consuetudine cum eis quibuscum vivit, denique de oculorum auriumque oblectamentis quae ei praesto sunt: *Omnium hominum*, inquit, *qui nunc vivunt, beatissimum equidem Persarum regem iudico: plurimae enim eaeque perfectissimae paratae sunt ei voluptates. Alterum vero haud immerito ponat aliquis nostrum regem, quamquam multo inferiorem. Illi enim universa utique ministrat Asia; quae vero suppetunt Dionysio, exigua*

„ λῶς ἂν εὐτελές τι Φανείη πρὸς ἐκεῖνο συγκρινόμενον. Ὅτι μὲν οὖν περιμάχητός ἐστιν ὁ τοιοῦτος βίος, Φανερὸν ἐκ τῶν συμβεβηκότων. Σύρους μὲν γὰρ Μῆδοι μετὰ τῶν μεγίστων κινδύνων ἀφείλαντο τὴν βασιλείαν, οὐκ ἄλλου τινὸς ἕνεκα, ἢ τοῦ κυριεῦσαι τῆς Σύρων [1] ἐξουσίας· Μήδους δὲ Πέρσαι, διὰ τὴν αὐτὴν [2] αἰτίαν· αὕτη δ' ἐστὶν ἡ τῶν σωματικῶν ἡδονῶν ἀπόλαυσις. οἱ δὲ νομοθέται, ὁμαλίζειν βουληθέντες τὸ τῶν ἀνθρώπων γένος, καὶ μηδέν πως τῶν [3] πολιτῶν τρυφᾶν, ἀνακύψαι πεποιήκασι τὸ τῶν ἀρετῶν εἶδος· καὶ ἔγραψαν b νόμους περὶ συναλλαγμάτων καὶ τῶν ἄλλων, καὶ [4] ὅσα ἐδόκει πρὸς τὴν πολιτικὴν κοινωνίαν ἀναγκαῖα εἶναι, καὶ δὴ καὶ περὶ ἐσθῆτος καὶ τῆς λοιπῆς διαίτης, ὅπως ᾖ ὁμαλής. πολεμούντων οὖν τῶν νομοθετῶν τῷ τῆς πλεονεξίας γένει, πρῶτον μὲν ὁ περὶ τὴν δικαιοσύνην ἔπαινος ηὐξήθη, καί που τις καὶ ποιητὴς ἐφθέγξατο,

1 Συρίων edd. 2 διὰ τοιαύτην αἰτίαν edd. 3 τῶν carent edd. nescio an & ms. *A.* πως deest *Epit.* 4 Abundare καὶ videtur.

ea ac vilia prorsus videri debent, si cum his quae illi praesto sunt conferantur. Esse igitur in primis optabilem talem vitam, liquet ex eis quae acciderunt. Syris enim Medi maximis cum periculis ademerunt imperium, non aliâ de caussa, nisi ut potirentur Syrorum potestate: Medis vero Persae, eâdem de caussâ: est autem haec, potestas fruendi corporeis voluptatibus. Quum vero vellent legumlatores, ut modice viverent homines, nec ullus civium luxuriae indulgeret, effecerunt ut virtutis emergeret species: & leges scripserunt de contractibus & similibus rebus, & quaecumque ad civium cum civibus communionem necessaria esse videbantur: quin etiam de vestitu & reliquo toto victu, ut esset modicus & aequabilis. Bellum igitur quum facerent legumlatores omni generi praerogativae quam unus sibi cum alterius detrimento & iniuria arrogaret, primum quidem iustitiae laus est amplificata, & poëta etiam forte quispiam celebravit

„ Δικαιοσύνας τὸ χρύσεον πρόσωπον.

καὶ πάλιν·

Τὸ χρύσεον ὄμμα τὸ τᾶς Δίκας.

ἀπεθεώθη δὲ καὶ αὐτὸ τὸ τῆς Δίκης ὄνομα· ὥστε παρ' ἐνίοις καὶ βωμοὺς καὶ θυσίας γίνεσθαι Δίκῃ. [1] μετὰ ταύτην δὲ, καὶ σωφροσύνην καὶ ἐγκράτειαν ἐπεισεκώμασαν, καὶ πλεονεξίαν ἐκάλεσαν τὴν ἐν ἀπολαύσεσιν ὑπεροχήν· ὥστε καὶ [2] τὸν πειθαρχοῦντα τοῖς νόμοις, καὶ τῇ τῶν πολλῶν φήμῃ, μετριάζειν περὶ τὰς σωματικὰς ἡδονάς."

LXVI. Cupiditatibus indulgent reges.

Καὶ Δοῦρις δέ φησιν, ἐν τῇ εἰκοστῇ τρίτῃ τῶν Ἱστοριῶν, ὡς ἦν τὸ [3] παλαιὸν τοῖς δυνάσταις ἐπιθυμία τῆς μέθης. διὸ ποιεῖν τὸν Ὅμηρον τῷ Ἀγαμέμνονι λοιδορούμενον τὸν Ἀχιλλέα, καὶ λέγοντα,

οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων.

1 Δίκης edd. 2 Deeſt καὶ edd. & ms. *A*. 3 καὶ παλαιὸν edd.

Iuſtitiae auream faciem:

rurſusque,

Aureum oculum Iuſtitiae.

Quin & in Deorum numero relatum eſt ipſum hoc Iuſtitiae *nomen: ita quidem, ut apud nonnullos arae etiam erigerentur Iuſtitiae, & ſacrificia eidem fierent. Poſtea vero etiam Temperantiam & Continentiam inculcarunt nobis: & praerogativam quam in voluptatum fruitione ſibi ſumeret aliquis, Avaritiam & Ambitionem nominarunt. Ita factum eſt, ut, qui legibus obſequerentur & famae vulgi, ii in corporearum voluptatum fruitione modum tenerent.*

66. Duris etiam, tertio & viceſimo Hiſtoriarum libro, ait, iam olim reges & terrarum dominos ad temulentiam fuiſſe proclives: itaque apud Homerum Achillem conviciari *Agamemnoni*, dicereque,

Vino gravis, caninos-oculos habens.

καὶ τὸν θάνατον δὲ ἀποσημαίνων τοῦ βασιλέως, φησίν· d

ὡς ἀμφὶ κρατῆρα τραπέζας τε πληθούσας
κείμεθα· —

δεικνύων καὶ τὸν θάνατον αὐτοῦ παρ' αὐταῖς ταῖς ἐπιθυμίαις τῆς μέθης γενόμενον. Φιλήδονος δ' ἦν καὶ Σπεύσιππος ὁ Πλάτωνος συγγενὴς καὶ διάδοχος τῆς σχολῆς. Διονύσιος γοῦν ὁ τῆς Σικελίας τύραννος, ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ κατὰ τῆς φιληδονίας αὐτοῦ εἰπὼν, καὶ φιλαργυρίαν αὐτῷ ὀνειδίζει, καὶ τὸν Λασθενείας τῆς Ἀρκαδικῆς ἔρωτα, ἥ τις Πλάτωνος ἠκηκόει.

Speusippus, voluptatis studiosus.

LXVII. Epicuri ratio voluptaria.

Οὐ μόνος δὲ Ἀρίστιππος καὶ οἱ ἀπ' αὐτοῦ τὴν e κατὰ κίνησιν ἡδονὴν ἠσπάζοντο, ἀλλὰ καὶ Ἐπίκουρος, καὶ οἱ ἀπὸ τούτου. [1] καὶ, ἵνα μὴ τοὺς καταιγισμοὺς λέγω, καὶ τὰ ἐπεντρώματα, ἅπερ πολλάκις προφέρεται ὁ Ἐπίκουρος, καὶ τοὺς γαργαλισμοὺς καὶ τὰ νύγματα· [2] ἃ ἐν τῷ Περὶ Τέλους εἴρηκε, τούτων μνη-

1 Iterum ἀπ' αὐτοῦ h. l. edd. 2 καὶ ἀνύγματα ed. Ven. & Baf. καὶ νύγματα ed. Caf.

Et de morte regis loquens, ait:

Ut circa craterem menſasque plenas
iacebamus: —

oſtendens periiſſe eum etiam, quo tempore eidem cupiditati temulentiae indulgebat. Fuit vero voluptatis ſtudioſus *Speusippus* quoque, Platonis cognatus & in ſchola ſucceſſor. Dionyſius certe Siciliae tyrannus, in epiſtola ad eum data, voluptatis ſtudium illius reprehendit, itemque avaritiam, & Laſtheneae Arcadicae amorem, quae Platonem audiverat.

67. Nec vero unus Ariſtippus, & ab eo qui ſunt, voluptatem quae in motu eſt probarunt; ſed & *Epicurus*, & huius aſſeclae. Atque, ut taceam, quae ſaepenumero Epicurus profert, impetuoſos motus, & irritationes, & titillationes, & punctiones, ea tantum com-

σθήσομαι. Φησὶ γάρ· „Οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν [1] ἡδονὰς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν δὲ καὶ τὰς διὰ μορφῆς κατ' f ὄψιν ἡδείας κινήσεις." καὶ Μητρόδωρος, ἐν ταῖς Ἐπιστολαῖς, φησίν· „Περὶ γαστέρα, [2] ὦ Φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν." καὶ ὁ Ἐπίκουρος δὲ φησίν· „Ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή· καὶ τὰ σοφὰ τὰ περισσὰ ἐπὶ ταύτην ἔχει τὴν ἀναφοράν." καὶν τῷ Περὶ Τέλους δὲ πάλιν φησί· „Τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς, καὶ τὰ τοιουτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον." σαφῶς ὑπουργὸν ποιῶν ἐν a τούτοις τὴν ἀρετὴν τῆς ἡδονῆς, καὶ θεραπαίνης τάξιν ἐπέχουσαν. καὶν ἄλλοις δέ φησι· „Προσπτύω τῷ κα-

1 τὰς διὰ τῶν χειλῶν ed. Ven. & Baſ. διὰ τῶν χειλῶν absque τὰς ed. Caſ. τὰς διὰ χυλοῦ ms. Ep. 2 Deſunt h. l. duo verba editis.

memorabo quae in libro de Fine dixit. Ait enim: *Non habeo equidem quod intelligam bonum, detractis eis voluptatibus quae ſapore percipiuntur, detractis eis quae uſu Veneris, detractis quae auditu, detracta commotione quae ex ſuavium formarum adſpectu exiſtit.* Et Metrodorus in Epiſtolis ait: *Ad ventrem, o Naturae ſtudioſe Timocrates, ad ventrem omne ſtudium refert ratio ſecundum Naturam progrediens.* Epicurus quoque ait: *Principium & radix omnis boni eſt ventris voluptas: & omnis exquiſita ſapientia ad hanc refertur.* Rurſus idem, in libro de Fine: *In pretio habenda eſt honeſtas, & virtutes, & quae ſunt eiusdem generis, ſi ſint efficientia voluptatis: ſin voluptatem non efficiant, procul amandanda.* Quibus verbis manifeſte miniſtram facit & famulam voluptatis virtutem. Rurſus alibi ait: *Deſpuo honeſtatem, &*

λῷ, καὶ τοῖς κενῶς αὐτὸ θαυμάζουσιν, ὅταν μηδεμίαν ἡδονὴν ποιῇ."

LXVIII. Epicurei Româ eiiciuntur.

Καλῶς ἄρα ποιοῦντες Ῥωμαῖοι οἱ πάντα ἄριστοι, Ἄλκιον [1] καὶ Φιλίσκον τοὺς Ἐπικουρείους ἐξέβαλον τῆς πόλεως, Λευκίου τοῦ Ποστουμίου [2] ὑπατεύοντος, δι' ἃς εἰσηγοῦντο ἡδονάς. ὁμοίως δὲ καὶ Μεσσήνιοι κατὰ ψήφισμα ἐξέωσαν τοὺς Ἐπικουρείους. Ἀντίοχος δὲ ὁ βασιλεὺς καὶ πάντας τοὺς φιλοσόφους, τῆς αὐτοῦ βασιλείας· γράψας τάδε· „Βασιλεὺς Ἀντίοχος Φανίᾳ. Ἐγράψαμεν ὑμῖν καὶ πρότερον, ὅπως b μηδεὶς ἢ φιλόσοφος ἐν τῇ πόλει, μηδ' ἐν τῇ χώρᾳ. πυνθανόμεθα δὲ, οὐκ ὀλίγους εἶναι, καὶ τοὺς νέους λυμαίνεσθαι, διὰ τὸ μηθὲν πεποιηκέναι ὑμᾶς ὧν ἐγράψαμεν περὶ τούτων. ὡς ἂν οὖν λάβῃς τὴν ἐπιστολὴν, σύνταξον κήρυγμα ποιήσασθαι, ὅπως οἱ μὲν φιλόσοφοι πάντες ἀπαλλάσσωνται ἐκ τῶν τόπων ἤδη, τῶν δὲ νεανίσκων ὅσοι ἐὰν ἁλίσκωνται πρὸς τούτοις γινόμε-

Antiochus philosophos regno pellit.

1 Rectius fortasse Ἀλκαῖον apud Aelianum. Ἄλιον ms. *Epit.*
2 Ποστομίου edd.

hos qui frustra eam admirantur, si nullam efficiat voluptatem.

68. Quare, ut multa alia, sic hoc recte fecere praestantissimi viri *Romani*, quod Alcium [*sive*, Alcaeum] & Philiscum *Epicureos* urbe eiecerint, L. Postumio consule, propter voluptates quas docuerunt. Pariter vero etiam *Messenii* plebiscito eiecerunt Epicureos. *Antiochus* vero rex omnes philosophos regno suo expulit: cuius haec fertur epistola. *Rex Antiochus Phaniae. Iam ante scripseramus vobis, ne sit philosophus ullus nec in urbe, nec in tota regione. Accepimus autem, esse non paucos, & corrumpi ab his iuvenes; quia nihil eorum feciſtis, quae hac de re vobis scripseramus. Quare simul atque has literas acceperis, per praecones edici iube, ut omnes philosophi ex omnibus locis abeant protinus; iuvenes autem, qui hos sectari comperientur, e co-*

γοι, διότι κρεμήσονται, καὶ οἱ πατέρες αὐτῶν ἐν αἰτίαις ἔσονται ταῖς μεγίσταις· καὶ μὴ ἄλλως γίνηται." [1]

c Τῆς δ' ἡδονῆς πρὸ Ἐπικούρου εἰσηγητὴς ἐγένετο Σοφοκλῆς ὁ ποιητὴς, ἐν Ἀντιγόνῃ ταῦτα εἰπών· Sophocles voluptatis patronus.

— Τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν·
πλούτει τε γὰρ κατ' οἶκον εἰ βούλει μέγα,
καὶ ζῇ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

LXIX.

Lyco Peripateticus, luxuriosus.

d Καὶ „Λύκων δὲ ὁ Περιπατητικὸς, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος, κατ' ἀρχὰς ἐπιδημήσας παιδείας ἕνεκα ταῖς Ἀθήναις, περὶ συμβολικοῦ κώθωνος, καὶ πόσον ἑκάστη τῶν ἑταιρουσῶν ἐπράττετο μίσθωμα, ἀκριβῶς ἐπίστατο. ὕστερον δὲ καὶ τοῦ Περιπάτου προ-

1 γένεται edd.

lumna ſuſpenſos loris caeſum iri, patresque eorum graviſſimi criminis reos futuros. Et ratum hoc eſto, nec fiat aliter.

Sed & ante Epicurum voluptatem docuerat *Sophocles*, cum in Antigona haec ait:

— *Voluptates enim*
qui deſerit omittitque, non ego hunc cenſeo
vivere, ſed animatum eſſe cadaver.
Eſto enim domi, ſi vis, locuples admodum,
vive tyranni habitu faſtuque: his ſi abeſt
mens laeta, reliqua ego fumi umbrâ
non emerim homini prae voluptate.

69. Sed & „*Lyco Peripateticus*, ut tradit Antigonus Caryſtius, initio quum ſtudiorum cauſſâ Athenis verſaretur, de comporatione ex ſymbola, & quantam quaeque meretrix poſtularet mercedem, adcurate omnia comperta habuerat. Deinde vero Lyceo praefectus, epulis

στὰς, ἐδείπνιζε τοὺς Φίλους ἀλαζονείᾳ [1] καὶ πολυτελείᾳ πολλῇ χρώμενος. χωρὶς γὰρ τῶν παραλαμβανομένων εἰς αὐτὰ ἀκροαμάτων καὶ ἀργυρωμάτων καὶ στρωμνῆς, ἡ λοιπὴ παρασκευὴ, καὶ ἡ τῶν δείπνων περιεργία, καὶ ὁ τῶν τραπεζῶν καὶ μαγείρων ὄχλος τοσοῦτος ἦν, ὥστε καὶ πολλοὺς ὀρρωδεῖν, καὶ βουλομένους προσιέναι πρὸς τὴν διατριβὴν ἀνακόπτεσθαι, καὶ [2] καθάπερ εἰς πολίτευμα πονηρὸν, καὶ χορηγιῶν καὶ λειτουργιῶν πλῆρες, εὐλαβουμένους προσάγειν. Ἔδει γὰρ ἄρξαι τε τὴν νομιζομένην ἐν τῷ Περιπάτῳ ἀρχήν. αὕτη δ' ἦν ἐπὶ τῆς εὐκοσμίας τῶν ἐπιχειρούντων τριάκοντ' ἡμέρας· εἶτα τῇ ἔνῃ καὶ νέᾳ λαβόντα ἀφ' [3] ἑκάστου τῶν ἐπιχειρούντων [4] ἐννέα ὀβολοὺς, ὑποδέξασθαι μὴ μόνον αὐτοὺς τοὺς τὴν συμβολὴν εἰσενεγκόντας, ἀλλὰ καὶ οὓς παρακαλέσειεν ὁ Λύκων, ἔτι δὲ καὶ τοὺς ἐπιμελῶς συναντῶντας τῶν πρεσβυτέρων εἰς τὴν σχο-

1 ἀλαζονίᾳ ms. *A.* & paulo post inferius ἀλαζονίας idem. 2 *Delenda* fortasse h. l. καὶ particula. 3 Forſ. ὑφ' ἑκάστου. 4 Duodecim verba deſunt editis.

excipiebat amicos ingenti cum faſtu ſumtuque. Nam praeter adhibita ad illas acroamata & argentea vaſa & ſtragulas veſtes, reliquus adparatus & exquiſita coenarum inſtructio, & ferculorum & coquorum multitudo tanta erat, ut timerent multi, & cum admitti in diſciplinam voluiſſent deterrerentur, metuentes accedere, velut ad male conſtitutam rempublicam, in qua publicorum onerum & miniſteriorum multitudine cives premerentur. Oportebat enim conſtitutum in Lyceo ſuscipere magiſtratum: cuius erat officium, curam habere per dies triginta tyronum ut ordine omnia agerent: deinde poſtrema menſis die, acceptis ab unoquoque tyronum novem obolis, coenâ excipere non modo ipſos illos qui ſymbolam eam contuliſſent, ſed & quos Lyco vocaſſet, item quicumque e ſenioribus aſſidue frequen-

λήν· ὥστε γίνεσθαι μηδὲ εἰς τὸν μυρισμὸν καὶ τοὺς στεφάνους ἱκανὸν τὸ ἐκλεγόμενον ἀργύριον· ἱεροποιῆσαί τε, καὶ τῶν Μουσῶν ἐπιμελητὴν γενέσθαι. ἃ δὴ πάντα ἐφαίνετο λόγου μὲν ἀλλότρια καὶ φιλοσοφίας εἶναι, τρυφῆς δὲ καὶ περιστάσεως οἰκειότερα. καὶ γὰρ εἰ παρίεντό τινες τῶν μὴ δυναμένων εἰς ταῦτα ἀναλίσκειν, ἀπὸ βραχείας καὶ τῆς τυχούσης ὁρμώμενοι χορηγίας, ὅ γε μισθὸς ἱκανῶς ἦν ἄτοπος. [1] οὐ γὰρ, ἵνα συρρυέντες ἐπὶ τὸ αὐτὸ τῆς ἕως τοῦ ὀρθρίου γενομένης
a τραπέζης ἀπολαύσωσιν, ἢ χάριν ἐξοινίας, ἐποιήσαντο τὰς συνόδους ταύτας οἱ περὶ Πλάτωνα καὶ Σπεύσιππον, ἀλλ' ἵνα φαίνωνται καὶ τὸ θεῖον τιμῶντες, καὶ φυσικῶς [2] ἀλλήλοις συμπεριφερόμενοι· καὶ τὸ πλεῖστον ἕνεκεν ἀνέσεως καὶ φιλολογίας. ἃ δὴ πάντα γέγονε δεύτερα παρ' αὐτοῖς ὕστερον [3] τῶν τε χλανίδων

1 Aut hîc, aut poſt χορηγίας *intercidiſſe nonnulla* videntur. 2 φιλικῶς forſ. 3 Forſ. παρὰ τοῖς ὕστερον.

tarent ſcholam; ita quidem ut collecta pecunia ne ad comparanda unguenta quidem & coronas ſufficeret: oportebatque eumdem ſacra ſolennia facere, & Muſarum eſſe curatorem. Quae quidem omnia videbantur aliena eſſe ab eruditione & philoſophia, ſed ad luxuriam potius & ad pompam pertinere. Nam, quamvis admitterentur nonnulli ex his qui ob rei familiaris penuriam aut modicitatem ſumtus in haec facere non poſſent, tamen perquam oneroſa erat merces. * Nec enim, ut a primo inde diluculo confluentes menſae voluptatibus fruerentur, nec temulentiae cauſſa, haec convivia egerant *Plato* & *Speuſippus;* ſed quo & divinum numen honorarent, & naturae convenienter [*ſive*, amanter] unà eſſent; & maxime relaxandi animi cauſſa, & ut eruditâ confabulatione ſe oblectarent: quae omnia ab his qui illis ſucceſſerunt poſthabita ſunt laenarum mollitiei, &

καὶ τῆς πολυτελείας τῆς εἰρημένης. οὐ γὰρ ἔγωγε τοὺς λοιποὺς ὑπεξαιροῦμαι. ὁ δὲ Λύκων ὑπ' ἀλαζονείας καὶ ἐν τῷ ἐπιφανεστάτῳ τῆς πόλεως τόπῳ ἐν τῇ Κόνωνος οἰκίᾳ εἶχεν εἰκοσίκλινον [1] οἶκον, ὃς ἦν ἐπιτήδειος αὐτῷ πρὸς τὰς ὑποδοχάς. ἦν δὲ ὁ Λύκων καὶ σφαιριστὴς ἀγαθὸς καὶ ἐπιδέξιος." b

LXX. Anaxarchus Eudaemonicus.

Περὶ δὲ Ἀναξάρχου Κλέαρχος ὁ Σολεὺς ἐν πέμπτῳ Βίων οὕτω γράφει· „Τῶν Εὐδαιμονικῶν καλουμένων [2] Ἀναξάρχῳ διὰ τὴν τῶν χορηγησάντων ἄγνοιαν περιπεσούσης ἐξουσίας, γυμνὴ μὲν ὠνοχόει παιδίσκη πρόσηβος, ἡ προκριθεῖσα διαφέρειν ὥρᾳ τῶν ἄλλων· ἀνασύρουσα πρὸς ἀλήθειαν τὴν τῶν οὕτως αὐτῇ χρωμένων ἀκρασίαν. ὁ δὲ σιτοποιὸς χειρίδας ἔχων, καὶ περὶ τῷ στόματι κημὸν, ἔτριβε τὸ σταῖς, ἵνα μηδὲ ἰδρὼς c ἐπιῤῥέῃ, μήτε τοῖς φυράμασιν ὁ τρίβων ἐμπνέοι." Διὸ

1 εἰκοσάκλινον edd. 2 Forſ. Τῷ Εὐδαιμονικῷ καλουμένῳ.

ei quam diximus ſumtuum profuſioni: nec enim equidem reliquos excipio. *Lyco* vero, pro ſuo faſtu, etiam in celeberrimo urbis loco in domo Cononis coenationem habebat viginti lectulis inſtructam, quae opportuna ei erat ad exhibenda epula. Erat vero *Lyconi* etiam in pilae luſu inſignis peritia & dexteritas. «

70. De *Anaxarcho* vero Clearchus Solenſis, Vitarum libro quinto, ita ſcribit: »*Anaxarcho*, ex eorum numero philoſophorum qui *Eudaemonici* ſunt adpellati, poſtquam per eorum ſtultitiam, qui eum ſua magnificentia ſuſtentarunt, opes eſt conſecutus, vinum fundebat nuda puella pubeſcens, quae formâ caeteris praeſtare videbatur: nudans illa, verum ſi quaeris, eorum incontinentiam qui eâ ad hoc miniſterium uſi ſunt. Eiusdem piſtor manicatus & ore capiſtrato farinae maſſam ſubigebat; ne ſudor ſtillans influeret, neve pinſens halitu ſuo ad-

πρεπόντως ἄν τις εἴποι τῷ σοφῷ τούτῳ φιλοσόφῳ τὰ ἐκ τοῦ Ἀναξίλα Λυροποιοῦ·[1]

Ξανθαῖς τε μύροις χρῶτα λιπαίνων,
χλανίδας θ' ἕλκων,[2] βλαύτας σύρων,
βολβοὺς τρώγων, τυροὺς κάπτων,
ὠὰ κολάπτων, κήρυκας ἔχων,[3]
Χῖον πίνων, καὶ πρὸς τούτοις
ἐν σκυταρίοις ῥαπτοῖσι Φορῶν
Ἐφεσήϊα γράμματα καλά.

LXXI. Temperantes: Gorgias Leontinus:

Πόσῳ γὰρ τούτων βελτίων Γοργίας ὁ Λεοντῖνος,[4] d περὶ οὗ φησιν ὁ αὐτὸς Κλέαρχος ἐν τῷ ὀγδόῳ τῶν Βίων, ὅτι διὰ τὸ σωφράνως ζῆν σχεδὸν ὀγδοήκοντα ἔτη τῷ Φορεῖν συνεβίωσεν. καὶ ἐπεί τις αὐτὸν ἤρετο,[5] τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ αἰσθήσεως τοσοῦτον χρόνον ζήσειεν; „Οὐδέν πώποτε, εἶπεν,

1 Ἀναξίλα Αὐροποιοῦ edd. Ἀναξιλαυροποιοῦ Ms. 2 δ' ἕλκων edd. 3 ἔδων corr. Toup. 4 ὁ Γοργ. Λεοντ. edd. 5 εἴρετο edd.

flaret farinam. « Quare haud incongruenter in sapientem hunc philosophum dici possit illud ex Anaxilae Lyrifice:

Flavis unguentis cutem inungens,
molles laenas trahens, delicatas crepidas gestans,
bulbos manducans, caseum vorans,
ova tundens, murices comedens,
Chium bibens, ad haec insuper
consutis in coriolis gestans
Ephesias literas pulcras.

71. Quanto his melior *Gorgias Leontinus!* de quo idem Clearchus, octavo libro Vitarum, ait: »Quia moderate vixit, fere octoginta annos in prudentiae convictu transegit: ac si quando ex eo quaereret quispiam, *Qua vivendi ratione usus, ita commode & integris omnibus sensibus in tam provecta aetate vitam transigeret?* respondere so-

ἡδονῆς ἕνεκεν πράξας." Δημήτριος δὲ ὁ Βυζάντιος, ἐν τετάρτῳ [1] Περὶ Ποιημάτων· „Γοργίας, φησὶν, ὁ Λεοντῖνος ἐρωτηθεὶς τί αὐτῷ γέγονεν αἴτιον τοῦ βιῶσαι πλείω τῶν ἑκατὸν ἐτῶν; ἔφη, Τὸ μηθὲν πώποτε ἑτέρου ἕνεκεν [2] πεποιηκέναι. [3] Ὦχος δὲ, πολλῷ χρόνῳ
Item Ochus, rex Persarum: τὴν βασιλείαν καὶ τὴν λοιπὴν περὶ τὸν βίον χορηγίαν e διαρκῆ κτησάμενος, ὡς τελευτῶντος ἠρώτησεν ὁ πρεσβύτατος τῶν υἱῶν, Τί πράσσων τοσαῦτ' ἔτη διεφυλάξειεν τὴν βασιλείαν, ἵνα καὶ αὐτὸς τοῦτο μιμοῖτο; „Τὰ δίκαια πράττων, εἶπεν, πρὸς ἅπαντας ἀνθρώπους καὶ θεούς." Καρύστιος δ' ὁ Περγαμηνὸς, ἐν Ἱστορικοῖς Ὑπομνήμασιν· „Κηφισόδωρος, φησὶν, ὁ
& Antipater. Θηβαῖος, Πολύδωρον τὸν Τήϊον ἰατρὸν Ἀντιπάτρῳ συσσιτεῖν, ψιλοτάπιδα ἔχοντα [4] κρικωτὴν καθάπερ τοὺς στρωματεῖς εὐτελῆ, ἐφ' ἧς κατακεῖσθαι, κάδους f

1 ἐν τῷ περὶ Ποιημ. edd. 2 ἕνεκε ed. Ven. ἕνικα ed. Baf. & Caf. & ms. *Eg.* 3 Fuere qui πεπαχέναι corrigerent. 4 ἔχοντι legebam.

lebat: *Nihil umquam voluptatis cauſſa faciens.*« Demetrius vero Byzantius, libro quarto de Poëmatibus, ait: interrogatum Gorgiam Leontinum, *quibus rebus conſecutus eſſet, ut ultra centum annos viveret?* reſpondiſſe: *Eo quod nihil umquam alterius cauſſa feciſſet.* *Ochus* vero, quum longum per tempus & regno & omnibus vitae commoditatibus abunde fruitus eſſet, interrogatus ſub vitae finem a filio natu maximo, *quibus rebus effeciſſet, ut per tot annos ſecurus regnum obtinuiſſet, quo & ipſe exemplum illius imitaretur?* reſpondit: *Eo quod & adverſus homines cunctos, & adverſus Deos, iuſtitiam coluiſſet.* Caryſtius vero Pergamenus, in Commentariis Hiſtoricis, ſcribit, tradi a Cephiſodoro Thebano: Polydorum Teium medicum convictu uſum eſſe Antipatri; habuiſſeque regem vile tapetum glabrum annulis inſtructum, velut vulgaria aulaea, cui incumberet, & cados aeneos

δὲ [1] χαλκοῦς καὶ ποτήρια ὀλίγα· γεγονέναι γὰρ ὀλιγοδίαιτον καὶ τρυφῆς ἀλλότριον."

LXXII. Tithonus, voluptatibus irretitus.

Τιθωνὸν δὲ, ἀπὸ τῆς ἕω μέχρι δυσμῶν κοιμώμενον, μόλις ἐπιθυμίαι [2] πρὸς ἑσπέραν ἐπήγειρον· ὅθεν ἠοῖ συγκοιμᾶσθαι λεχθεὶς, διὰ τὸ ταῖς ἐπιθυμίαις ἐμπεπλέχθαι ἐπὶ [3] τῷ γήρᾳ καθεῖρκται, κρεμαστὸς ὢν

a πρὸς ἀλήθειαν ἐκ τούτων. Καὶ Μελάνθιος δὲ τὸν αὐτοῦ τραχηλον κατατείνων ἀπήγχετο ἐκ τῶν ἀπολαύσεων, κνισότερος [4] ὢν τοῦ Ὀδυσσέως Μελανθίου. Πολλοὶ δὲ καὶ ἄλλοι πᾶν τὸ σῶμα διεστράφησαν διὰ τὰς ἀκαίρους ἡδονάς· οἱ δὲ καὶ εἰς πάχος σώματος ἐπέδωκαν, ἄλλοι δὲ καὶ εἰς ἀναισθησίαν, διὰ πολλὴν τρυφήν. Νύμφις γοῦν ὁ Ἡρακλεώτης, ἐν τῷ δευτέρῳ Περὶ Ἡρακλείας· „Διονύσιος, φησὶν, ὁ Κλεάρχου τοῦ πρώτου τυραννήσαντος ἐν Ἡρακλείᾳ υἱὸς, καὶ αὐτὸς

Melanthius crapulâ suffocatus.

Dionysius Heracleotarum tyrannus.

1 κάδους τε edd. 2 ἐπιθυμία edd. & dein ἐπήγειρεν. 3 ἐπεὶ omnino legendum videtur, & *post* ἐμπεπλέχθαι *comma* ponendum. Sed ne sic quidem satis integra oratio. 4 κνισότερος *Epit.*

paucaque pocula: fuisse enim parco victu, & ab omni luxuria alienum.

72. *Tithonum* vero, ab aurora ad occasum solis dormientem, vix sub vesperam cupiditates excitarunt: quare cum aurora concubuisse dicitur, quippe cupiditatibus irretitus. Quibus indulgere postquam senectute prohibitus est, revera ex his suspensus, [rogavit Deam, ut hac vita ipsum liberaret.] Porro *Melanthius*, collum suum extendens, suffocatus est deliciarum fruitione, gulosior illo Ulyssis Melanthio. Multis vero etiam aliis totum corpus distortum est per intempestivas voluptates: alii rursus supra modum pinguefacti; alii ex nimia luxuria sensuum usu privati. Nymphis quidem Heracleota, secundo De Heracleâ libro, haec scribit: »Dionysius, Clearchi primi Heracleae tyranni filius,

τῆς πατρίδος τυραννήσας, ὑπὸ τρυφῆς καὶ τῆς καθ' ἡμέραν ἀδηφαγίας [1] ἔλαθεν ὑπερσαρκήσας, ὥστε διὰ b
τὸ πάχος ἐν δυσπνοίᾳ αὐτὸν συσχεθῆναι καὶ πνιγμῷ. διὸ συνέταξαν οἱ ἰατροὶ κατασκευάσαι βελόνας λεπτὰς τῷ μήκει διαφερούσας, αἷς [2] διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν εἰς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. μέχρι μὲν οὖν τινος ὑπὸ τῆς πεπωρωμένης ἐκ τοῦ στέατος σαρκὸς οὐκ ἐνεποίει τὴν αἴσθησιν· εἰ δὲ πρὸς καθαρὸν τόπον ἡ βελόνη διελθοῦσα ἔβυγε, τότε διεγείρετο. τοὺς δὲ χρηματισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις προτιθέμενος κιβωτὸν τοῦ σώματος, ἵνα τὰ c
μὲν λοιπὰ μέρη κρύπτῃ, τὸ δὲ πρόσωπον μόνον ὑπερέχων [3] διαλέγοιτο τοῖς ἀπαντῶσι." Μνημονεύει δ' αὐτοῦ καὶ Μένανδρος, ἥκιστά γ' ὢν [4] λοίδορος, ἐν τοῖς Ἁλιεῦσι, τὸν μῦθον ὑποστησάμενος ὑπέρ τινων φυγάδων ἐξ Ἡρακλείας·

1 ἀδδηφαγίας edd. 2 ἃς videtur legendum. 3 ὑπερίχον edd. 4 ἥκ. τ' ὢν Ms.

qui & ipſe tyrannidem patriae occupavit, per luxuriam & quotidianam crapulam paulatim ita obeſus evaſit, ut propter craſſitiem difficultate ſpiritus & ſuffocatione laboraret. Quare praeceperunt medici, ut conficerentur acus tenues praelongae, quae per latera & ventrem adigerentur, quando ille in profundiorem ſomnum incidiſſet. Aliquantisper igitur propter calloſam ex adipe carnem nullum ſenſum ei adferebat adacta acus: quando vero ad puram carnem perveniebat, illamque tangebat, tunc ille expergiſcebatur. Reſponſa vero petentibus dabat praetendens arcam corpori, ut tecto reliquo corpore ſola facie eminens cum his qui eum adirent loqueretur. « Meminit eiusdem etiam Menander, qui minime alioqui conviciari conſuevit, in Piſcatoribus, inducens quosdam ex Heraclea exſules, (haec dicentes:)

Παχὺς γὰρ ὡς ἔκειτ' ἐπὶ στόμα. —

καὶ πάλιν·

Ἐτρύφησεν, ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.

καὶ ἔτι·

Ἴδιον ἐπιθυμῶν, μόνος μοι θάνατος οὗτος φαίνεται
εὐθάνατος, ἔχοντα πολλὰς [τὰς] χολάδας [1] κεῖ-
σθαι παχὺν,
d ὕπτιον, [2] μόλις λαλοῦντα, καὶ τὸ πνεῦμ' ἔχοντ' ἄνω,
ἐσθίοντα, καὶ λέγοντα, σήπομ' ὑπὸ τῆς ἡδονῆς.

Ἀπέθανε δὲ βιώσας ἔτη πέντε πρὸς τοῖς πεντήκοντα, ὧν ἐτυράννησεν τρία καὶ τριάκοντα, ἁπάντων τῶν πρὸ αὐτοῦ τυράννων πραότητι καὶ ἐπιεικείᾳ [3] διενηνοχώς.

LXXIII. Ptolemaeus VII. *Physcon.*

Τοιοῦτος ἐγεγόνει καὶ Πτολεμαῖος ὁ ἕβδομος Αἰγύπτου βασιλεύσας, ὁ αὐτὸν [4] μὲν Εὐεργέτην ἀνακηρύττων, ὑπὸ δὲ Ἀλεξανδρέων Κακεργέτης ὀνομαζόμε-

1 πολλὰς χολάδας ed. Ven. cum msstis. πολλὰ χολάδας ed. Baſ. & Caſ. πολλὴν τὴν χολάδα, *tentis ilibus*, Grot. 2 Deeſt ὕπτιον edd. 3 ἐπιεικίᾳ edd. 4 αὐτὸν ed. Ven. cum ms. *A*.

Pinguis enim ſus in os incumbebat.

& rurſus:

Luxuriae ſic indulſit, indulgere ut diu non poſſet.

tum porro haec ſubiiciuntur:

Propriam mortem optanti mihi haec una videtur beata: oppletum inteſtinis multis iacere pinguem, & vix loquentem, & ſpiritum ſublime ducentem, comedentem, dicentemque, Putreſco prae voluptate.

Mortuus eſt anno aetatis quinto & quinquageſimo, tyrannidis trigeſimo tertio: omnes autem ante ſe tyrannos manſuetudine & clementiâ ſuperaverat.

73. Talis etiam fuerat *Ptolemaeus*, Aegypti rex ſeptimus, qui ſe ipſe quidem *Euergeten* renunciari fecit, ab Alexandrinis vero Κακεργέτης (*Maleficus*) eſt adpellatus.

νος. Ποσειδώνιος οὖν ὁ Στωϊκὸς, συναποδημήσας Σκιπίωνι τῷ Ἀφρικανῷ κληθέντι εἰς Ἀλεξάνδρειαν, καὶ e θεασάμενος αὐτὸν, γράφει ἐν ἑβδόμῃ τῶν Ἱστοριῶν οὕτως· „Διὰ δὲ τρυφὴν διέφθαρτο τὸ σῶμα ὑπὸ παχύτητος, καὶ γαστρὸς καὶ [1] μεγέθους, ἣν δυσπερίληπτον εἶναι συνέβαινεν· ἐφ' ἧς χιτωνίσκον ἐνδεδυκὼς ποδηρη μέχρι τῶν καρπῶν χειρίδας ἔχοντα, προῆει μηδέποτε πεζὸς, εἰ μὴ διὰ Σκιπίωνα.“ Ὅτι δὲ τρυφῆς οὐκ ἦν ἀλλότριος ὁ βασιλεὺς οὗτος, αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ, ἐν τῷ ὀγδόῳ τῶν Ὑπομνημάτων διηγούμενος, ὅπως τε ἱερεὺς ἐγένετο τοῦ ἐν Κυρήνῃ Ἀπόλλωνος, καὶ ὅπως δεῖπνον παρεσκεύασε τοῖς πρὸ αὐτοῦ f γενομένοις ἱερεῦσι, γράφων οὕτως· „Ἀρτεμίτια,[2] μεγίστη ἑορτὴ ἐν Κυρήνῃ· [3] ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος (ἐνιαύσιος δέ ἐστιν) δειπνίζει τοὺς πρὸ αὐτοῦ ἱερευ-

1 Forſ. καὶ γαστρὸς μεγέθους, *delctâ alterâ* καὶ particulâ. 2 Ἀρτεμίσια edd. & ms. *Ep.* inter lin. 3 μεγ. ἐν Κυρ. ἑορτὴ edd.

Poſidonius igitur Stoicus, qui cum Scipione Africano Alexandriam profectus illum viderat, ſeptimo Hiſtoriarum libro ita ſcribit: »Ob luxurioſam vitam monſtroſum & iners erat ei corpus obeſitate & ventris mole tanta, ut vix ulnis complecti quis poſſet: quem tegebat ille tunicâ ad talos usque deſcendente, & manicatâ usque ad manuum cum brachio iunctura: neque umquam pedibus e regia prodibat, niſi tunc Scipionis cauſſâ.« Non fuiſſe vero a luxuria alienum hunc regem, ipſe etiam de ſe teſtatum fecit, octavo Commentariorum libro narrans quo pacto Cyrenis ſacerdos fuerit Apollinis, & coenam exhibuerit iis qui ante eum fuerant ſacerdotes; ubi ita ſcribit: »*Artemitia*, (ſive, *Artemiſia*,) maximum apud Cyrenenſes feſtum: quo ſacerdos Apollinis (annuum eſt autem id ſacerdotium) coenâ excipit eos qui ante illum ſacerdotio functi ſunt, ad-

σαμένους, καὶ παρατίθησιν ἑκάστῳ τρύβλια, τοῦτο δέ ἐστι κεραμεοῦν ἄγγος, ἐπιδεχόμενον ὡς εἴκοσιν ἀρτάβας· ἐν ᾧ πολλὰ μὲν τῶν ἀγριμαίων [1] ἔγκειται πεπονημένα, πολλὰ δὲ σῖτα, καὶ τῶν ἡμέρων [2] ὀρνίθων, ἔτι δὲ θαλαττίων ἰχθύων, ταρίχους τε ξενικοῦ πλείο-
a να γένη· πολλάκις δέ τινες καὶ καθάριον [3] ἀκολουθίσκον προσδιδόασιν. ἡμεῖς δὲ περιελόμεθα τὰ [4] τοιαῦτα· φιάλας δ' ὁλαργύρους κατασκευάσαντες, τὸ τίμημα ἔχουσαν ἑκάστην ἧς προειρήκαμεν δαπάνης, ἵππον τε κατεσκευασμένον σὺν ἱπποκόμῳ καὶ φαλάροις διαχρύσοις ἐδώκαμεν, καὶ παρεκαλέσαμεν ἕκαστον ἐπὶ αὐτοῦ καθεσθέντα οἴκαδ' ἀπιέναι." Εἰς πάχος δὲ ἐδεδώκει [5] καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος, ὁ τὴν ἑαυ- Alexander, Ptol. Phyſconis fil.
τοῦ μητέρα ἀποκτείνας συμβασιλεύουσαν αὐτῷ. Φησὶ
b γοῦν περὶ αὐτοῦ Ποσειδώνιος ἐν τῇ ἑβδόμῃ καὶ τεσσα-

1 ἀγριμέων edd. cum ms. *A.* 2 ἡμέρων ed. Baſ. & Caſ. 3 κιθάριον vulgo. 4 Deeſt τὰ edd. 5 ἐκδεδώκει ms. *Ep.* δ' ἐπεδεδώκει omnino legendum videtur.

ponitque ſingulis catinos: vas fictile hoc eſt, artabas fere capiens viginti; in quo poſitae multae carnes ferinae diligenter paratae, panificia multa, & domeſticarum avium, marinorum piſcium & peregrini ſalſamenti plura genera: ſubinde etiam nonnulli inſuper dant elegantem puerum pediſſequum. Nos vero, omiſſis his talibus, phialas conficiendas curavimus ex ſolido argento, unamquamque tanti pretii quanti conſtabat totus quem praediximus adparatus; & praeter phialam equum inſtructum phaleris inauratis cum equiſone dedimus cuique, & ſuum quemque conſcendere domumque abire iuſſimus. « Eiusdem filius etiam, *Alexander*, ſaginâ multâ factus eſt obeſior; is qui matrem ſuam, cum eſſet regni particeps, necavit. De quo ſcribit idem Poſidonius, ſeptimo & quadrageſimo Hiſtoriarum libro, in hunc mo-

ρακοστῇ τῶν Ἱστοριῶν οὕτως· „Ὁ δὲ τῆς Αἰγύπτου δυνάστης μισούμενος μὲν ὑπὸ τῶν ὄχλων, κολακευόμενος δὲ ὑπὸ τῶν περὶ αὐτὸν, ἐν πολλῇ δὲ τρυφῇ ζῶν, οὐδὲ πατεῖν οἷός τε ἦν, εἰ μὴ δυσὶν ἐπαπερειδόμενος ἐπορεύετο. εἰς δὲ τὰς ἐν τοῖς συμποσίοις ὀρχήσεις ἀπὸ μετεώρων κλινῶν καθαλλόμενος ἀνυπόδητος, συντονωτέρας αὐτὰς τῶν ἠσκηκότων ἐποιεῖτο.“

LXXIV. Magas, rex Cyrenae.

Ἀγαθαρχίδης δ', ἐν τῇ ἑκκαιδεκάτῃ Εὐρωπιακῶν, Μάγαν, φησὶ, τὸν Κυρήνης βασιλεύσαντα ἔτη πεντήκοντα, ἀπολέμητον γενόμενον καὶ τρυφῶντα, κατὰ σαρκον γενέσθαι ἐκτόπως τοῖς ὄγκοις κατὰ τὸν ἔσχατον καιρὸν, καὶ ὑπὸ τοῦ πάχους ἀποπνιγῆναι, δι' ἀργίαν σώματος καὶ τὸ προσφέρεσθαι πλῆθος τροφῆς. c

Spartae probrosa habetur obesitas.

Παρὰ δὲ Λακεδαιμονίοις, ὁ αὐτὸς ἱστορεῖ διὰ τῆς ἐβδόμης καὶ εἰκοστῆς, οὐ τῆς τυχούσης ἀδοξίας νομίζεσθαι, εἴ τις ἢ [1] τὸ σχῆμα ἀνανδρότερον ἔχων, ἢ τὸν

1 εἰ ἦν τὸ σχῆμα edd. εἴ τις ἦν ἢ τὸ σχ. mssti.

